Β Α Ρ Σ Α Ν Ο Υ Φ Ι Ο Υ
Κ Α Ι
Ι Ω Α Ν Ν Ο Υ

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ
(ΣΛ΄ – ΦΚΒ΄)

ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ

Ἀπὸ τὴν

ΖΑΧΑΡΙΑΔΟΥ ΣΤΑΥΡΟΥΛΑ

Θεολόγο

Φ Ι Λ Ο Κ Α Λ Ι Α

Τ Ω Ν

ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ

10Β

Ἐπόπτης

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΜΕΡΕΤΑΚΗΣ Γ. ΕΛΕΥΘΕΡΙΟΣ, Θεολόγος

Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1988

ΕΙΣΑΓΩΓΙΚΟ ΣΗΜΕΙΩΜΑ

Στὸν τόμο αὐτὸ δημοσιεύονται οἱ 293 ἐν συνεχεία τοῦ 10Α τόμου Ἐρωταποκρίσεις τῶν ὁσίων καὶ θεοφόρων πατέρων Βαρσανουφίου καὶ Ἰωάννου, ἤτοι ἀπὸ 230 μέχρι 522. Οἱ ὑπόλοιπες 316 θὰ δημοσιευθοῦν στὸν ἑπόμενο τόμο 10Γ, ποὺ ἤδη ἑτοιμάζεται καὶ θὰ κυκλοφορήσει στὶς ἀρχὲς τοῦ 1989.

ΣΛ'

Τοῦ αὐτοῦ ἀδελφοῦ συγχώρησιν αἰτήσαντος, ἀπεκρίθη αὖθις ὁ μέγας Γέρων.

Ἀπόκρισις

Ο θάνατος καὶ ἡ ζωὴ ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν τυγχάνει· ἐὰν οὖν μὴ πράξωμεν τὰ πρότερα ἡμῶν ἁμαρτήματα, ἔχομεν ἤδη παρὰ τοῦ Θεοῦ τὴν αὐτῶν συγχώρησιν, ἐὰν μὴ πάλιν διστάζωμεν.

Τὸ λοιπόν, ἀδελφέ μου, ἀσφάλισαι, ἵνα μὴ πληρωθῇ καὶ περὶ σοῦ, «ἰδοὺ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται»· ἀπὸ τῆς ἀπειθείας σου φύγε, τὴν δὲ ἀπιστίαν μακρὰν ποίησον ἀπὸ σοῦ· τῆς δὲ ἀνελπιστίας ἀλλοτριώθητι καὶ κολλήθητι τῷ Θεῷ ἀγαπῶν, πιστεύων, ἐλπίζων, καὶ ἕξεις ἐν αὐτῷ ζωὴν αἰώνιον. Ἀμήν..

ΣΛΑ'

***Αἴτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν.*

Πάτερ, εὖξαι ὑπὲρ ἐμοῦ ἵνα σκεπασθῶ ἀπὸ τῶν νυκτερινῶν φαντασιῶν· καὶ εἰ ἔστι δυνατόν, ἀξίωσόν με τῆς ὑμῶν προσκυνήσεως, καὶ τοῦ ἀκοῦσαι τῆς ὑμῶν ἁγίας φωνῆς· πιστεύω γὰρ ὅτι, ἐὰν τοῦτό μοι προσγένηται, πολλὴν ἐκ τούτου σκέπην εὑρίσκω.

230

Ὁ ἴδιος ἀδελφός, ὅταν ζήτησε συγχώρηση,

τοῦ ἀποκρίθηκε πάλι ὁ μεγάλος Γέροντας.

Ἀπόκριση

Ο θάνατος καὶ ἡ ζωή μας βρίσκονται στὰ χέρια μας· ἐὰν λοιπὸν δὲν ἐπαναλάβουμε τὶς προηγούμενες ἁμαρτίες μας, θὰ ἔχουμε ἤδη ἀπὸ τὸ Θεὸ τὴ συγχώρηση αὐτῶν, ἐὰν δὲν διστάζουμε πάλι.

Στὸ ἑξῆς, ἀδελφέ μου, νὰ προσέχεις, γιὰ νὰ μὴ ἐκπληρωθεῖ καὶ σὲ σένα τὸ «νά, ἔχεις γίνει ὑγιής· μὴ ἁμαρτάνεις πλέον, γιὰ νὰ μὴ σοῦ συμβεῖ τίποτε χειρότερο»[1]. Φύγε ἀπὸ τὴν ἀπείθειά σου, καὶ ἀπομάκρυνε ἀπὸ σένα τὴν ἀπιστία· γίνε ξένος τῆς ἀπαισιοδοξίας καὶ προσκολλήσου στὸ Θεό, ἀγαπώντας, πιστεύοντας, καὶ ἐλπίζοντας, καὶ θὰ ἔχεις κοντά του αἰώνια ζωή. Γένοιτο.

231

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πάτερ, προσευχήσου γιὰ μένα, νὰ προφυλαχτῶ ἀπὸ τὶς νυχτερινὲς φαντασίες· καὶ ἐὰν εἶναι δυνατό, ἀξίωσέ με νὰ σᾶς προσκυνήσω καὶ νὰ ἀκούσω τὴν ἅγια φωνή σας· διότι πιστεύω ὅτι, ἐὰν μοῦ γίνει αὐτό, θὰ βρῶ μεγάλη προστασία ἀπ' αὐτό.

---

1. Ἰω. 5,14.

Ἀπόκρισις

Φησὶν ἡ Γραφή, ὅτι ὁ ἐν ὀλίγῳ πιστός, καὶ ἐν πολλῷ πιστός ἐστι»· εἰ ἐπίστευσάς μοι εἰπόντι καὶ παρόντι ἐπίστευσας· καὶ γὰρ τοὺς μὴ ἰδόντας καὶ πιστεύσαντας ἐμακάρισεν ὁ Κύριος. Καὶ πολλάκις ἔγραψά σοι περὶ ἀπειθείας καὶ ὀργῆς καὶ σκληρότητος· καὶ βλέπω ὅτι ὡς παρὰ μίαν τίθεις μου τοὺς λόγους. Ἐπειδὴ οὖν ὀφειλέτης εἰμὶ τοῦ παρασχεῖν εἴ τι ἔχω, κατὰ τὴν λέγουσαν Γραφήν, «παντὶ τῷ αἰτοῦντί σε δίδου», κᾀγώ σοι λέγω, κτήσασθαι ταπείνωσιν, ὑπακοήν, ἀγάπην, ἐλπίδα, καὶ ἀπολογοῦμαι τῷ φιλανθρώπῳ Θεῷ ὑπὲρ πασῶν τῶν ἁμαρτιῶν σου. Τοῦτο δὲ μάθε, ὅτι, ἐὰν μὴ ταπεινωθῇς, οὐχ ὑπακούεις· καὶ ἐὰν μὴ ὑπακούῃς, οὐκ ἀγαπᾷς· καὶ ἐὰν μὴ ἀγαπᾷς, οὐ πιστεύεις οὐδὲ ἐλπίζεις.

Ἐὰν οὖν κοπιάσῃς ἔχειν ταῦτα, ἀναλογίζομαι ἐπ' ἐμὲ τὰς ἁμαρτίας σου πάσας· κᾂν ἔχῃς σεαυτὸν λεπρόν, πιστεύω ὅτι ἀκούεις καὶ σὺ παρὰ τοῦ Σωτῆρος, «θέλω, καθαρίσθητι»· κᾂν ἁμαρτωλόν, ἀκούεις, «ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου αἱ πολλαί»· εἰ δὲ καὶ τυφλὸν κατὰ τὴν πίστιν σου εὑρίσκεις.

Καὶ ταῦτα ἔγραψά σοι πρότερον καὶ κοιμᾶσαι· τὸ στόμα σου φύλαξον τοῦ μὴ ἐμπεσεῖν πάλιν εἰς τὴν δεινοτάτην δυσφημίαν· κᾂν ἕως αὐτῆς τῆς ψυχῆς σου φθάσῃς· πάνυ γὰρ ἵδρωσα δυσωπῶν ὑπὲρ ταύτης τὸν Θεόν. Ἐὰν προσέχῃς τοῦ φυλάξαι ἐξ ὅλης σου τῆς ψυχῆς τὰ εἰρημένα, οὐ μόνον ἀπὸ φαντασιῶν σε νυκτερινῶν φυλάττουσιν, ἀλλὰ καὶ πασῶν τῶν μηχανῶν τοῦ ἐχθροῦ, διὰ τοῦ βοηθοῦντός σου Χριστοῦ. Ἀμήν.

'Απόκριση

Η Γραφὴ λέγει, ὅτι ἐκεῖνος ποὺ εἶναι πιστὸς στὸ λίγο, εἶναι πιστὸς καὶ στὸ πολύ. Ἐὰν πίστεψες σ' ἐκεῖνα ποὺ σοῦ εἶπα, πίστεψες καὶ ποὺ ἤμουν παρών· διότι ὁ Κύριος ἐμακάρισε ἐκείνους ποὺ δὲν εἶδαν καὶ πίστεψαν. Καὶ πολλὲς φορὲς σοῦ ἔγραψα γιὰ ἀπείθεια καὶ ὀργὴ καὶ σκληρότητα, καὶ βλέπω ὅτι παίρνεις τὰ λόγια μου ἕνα πρὸς ἕνα. Ἐπειδὴ λοιπὸν εἶμαι ὀφειλέτης, καὶ πρέπει νὰ δίνω ἐὰν ἔχω κάτι, σύμφωνα μὲ τὴ Γραφὴ ποὺ λέγει, «νὰ δίνεις σὲ ὅποιον σοῦ ζητᾶ», καὶ ἐγὼ σοῦ λέγω, ἀπόκτησε ταπείνωση, ὑπακοή, ἀγάπη καὶ ἐλπίδα, καὶ τότε θὰ ἀπολογηθῶ στὸν φιλάνθρωπο Θεὸ γιὰ ὅλες τὶς ἁμαρτίες σου. Καὶ μάθε αὐτό, ὅτι, ἐὰν δὲν ταπεινωθεῖς, δὲν ὑπακούεις· καὶ ἐὰν δὲν ὑπακούεις, δὲν ἀγαπᾶς· καὶ ἐὰν δὲν ἀγαπᾶς, δεν πιστεύεις οὔτε ἐλπίζεις.

Ἐὰν λοιπὸν κοπιάσεις ν' ἀποκτήσεις αὐτά, παίρνω πάνω μου ὅλες τὶς ἁμαρτιές σου· καὶ ἐὰν ἔχεις τὸν ἑαυτό σου λεπρό, πιστεύω ὅτι θ' ἀκούσεις καὶ σὺ ἀπὸ τὸ Σωτήρα, «θέλω νὰ καθαρισθεῖς»[2]· ἂν τὸν ἔχεις ἁμαρτωλό, θ' ἀκούσεις, «σοῦ συγχωροῦνται οἱ ἁμαρτίες σου οἱ πολλές»[3]· ἐὰν πάλι τυφλό, βρίσκεις σύμφωνα μὲ τὴν πίστη σου.

Αὐτὰ σοῦ τὰ ἔγραψα καὶ προηγουμένως καὶ κοιμᾶσαι. Φύλαξε τὸ στόμα σου, γιὰ νὰ μὴ πέσει πάλι στὴ φοβερώτατη βλασφημία· καὶ ἔστω νὰ φθάσεις ἕως τὴν ἴδια σου τὴν ψυχή· διότι ἵδρωσα πολὺ παρακαλώντας γι' αὐτὴν τὸν Θεό. Ἐὰν προσέχεις καὶ φυλάξεις μὲ ὅλη σου τὴν ψυχὴ ὅσα σοῦ εἶπα, αὐτὰ δὲν σὲ φυλάγουν μόνο ἀπὸ τὶς νυκτερινὲς φαντασίες, ἀλλὰ καὶ ἀπὸ ὅλες τὶς μηχανορραφίες τοῦ ἐχθροῦ, διὰ τοῦ Χριστοῦ ποὺ εἶναι βοηθός σου. Γένοιτο.

---

2. Ματθ. 8,3.
3. Λουκᾶ 7,47.

ΣΛΒ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Ποίησον ἔλεος μετ' ἐμοῦ, δέσποτα, καὶ εἰπέ μοι, πῶς δύναμαι σωθῆναι εἰς τὸν καιρὸν τοῦτον, ὅτι λογισμὸς δειλίας ἀνέβη εἰς τὴν καρδίαν μου. Τί οὖν κελεύεις ποιήσω;

Ἀπόκρισις

Κατὰ πάντα καιρὸν ἐὰν δύνηται ὁ ἄνθρωπος κόπτειν τὸ ἑαυτοῦ θέλημα ἐν πᾶσι, καὶ ἔχειν ταπεινὴν καρδίαν καὶ τὸν θάνατον διὰ παντὸς πρὸ ὀφθαλμῶν, δύναται σωθῆναι χάριτι Θεοῦ, καὶ ὅπου ἐὰν ᾖ, οὐ κατακυριεύει αὐτοῦ ἡ δειλία. Ὁ τοιοῦτος γὰρ τῶν ὄπισθεν ἐπελάθετο καὶ εἰς τὰ ἔμπροσθεν ἐπεκτείνεται.

Ποίει ταῦτα καὶ σώζῃ ἀμερίμνως διὰ τὸν Θεόν.

ΣΛΓ'

Ἀδελφός τις νεώτερος, ἔχων πίστιν εἰς τὸν αὐτοῦ ἀδελφόν, ἐπύκναζεν αὐτῷ ὡς διὰ ὠφέλειαν ψυχῆς, καὶ ἅπαξ ἅπαξ τὰς χρείας αὐτοῦ ἐποίει ὡς ὑπηρετῶν αὐτῷ· καὶ ὁ ἀδελφός, μὴ κατανοήσας τὸ συμφέρον, οὐδὲν περὶ τούτου ἠρώτησεν· ὁ δὲ γέρων, θεόθεν γνοὺς ὡς διορατικός, γράφει αὐτῷ ἀφ' ἑαυτοῦ ταῦτα.

***Παραίνεσις** Βαρσανουφίου.*

Ἀδελφέ, τὰ πρῶτα ἁμαρτήματα τὰ γεγονότα τῇ ἀνοχῇ τοῦ Θεοῦ, ὁ Θεὸς τῇ πρεσβείᾳ τῶν ἁγίων καὶ τοῦ ἀββᾶ σου συνεχώρησέ σοι, πρὸς ἔνδειξιν καρπῶν δικαιοσύνης, ἵνα πληρωθῇ ἐπὶ σὲ ἡ λέγουσα Γραφή· «ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις». Τί οὖν πάλιν προτρέπεις τὸ πῦρ ἐλθεῖν εἰς τὸν δρυμῶνά σου; Ἐπειδὴ οὐκ ἀφιᾶσί σε εἰδέναι,

---

4. Ρωμ. 5,20.

232

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Δέσποτα, δεῖξε ἔλεος σὲ μένα καὶ πές μου, πῶς μπορῶ νὰ σωθῶ σ' αὐτὸν τὸν καιρό, διότι λογισμὸς δειλίας ἀνέβηκε στὴν καρδιά μου. Τί μὲ συμβουλεύεις λοιπὸν νὰ κάνω;

Ἀπόκριση

Εὰν ὁ ἄνθρωπος μπορεῖ ν' ἀποκόπτει συνεχῶς τὸ θέλημά του σὲ ὅλα, νὰ ἔχει ταπεινὴ καρδιὰ καὶ νὰ ἔχει τὸν θάνατο συνεχῶς μπροστά του, μπορεῖ νὰ σωθεῖ μὲ τὴ χάρη τοῦ Θεοῦ· καὶ ὅπου καὶ ἂν βρίσκεται, δὲν τὸν κατακυριεύει ἡ δειλία. Διότι αὐτὸς ξέχασε τὰ περασμένα καὶ προχωρεῖ σ' αὐτὰ ποὺ βρίσκονται μπροστά του.

Κάμνε αὐτὰ καὶ θὰ σωθεῖς ἀμέριμνα μὲ τὴ βοήθεια τοῦ Θεοῦ.

233

Κάποιος νεώτερος ἀδελφός, ἔχοντας ἐμπιστοσύνη στὸν ἀδελφό του, τὸν πλησίαζε γιὰ ὠφέλεια τῆς ψυχῆς, καὶ κάπου κάπου ἔκανε τὶς ἀνάγκες του σὰν ὑπηρέτης. Ὁ ἀδελφός, ἐπειδὴ δὲν κατάλαβε τὸ συμφέρον, δὲν ἐρώτησε τίποτε γι' αὐτό. Ὁ Γέροντας τότε, πληροφορηθεὶς αὐτὸ ἀπὸ τὸ Θεὸ ὡς διορατικός, τοῦ γράφει ἀπὸ μόνος του αὐτά.

Παραίνεση Βαρσανουφίου.

Αδελφέ, τὶς πρῶτες ἁμαρτίες, ποὺ ἔχουν γίνει μὲ τὴν ἀνοχὴ τοῦ Θεοῦ, ὁ Θεὸς σοῦ τὶς συγχώρεσε μὲ τὴ μεσολάβηση τῶν ἁγίων καὶ τοῦ ἀββᾶ σου, πρὸς ἔνδειξη καρπῶν δικαιοσύνης, γιὰ νὰ πραγματοποιηθεῖ σὲ σένα ἡ Γραφὴ ποὺ λέγει, «ὅπου πλεόνασε ἡ ἁμαρτία, ὑπερπερίσσευσε ἡ χάρη»[4]. Γιατί λοιπὸν προτρέπεις πάλι τὴ φωτιὰ νὰ ἔρθει στὸ

ἕως οὗ λάβωσιν εἰς τὰς χεῖρας αὐτῶν καὶ τότε πληρώσουσιν εἰς σὲ τὸ θέλημα αὐτῶν· ὠφέλειαν γὰρ οὐκ ἔχει τὸ πρᾶγμα τοῦτο, ἀλλὰ κίνδυνον.

Πρόσεχε οὖν, ὅτι μετὰ δικαιώματος ποιοῦσί σε διδάσκαλον, ἵνα λάβῃς τὴν ἐπιτιμίαν τοῦ Ἀποστόλου λέγοντος· «ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Ἄκουσον, ἀδελφέ· παραλυτικὸς ἐγένου, ὅτι θέλεις διακονεῖσθαι ὑπὸ ἄλλου; Οὐκ οἶδας ὅτι κρῖμά ἐστι μάλιστα νεωτέρῳ δυναμένῳ ὑπηρετεῖν ἄλλοις; Πίστευσόν μοι, ὅτι ἐγὼ ὁ ἐλάχιστος, ἕως οὗ ἐπληροφόρησέ με ὁ Θεὸς ἡσυχάσαι, ἐμαυτῷ ὑπηρέτουν, καὶ εἰς τὴν ἀσθένειαν κοπιῶν μικρὸν ἑψητὸν ἐμαυτῷ καὶ τὸ θερμόν.

Μὴ οὕτως, ἐπεὶ ἀποθνῄσκεις κακῶς· ἀλλὰ χρείας γενομένης, μὴ περισσὸν λαλήσῃς τίποτε τοῦ ζητουμένου πράγματος· ὁ γὰρ μὴ οἰκοδομήσας τὸ ἴδιον κελλίον, πῶς ἄλλου οἰκοδομεῖ; Οὐκ οἶδας ὅτι ὁ Κύριος εἶπεν, «ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι»; Μὴ πλανηθῇς τοῦ πλαγιάσαι ἀπὸ τούτων, ἐπεὶ τὸ αἷμά σου ἐπάνω τῆς κεφαλῆς σου· εἰπὲ δὲ μετὰ ταπεινώσεως, ὡς ἔχει ἡ ἀλήθεια, τοῖς ἐρωτῶσί σέ τί ποτε· συγχωρήσατέ μοι, ὅτι πλανῶμαι. Ἠρώτησα γὰρ καὶ ἤκουσα· ὅτι νεώτερος νεώτερον οὐκ ὠφελεῖ, ἐὰν τὴν δύναμιν τῆς Γραφῆς ὅλης ποτίσῃ αὐτὸν ὡς ποτόν.

Ἐὰν οὖν ποιήσῃς τὴν δύναμίν σου, κἀγὼ δίδωμί σοι λόγον ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ μὴ ἐξαλειφθῇς ἐκ τῆς ἐμῆς καρδίας· ἀλλὰ τὴν δύναμίν μου ποιῶ δεόμενος τοῦ Θεοῦ, ἵνα ἐκβάλῃ σε ἀπὸ τοῦ δεινοῦ σκότους εἰς φῶς τὸ ἀνεκλάλητον, ἀπὸ τῆς πλάνης τῶν δαιμόνων εἰς τὴν τοῦ Χριστοῦ ἐπίγνωσιν· ἀπὸ τοῦ δευτέρου τῆς ἁμαρτίας θανάτου εἰς ζωὴν αἰώνιον. Καὶ εἰ ἐπιποθεῖς σωθῆναι, μὴ καταφρονήσῃς τῶν εἰρημένων.

4α. Δικαίωμα εἶναι ὅ,τι δὲν ἔχει καύχηση, ἀλλὰ ἄρνηση τοῦ σφάλματος. Βλέπε ἐρωταπόκριση 477 τοῦ τόμου αὐτοῦ. 5. Ρωμ. 2,21.

δάσος σου; Ἐπειδὴ δὲν σὲ ἀφήνουν νὰ γνωρίσεις, ὥς ποὺ νὰ σὲ πάρουν στὰ χέρια τους, καὶ τότε θὰ πραγματοποιήσουν σὲ σένα τὸ θέλημά τους. Αὐτὸ τὸ πρᾶγμα δὲν ἔχει ὠφέλεια, ἀλλὰ κίνδυνο.

Πρόσεχε λοιπόν, διότι μετὰ δικαιώματος[4α] σὲ κάνουν διδάσκαλο, γιὰ νὰ δεχθεῖς τὴν κατάκριση τοῦ Ἀποστόλου ποὺ λέγει, «ἐσὺ ποὺ διδάσκεις ἄλλον, δὲ διδάσκεις τὸν ἑαυτό;»[5]. Ἄκουσε, ἀδλεφέ· ἔγινες παράλυτος, ἐπειδὴ θέλεις νὰ ὑπηρετεῖσαι ἀπὸ ἄλλον; Δὲν γνωρίζεις ὅτι εἶναι κρίμα, καὶ μάλιστα στὸν νεώτερο ποὺ μπορεῖ νὰ ὑπηρετεῖ ἄλλους; Πίστεψέ με, ὅτι ἐγὼ ὁ ἐλάχιστος, ὥς ποὺ μὲ πληροφόρησε ὁ Θεὸς νὰ ἡσυχάσω, ὑπηρετοῦσα ὁ ἴδιος τὸν ἑαυτό μου, καὶ στὴν ἀσθένειά μου ἔκαμνα λίγο βραστὸ καὶ τὸ ζεστό μου.

Μὴ φέρεσαι ἔτσι, διότι θὰ πεθάνεις ἄσχημα· ἀλλὰ ἐὰν παραστεῖ ἀνάγκη, νὰ μὴ πεῖς τίποτα περισσότερο ἀπὸ τὸ ζητούμενο πρᾶγμα· διότι ἐκεῖνος ποὺ δὲν ἔκτισε τὸ κελλί του, πῶς κτίζει τὸ κελλὶ ἄλλου; Δὲν γνωρίζεις ὅτι ὁ Κύριος εἶπε, «ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθε νὰ ὑπηρετηθεῖ, ἀλλὰ νὰ ὑπηρετήσει»[6]; Μὴ πλανηθεῖς καὶ παρεκκλίνεις ἀπὸ αὐτά, διότι τὸ αἷμα σου θὰ εἶναι πάνω στὸ κεφάλι σου. Πὲς μὲ ταπείνωση σ' ἐκείνους ποὺ σὲ ἐρωτοῦν κάτι, αὐτὸ ποὺ εἶναι ἡ ἀλήθεια· 'συγχωρῆστε με, διότι πλανῶμαι. Διότι ἐρώτησα καὶ ἄκουσα, ὅτι ὁ νεώτερος δὲν ὠφελεῖ τὸν νεώτερο, ἐὰν τὸν ποτίσει σὰν ποτὸ τὴ δύναμη ὅλης τῆς Γραφῆς'.

Ἐὰν λοιπὸν καταβάλεις κάθε προσπάθεια καὶ ἐγὼ σοῦ δίνω τὸν λόγο μου ἐνώπιον τοῦ Θεοῦ, ὅτι δὲν θὰ ἐξαλειφθεῖς ἀπὸ τὴν καρδιά μου, ἀλλὰ μὲ ὅλη τὴ δύναμή μου παρακαλῶ τὸ Θεὸ νὰ σὲ βγάλει ἀπὸ τὸ φοβερὸ σκοτάδι στὸ ἀπερίγραπτο φῶς, ἀπὸ τὴν πλάνη τῶν δαιμόνων στὴν ἐπίγνωση τοῦ Χριστοῦ, ἀπὸ τὸν δεύτερο θάνατο τῆς ἁμαρτίας στὴν αἰώνια ζωή. Καὶ ἐὰν ποθεῖς νὰ σωθεῖς, μὴ περιφρονήσεις αὐτὰ ποὺ σοῦ ἔχουν εἰπωθεῖ.

---

6. Ματθ. 20,28.

Ἴδοιμί σε καρποφοροῦντα ἐν τῷ ἀμπελῶνι τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνὰ τριάκοντα, ἀνὰ ἑξήκοντα, ἀνὰ ἑκατόν, εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ἀμήν.

ΣΛΔ'

***Αἴτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν.*

Διὰ τὸν Κύριον συγχώρησόν μοι, πάτερ, ὅτι ἀγνοῶν ἐχλευαζόμην, καὶ εὖξαι ὑπὲρ ἐμοῦ ἵνα βάλω ἀρχήν.

Ἀπόκρισις

Εὑρίσκομεν, ἀδελφέ, ὅτι, ὅτε προσήρχοντό τινες τῷ Δεσπότῃ Χριστῷ γνησίᾳ τῇ μετανοίᾳ, ἐλάμβανον ἄφεσιν ἁμαρτιῶν, ὡς εἶπεν ἐκείνῃ τῷ ἁμαρτωλῷ, «ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου αἱ πολλαί»· κἀγὼ σοι λέγω, ἐὰν ποιήσῃς τὴν δύναμίν σου ποιῆσαι τὰ παρ' ἐμοῦ σοι λεγόμενα, ἐλεεῖ σε ὁ ἐλεήσας τὸν Δαβὶδ καὶ συγχωρήσας αὐτῷ καὶ τῇ ἁμαρτωλῷ. Ἐπεὶ δὲ εἶπας, ὅτι 'βαλεῖν θέλω ἀρχήν', κἀμὲ χαροποιεῖς· ἀρχὴ δέ ἐστι ταπείνωσις καὶ φόβος Θεοῦ· φόβος δὲ Θεοῦ, ἀρχὴ τῆς σοφίας. Τί δέ ἐστιν 'ἀρχὴ τῆς σοφίας', ἀλλ' ἢ τὸ ἀπέχεσθαι ἐκ πάντων τῶν μισουμένων ὑπὸ Θεοῦ;

Πῶς δὲ ἀπέχεταί τις ἐκ τούτων, ἀλλ' ἢ ἀπὸ τοῦ μὴ ποιεῖν τι ἐκτὸς ἐρωτήσεως καὶ συμβουλίας, ἢ λαλεῖν τι τῶν μὴ δεόντων, καὶ μετὰ τούτων ἔχειν ἑαυτὸν μωρὸν καὶ ἄναλον καὶ ἐξουδενωμένον καὶ μηδὲν ὄντα παντελῶς; Οὐχ ὡς δίκαιος λέγω σοι, ὃ μέλλω λέγειν, ἀδελφέ, ὁ Θεὸς οἶδεν· ἀλλ', ἐὰν πιστεύσῃς κατὰ τὴν πίστιν σου, ποιεῖ μετὰ σοῦ ὁ Κύριος. Γέγραπται γάρ· «πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη». Ποίησον οὖν τὴν δύναμίν

---

7. Λουκᾶ 7,47.
8. Παρμ. 1,7.

Εἴθε νὰ σὲ δῶ νὰ καρποφορεῖς στὸν ἀμπελῶνα τοῦ Δεσπότη μας Ἰησοῦ Χριστοῦ ἀνὰ τριάντα, ἀνὰ ἑξήντα, ἀνὰ ἑκατό, πρὸς δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Γένοιτο.

234

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Γιὰ τὸν Κύριο συγχώρεσέ με, πάτερ, διότι χλευαζόμουν χωρὶς νὰ τὸ ξέρω, καὶ προσευχήσου γιὰ μένα γιὰ νὰ βάλω ἀρχή.

Ἀπόκριση

Διαβάζουμε, ἀδελφέ, ὅτι, ὅταν κάποιοι προσέρχονταν στὸ Δεσπότη Χριστὸ μὲ γνήσια μετάνοια, ἔπαιρναν ἄφεση ἁμαρτιῶν, ὅπως εἶπε σ' ἐκείνη τὴν ἁμαρτωλή, «σοῦ συγχωροῦνται οἱ ἁμαρτίες σου οἱ πολλές»[7]. Καὶ ἐγὼ σοῦ λέγω, ἐὰν προσπαθήσεις νὰ κάνεις αὐτὸ ποὺ σοῦ λέγω, θὰ σὲ ἐλεήσει αὐτὸς ποὺ ἐλέησε τὸν Δαβὶδ καὶ συγχώρεσε αὐτὸν καὶ τὴν ἁμαρτωλή. Καὶ ἐπειδὴ εἶπες, 'θέλω νὰ βάλω ἀρχή', χαροποιεῖς καὶ ἐμένα· καὶ ἀρχὴ εἶναι, ταπείνωση καὶ φόβος Θεοῦ· καὶ ὁ φόβος τοῦ Θεοῦ εἶναι ἀρχὴ τῆς σοφίας[8]. Καὶ τί ἄλλο εἶναι 'ἀρχὴ τῆς σοφίας' παρὰ τὸ νὰ ἀπέχεις ἀπὸ ὅλους ἐκείνους ποὺ μισοῦνται ἀπὸ τὸ Θεό;

Καὶ πῶς ἀπέχει κανεὶς ἀπὸ αὐτούς, παρὰ μὲ τὸ νὰ μὴ κάνει τίποτε χωρὶς ἐρώτηση καὶ συμβουλὴ ἢ νὰ μὴ λέγει κάτι ἀπὸ τὰ μὴ ἀναγκαῖα, καὶ μαζὶ μ' αὐτὰ νὰ θεωρεῖ τὸν ἑαυτο του μωρὸ καὶ ἀνάλατο καὶ ἐξουθενωμένο καὶ ἐντελῶς ἀνάξιο λόγου; Δὲν σοῦ τὸ λέγω σὰν δίκαιος, αὐτὸ ποὺ πρόκειται νὰ σοῦ πῶ, ἀδελφέ, ὁ Θεὸς τὸ γνωρίζει· ἀλλά, ἐὰν θὰ πιστέψεις, ὁ Κύριος θὰ σοῦ φερθεῖ σύμφωνα μὲ τὴν πίστη σου. Διότι ἔχει γραφεῖ· «ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο ἔχει πολλὴ δύναμη»[9]. Προσ-

9. Ἰακ. 5,16.

σου βαλεῖν εἰς τὸ βαλάντιόν σου τὰ ἑκατὸν δηνάρια, κἀγὼ βάλω εἰς αὐτὸ τὰ μυρία μου τάλαντα, καὶ μὴ ἀμελήσῃς τούτων, ἐπεὶ μέγα γίνεταί σου τὸ πένθος.

Πάντοτε δὲ μιμνῄσκου καὶ φύλαξον αὐτά, καὶ πιστεύω ὅτι οὐκ εἰς κενὸν γίνεταί σου ὁ κόπος, οὐδὲ ὁ ἐμὸς ὑπὲρ σοῦ γινόμενος· ἐὰν φυλάξῃς τὸν μαργαρίτην, πλουτῆσαι ἔχεις εἰς αὐτόν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΛΕ'

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Ἐπειδή, δέσποτα, θλίβομαι εἰς τὸν ἀββᾶν, ὡς ἔχοντα διαφορὰν περισσοτέραν μου πρός τινας ἀδελφούς, καὶ σκανδαλίζομαι εἰς αὐτὸν τοσούτῳ, ὥστε καὶ πολεμεῖσθαι μισεῖν αὐτόν, εὖξαι ὑπὲρ ἐμοῦ καὶ δήλωσόν μοι, τί ποιήσω.

Ἀπόκρισις

Ἀδελφέ, σεαυτὸν πειράζεις· οὐκ οἶδας ὅτι ἕκαστος ὑπὸ τῆς ἰδίας ἐπιθυμίας πειράζεται δελεαζόμενος; Πρόσεχε σεαυτῷ, ὅτι ταχέως ἐζήτησεν ὁ διάβολος σαλεῦσαί σε ἀπὸ τῆς παραδοθείσης σοι νουθεσίας· «μὴ δώῃ αὐτῷ ὁ Θεὸς χώραν». Εἶπεν ὁ Κύριος τῷ Πέτρῳ· «ἰδοὺ ᾔτησεν ὑμᾶς ὁ διάβολος, ὥστε σινιάσαι ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην τοῦ Πατρός μου, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου». Ἀδελφέ, μὴ πρόσεχέ τινι ἄλλῳ, ἀλλὰ σεαυτῷ· καὶ μὴ περιεργάζου, οὐκ ὠφελεῖ σε γὰρ εἰς οὐδέν· διὰ μηδὲν ἐτάραξεν οὕτως ὁ σατανᾶς τὴν καρδίαν σου.

πάθησε λοιπὸν μὲ ὅλη σου τὴ δύναμη νὰ βάλεις στὸ βαλάντι σου τὰ ἑκατὸ δηνάρια, καὶ ἐγὼ θὰ βάλω σ' αὐτὸ τὰ μύρια μου τάλαντα καὶ νὰ μὴ ἀμελήσεις αὐτά, διότι θὰ πενθήσεις πολύ.

Νὰ τὰ θυμᾶσαι πάντοτε καὶ φύλαξέ τα. Καὶ πιστεύω ὅτι δὲν γίνεται στὸ κενὸ οὔτε ὁ δικός σου οὔτε ὁ δικός μου κόπος ποὺ γίνεται γιὰ σένα. Ἐὰν φυλάξεις τὸ μαργαριτάρι, μπορεῖς νὰ πλουτήσεις σ' αὐτό, μὲ τὴν βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

235

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐπειδή, δέσποτα, στενοχωριέμαι γιὰ τὸν ἀββᾶ, διότι κάνει μεγαλύτερη διάκριση σὲ μερικοὺς ἀδελφούς, καὶ σκανδαλίζομαι μ' αὐτὸν τόσο πολύ, ὥστε καὶ πολεμοῦμαι νὰ τὸν μισῶ, προσευχήσου γιὰ μένα καὶ πές μου τί νὰ κάνω.

Ἀπόκριση

Ἀδελφέ, πειράζεις τὸν ἑαυτό σου· δὲν γνωρίζεις ὅτι καθένας πειράζεται δελεαζόμενος ἀπὸ τὴν ἴδια του τὴν ἐπιθυμία; Πρόσεχε τὸν ἑαυτό σου, διότι ὁ διάβολος ζήτησε νὰ σὲ σαλεύσει γρήγορα ἀπὸ τὴ νουθεσία ποὺ σοῦ παραδόθηκε· «εἴθε ὁ Θεὸς νὰ μὴ τοῦ δώσει τόπο»[10]. Ὁ Κύριος εἶπε στὸν Πέτρο, «νά, ὁ διάβολος σᾶς ζήτησε, ὥστε νὰ σᾶς κοσκινίσει σὰν τὸ σιτάρι, καὶ ἐγὼ παρακάλεσα τὸν Πατέρα μου, γιὰ νὰ μὴ λείψει ἡ πίστη σου»[11]. Ἀδελφέ, νὰ μὴ προσέχεις κανένα ἄλλον, ἀλλὰ τὸν ἑαυτό σου· καὶ νὰ μὴ περιεργάζεσαι, διότι δὲν σὲ ὠφελεῖ σὲ τίποτε· ὁ σατανᾶς τάραξε τόσο πολὺ τὴν καρδιά σου γιὰ τὸ τίποτε.

---

10. Ἐφ. 4,27.
11. Λουκᾶ 22,31.

Βλέπε μὴ ματαιώσῃς μου τὴν ὑπὲρ σοῦ δέησιν τὴν πρὸς τὸν Θεόν· καὶ εἰ οὐκ ἦλθες ἄρτι, δηλῶσαί σοι εἶχον ταῦτα· 'ἥμαρτες, ἡσύχασον· καὶ μὴ λογίζου τὰ κακά, ἀλλὰ τὰ ἀγαθά· ὁ γὰρ ἀγαθὸς τὰ ἀγαθὰ λογίζεται, ὁ δὲ κακὸς τὰ κακά· ὁ Κύριος συγχωρήσοι σοι'. Ἐγείρου πάλιν κρατούμενος τῇ χειρὶ τοῦ Θεοῦ καὶ μὴ πιστεύσῃς τοῖς λογισμοῖς σου· ὡς θέλουσι γὰρ οἱ δαίμονες δεικνύουσί σοι τὰ πράγματα· ἀσφαλίζου ἀπ' αὐτῶν· δεινοὶ γάρ εἰσι καὶ μαίνονται κατὰ σοῦ. Καταργήσοι αὐτοὺς ὁ Κύριος τὸ τάχος ἀπὸ σοῦ, ἀδελφέ.

ΣΛS´

Ὁ αὐτὸς ἀδελφός, ἔτι ἐκ τῶν αὐτῶν λογισμῶν θλιβόμενος, ἔπεμψε πάλιν παρακαλῶν τὸν αὐτὸν μέγαν Γέροντα πέμψαι αὐτῷ λόγον ζωῆς.

Ὁ δὲ ἀντέγραψεν αὐτῷ ταῦτα.

Ἀδελφέ, κακῶς ταράσσουσί σε οἱ λογισμοὶ καὶ οἱ δαίμονες εἰς τὸν ἀββᾶν σου, κατὰ τὴν κακὴν αὐτῶν τέχνην, ἵνα μισήσῃς αὐτὸν ἀγαπῶντά σε καὶ θλίψῃς αὐτὸν θέλοντά σε σκεπάσαι κατὰ τὴν αὐτοῦ ψυχήν, ἵνα πληρώσωσι κατὰ σοῦ τὸ εἰρημένον, «ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου». Πολλάκις γὰρ πληροφορεῖ σε ὅτι ἀγαπᾷ σε, καὶ οὐ πιστεύεις· ἀλλ' ὁ φθόνος τοῦ διαβόλου τυφλοῖ σου τὴν καρδίαν, ἵνα λογίζῃ κακὰ ἀντὶ ἀγαθῶν καὶ πικρὰ ἀντὶ γλυκέων, ἵνα λάβῃς τὸ «οὐαί», σὺν τῷ λέγοντι τὸ καλὸν κακόν, καὶ τὸ γλυκὺ πικρόν· τῷ τιθέντι τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος.

Κλέπτουσί σε, ἀνόητε καὶ βραδὺς τῇ καρδίᾳ, καὶ οὐ νοεῖς ὅτι εἰς ἀπώλειάν σε ψυχῆς θέλουσιν ἐνεγκεῖν, καὶ κρύπτεις παρὰ

Πρόσεχε νὰ μὴ ματαιώσεις τὴ δέησή μου γιὰ σένα πρὸς τὸ Θεό· καὶ ἐὰν δὲν ἐρχόσουν τώρα, θὰ μποροῦσα νὰ σοῦ πῶ αὐτά· 'ἁμάρτησες, ἡσύχασε· καὶ μὴ σκέπτεσαι τὰ κακά, ἀλλὰ τὰ καλά· διότι ὁ καλὸς σκέπτεται τὰ καλά, καὶ ὁ κακὸς τὰ κακά· εἴθε ὁ Κύριος νὰ σὲ συγχωρήσει'. Σήκω πάλι στηριζόμενος στὸ χέρι τοῦ Θεοῦ καὶ μὴ πιστέψεις στοὺς λογισμούς σου· διότι οἱ δαίμονες σοῦ δείχνουν τὰ πράγματα ὅπως θέλουν. Προφυλάξου ἀπ' αὐτούς, διότι εἶναι φοβεροὶ καὶ μαίνονται ἐναντίον σου. Εἴθε ὁ Κύριος νὰ τοὺς καταργήσει γρήγορα ἀπὸ σένα, ἀδελφέ.

236

Ὁ ἴδιος ἀδελφός, ἐπειδὴ θλιβόταν ἀπὸ τοὺς ἴδιους λογισμούς, ἔστειλε πάλι νὰ παρακαλέσει τὸν ἴδιο μεγάλο Γέροντα νὰ τοῦ στείλει λόγο ζωῆς.

Καὶ αὐτὸς τοῦ ἀπάντησε αὐτά.

Ἀδελφέ, κακῶς σὲ ταράσσουν οἱ λογισμοὶ καὶ οἱ δαίμονες γιὰ τὸν ἀββᾶ σου, σύμφωνα μὲ τὴν κακή τους τέχνη, γιὰ νὰ μισήσεις αὐτὸν ποὺ σὲ ἀγαπᾶ καὶ νὰ στενοχωρήσεις αὐτὸν ποὺ θέλει νὰ σὲ προστατεύσει σὰν τὴν ψυχή του, γιὰ νὰ πραγματοποιήσουν ἐναντίον σου αὐτὸ ποὺ εἰπώθηκε· «ἀντὶ νὰ μὲ ἀγαποῦν, μὲ διέβαλλαν· καὶ μοῦ ἀνταπέδωσαν κακὰ ἀντὶ καλῶν, καὶ μίσος ἀντὶ τῆς ἀγάπης μου»[12]. Διότι πολλὲς φορὲς σὲ διαβεβαιώνει, ὅτι σὲ ἀγαπᾶ, καὶ δὲν πιστεύεις· ἀλλὰ ὁ φθόνος τοῦ διαβόλου τυφλώνει τὴν καρδιά σου, γιὰ νὰ σκέπτεσαι κακὰ ἀντὶ καλῶν καὶ πικρὰ ἀντὶ γλυκῶν, γιὰ νὰ δεχθεῖς καὶ ἐσὺ τὸ 'ἀλλοίμονο' μαζὶ μ' ἐκεῖνον ποὺ λέγει τὸ καλὸ κακὸ καὶ τὸ γλυκὸ πικρό· μαζὶ μ' ἐκεῖνον ποὺ θεώρησε τὸ σκοτάδι φῶς καὶ τὸ φῶς σκοτάδι.

Σὲ κλέβουν, ἀνόητε καὶ ἀργὲ στὴν καρδιά, καὶ δὲν καταλαβαίνεις ὅτι θέλουν νὰ σὲ ὁδηγήσουν σὲ ἀπώλεια ψυχῆς· κρύ-

12. Ψαλμ. 108, 4.

σεαυτῷ καὶ παρορᾷς μου τοὺς λόγους καὶ ἐπιτιτρώσκεις αὐτούς. Οὐκ ὠφελοῦσί σε ταῦτα, οὐκ ὠφελοῦσί σε· ἐὰν δὲ οὐ πληροφορῆται σου ἡ καρδία, οὐκ εἶ ἄνθρωπος, ἀλλὰ διάβολος· αὐτὸς γὰρ ἐν τῇ ἀπιστίᾳ ἕστηκε καὶ ἐν τῇ ἀπειθείᾳ· καὶ οἱ μὴ πειθόμενοι, διάβολοι κατ' αὐτὸν γίνονται.

Οὐ συνιεῖς τί ποιεῖς, ἀδελφέ μου, ὅτι πολλάκις φέρεις τὸν ἀββᾶν σου εἰς παροξυσμὸν καὶ βαστάζει σου τὴν δυσκολίαν; Καὶ πολλάκις παρακαλεῖ σε ὡς υἱὸν γνήσιον καὶ ἀγαπητόν, ὡς ἔχει σε μετὰ ἀληθείας, καὶ πρὸς ὥραν μαλάσσεταί σου ἡ καρδία καὶ πάλιν οὐ στήκεις εἰς τὸ ἀγαθόν, ἀλλὰ μετατρέπῃ πάλιν ὡς ἡ σελήνη; Πρὸς τὸν Δεσπότην μου Θεὸν ἔχω πῶς λαλῶ σοι μηδὲν ἄνευ τοῦ Θεοῦ πρὸς σωτηρίαν τῆς ψυχῆς σου· καὶ πολλάκις ἐζήτησα πέμψαι σοι λόγον περὶ τῶν κινημάτων σου καὶ τῶν ἐνθυμήσεων τῆς καρδίας σου καὶ ἐμακροθύμησα μέχρι τῆς σήμερον, ἐκδεχόμενός σε συνιέναι τὸ συμφέρον σου.

Ναί, τέκνον, ἀνάσχου μου τοῦ ἐλαχίστου καὶ ἀπόσχου ἀπὸ σοῦ τὰς κακὰς ἐνθυμήσεις, καὶ ἀνάλαβε τὰς καλάς, ἀκακίαν, ἀγάπην, μακροθυμίαν, ταπείνωσιν τὴν κενοῦσαν ὅλην τὴν βελοθήκην τοῦ διαβόλου καὶ ἀναψύχουσαν τὴν κεφαλὴν τῶν κτωμένων αὐτήν, τὴν ἐφέλκουσαν πρὸς ἑαυτὴν τὴν χάριν τοῦ Θεοῦ. Ἐξυπνίσθητι, γρηγόρησον, εὐθύμησον, παρακλήθητι ἐν τούτῳ καὶ πόθησον σωθῆναι. Μίσησον τὸν φθόνον, ζῆλόν τε καὶ ἔριν καὶ καταλαλιὰν καὶ τὰ ὅμοια τούτοις καὶ γενοῦ πρόβατον ἄκακον τῆς ποίμνης τοῦ Χριστοῦ, μέλος τίμιον τοῦ κοινοβίου, σκεῦος ἡγιασμένον, υἱὸς τῆς βασιλείας, κληρονόμος τῆς δόξης, ὅπως, κατὰ τὰς ἐντολὰς αὐτοῦ τοῦ Χριστοῦ πολιτευσάμενος, τύχῃς τῆς αἰωνίου ζωῆς καὶ τῆς ἐνδόξου Ἀναστάσεως.

Μαρτυρεῖ γάρ μοι ὁ Θεὸς ὅτι εὔχομαι ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς σου· δώῃ μοι πῶς θέλω σε σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἰ ἐμελέτας μου τοὺς λόγους συνεχῶς, οὐκ εἶχες σφαλῆναι οὐδὲ πλανηθῆναι, ἀλλὰ βαδίσαι τὴν κατὰ Θεὸν τεθλιμ-

βεις μέσα σου καὶ περιφρονεῖς τὰ λόγια μου καὶ τὰ καταχρηστεύεις. Δὲν σὲ ὠφελοῦν αὐτά, δὲν σὲ ὠφελοῦν· ἐὰν ἡ καρδιά σου δὲν πείθεται, δὲν εἶσαι ἄνθρωπος ἀλλὰ διάβολος· διότι αὐτὸς ἔχει σταθεῖ στὴν ἀπιστία καὶ στὴν ἀπείθεια, καὶ αὐτοὶ ποὺ δὲν πείθοντια, γίνονται διάβολοι ὅμοιοι μ' αὐτόν.

Δὲν καταλαβαίνεις τί κάνεις, ἀδελφέ μου, ὅτι πολλὲς φορὲς ὁδηγεῖς τὸν ἀββᾶ σου σὲ παροξυσμὸ καὶ βαστάζει τὴ δυσκολία σου; Καὶ πολλὲς φορὲς σὲ παρακαλεῖ σὰν γνήσιο καὶ ἀγαπητὸ υἱό, ὅπως σὲ ἔχει πραγματικά, καὶ πρὸς στιγμὴ μαλακώνει ἡ καρδιά σου, καὶ πάλι ὅμως δὲν μένεις στὸ καλό, ἀλλὰ μετατρέπεσαι πάλι ὅπως ἡ σελήνη; Ἔχω ὅλη τὴν πεποίθησή μου στὸ δεσπότη μου Θεό, καὶ δὲν σοῦ λέγω τίποτε χωρὶς τὸ Θεὸ γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου· καὶ πολλὲς φορὲς θέλησα νὰ σοῦ στείλω λόγο γιὰ τὶς κινήσεις σου καὶ τὶς ἐνθυμήσεις τῆς καρδιᾶς σου καὶ μακροθύμησα μέχρι σήμερα, περιμένοντας νὰ καταλάβεις τὸ συμφέρον σου.

Ναί, τέκνο μου· δεῖξε ἀνοχὴ πρὸς ἐμένα τὸν ἐλάχιστο καὶ ἀπομάκρυνε ἀπὸ μέσα σου τὶς κακὲς ἐνθυμήσεις, καὶ ἀνάλαβε τὶς καλές, τὴν ἀκακία, τὴν ἀγάπη, τὴν μακροθυμία, τὴν ταπείνωση ποὺ ἀδειάζει ὅλη τὴ βελοθήκη τοῦ διαβόλου καὶ ἀναψύχει τὴν κεφαλὴ ἐκείνων ποὺ τὴν ἀποκτοῦν· ἐκείνην ποὺ προσελκύει κοντά της τὴ χάρη τοῦ Θεοῦ. Ξύπνα, δεῖξε ἐγρήγορση καὶ εὐθυμία, παρηγορήσου μ' αὐτὸ καὶ πόθησε νὰ σωθεῖς. Μίσησε τὸν φθόνο, τὴ ζήλεια καὶ τὴν ἔριδα, τὴν καταλαλιὰ καὶ τὰ ὅμοια μ' αὐτά, καὶ γίνε ἄκακο πρόβατο τῆς ποίμνης τοῦ Χριστοῦ, τίμιο μέλος τοῦ κοινοβίου, ἁγιασμένο σκεῦος, υἱὸς τῆς βασιλείας, κληρονόμος τῆς δόξας, γιὰ νὰ ἐπιτύχεις τὴν αἰώνια ζωή, καὶ τὴν ἔνδοξη Ἀνάσταση, ἀφοῦ ζήσεις σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Χριστοῦ.

Ὁ Θεὸς εἶναι μάρτυράς μου, ὅτι προσεύχομαι γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου. Εἴθε νὰ ἐκπληρώσει τὸν πόθο μου, νὰ σωθεῖς καὶ νὰ ἔλθεις σὲ ἐπίγνωση τῆς ἀληθείας. Ἐὰν μελετοῦσες συνέχεια τὰ λόγια μου, δὲν θὰ ἦταν δυνατὸ νὰ σφάλεις οὔτε νὰ πλανηθεῖς, ἀλλὰ θὰ βάδιζες τὸν θλιμμένο καὶ

μένην ὁδόν, τὴν ἀπάγουσαν εἰς ζωὴν τὴν αἰώνιον, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ὁ Θεὸς συνετίσοι σε, ἀδελφέ, εἰς τὸ θέλημα αὐτοῦ.

ΣΑΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Συγχώρησόν μοι, κύριε ἀββᾶ, διὰ τὸν Κύριον· καὶ ἐπεὶ μνημονεύω ὅτι λέγουσιν οἱ πατέρες, ὅτι 'εἰσέλθωμεν εἰς τὸ κελλίον καὶ μνημονεύσωμεν τῶν ἁμαρτιῶν ἡμῶν', καὶ ὅταν μνημονεύω οὐκ ἔχω πόνον περὶ αὐτῶν, πολλάκις δὲ ποθῶ καὶ κατάνυξιν καὶ οὐκ ἔρχεται, εἰπέ μοι, τί ἐστι τὸ κωλύον αὐτὴν καὶ οὐκ ἔρχεται;

Ἀπόκρισις

Ἀδελφέ, χλευάζῃ λέγων καὶ οὐ θέλεις, ὅτι οὐ θέλεις μετὰ ἀληθείας. Τὸ γὰρ εἰσελθεῖν εἰς τὸ κελλίον τῆς ψυχῆς, ἐστὶ καὶ τὸ ἐρευνῆσαι αὐτὴν καὶ συνάξαι τὸν λογισμὸν ἡμῶν ἀπὸ παντὸς ἀνθρώπου· τότε πονοῦμεν καὶ κατανυσσόμεθα. Ὁ κωλύων οὖν τὴν κατάνυξιν ἐλθεῖν σοι, τὸ θέλημά σού ἐστιν· ἐὰν γὰρ μὴ κόψῃ ὁ ἄνθρωπος τὸ ἴδιον θέλημα, οὐ πονεῖ καρδία· ἡ ἀπιστία δὲ οὐκ ἀφίει σε κόψαι τὸ θέλημά σου, ἡ δὲ ἀπιστία γίνεται ἀπὸ τοῦ θέλειν ἡμᾶς τὴν δόξαν τῶν ἀνθρώπων. Ὁ Κύριος εἶπε· «πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;». Πολλάκις κωλύω τὸ ὕδωρ κατελθεῖν διὰ τοῦ στόματός σου εἰς τὴν κοιλίαν σου, καὶ σὺ διὰ τοῦ ρώθωνος ροφᾷς αὐτό· τοῦτο δέ ἐστι τὸ δεινὸν δικαίωμα, τὸ καταφέρον εἰς ᾅδην τὸν ἄνθρωπον.

Διὰ τοῦτο οὖν χλευάζουσί σε ὁ πικρότατοι δαίμονες, καὶ τὰ

Θεὸ δρόμο, ποὺ ὁδηγεῖ στὴν αἰώνια ζωή, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

Εἴθε ὁ Θεὸς νὰ σὲ συνετίσει, ἀδελφέ, στὸ θέλημά του.

237

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Συγχώρεσέ με, κύριε ἀββᾶ, στὸ ὄνομα τοῦ Κυρίου. Ἐπειδὴ θυμᾶμαι ὅτι οἱ πατέρες λέγουν, 'νὰ μπαίνουμε στὸ κελλὶ καὶ νὰ φέρνουμε στὴ μνήμα μας τὶς ἁμαρτίες μας', καὶ ὅταν τὶς φέρνω δὲν πονῶ γι' αὐτές, ἀλλὰ πολλὲς φορὲς ποθῶ καὶ κατάνυξη, ἀλλὰ δὲν ἔρχεται, πές μου, τί εἶναι αὐτὸ ποὺ τὴν ἐμποδίζει καὶ δὲν ἔρχεται;

Ἀπόκριση

Ἀδελφέ, ἀστειεύεσαι λέγοντας αὐτά, καὶ δὲν θέλεις· διότι πραγματικὰ δὲν θέλεις. Διότι τὸ νὰ μποῦμε στὸ κελλὶ τῆς ψυχῆς σημαίνει καὶ νὰ τὴν ἐρευνήσουμε καὶ νὰ συμμαζέψουμε τὸν λογισμό μας ἀπὸ κάθε ἄνθρωπο· τότε πονοῦμε καὶ καταπληγωνόμαστε. Ἐκεῖνος λοιπὸν ποὺ ἐμποδίζει τὴν κατάνυξη νὰ ἔλθει σὲ σένα, εἶναι τὸ θέλημά σου· διότι, ἐὰν ὁ ἄνθρωπος δὲν κόψει τὸ θέλημά του, δὲν πονᾶ ἡ καρδιά· ἡ ἀπιστία ὅμως δὲν σὲ ἀφήνει νὰ κόψεις τὸ θέλημά σου, καὶ ἡ ἀπιστία δημιουργεῖται, ἐπειδὴ θέλουμε τὴ δόξα τῶν ἀνθρώπων. Ὁ Κύριος εἶπε· «πῶς μπορεῖτε νὰ πιστεύετε, δεχόμενοι δόξα ἀπὸ τοὺς ἀνθρώπους, καὶ μὴ ζητώντας τὴ δόξα ἀπὸ τὸν μόνο Θεό;»[13]. Πολλὲς φορὲς ἐμποδίζω τὸ νερὸ νὰ κατεβεῖ ἀπὸ τὸ στόμα σου στὴν κοιλιά σου καὶ σὺ τὸ ρουφᾶς μὲ τὴ μύτη σου· αὐτὸ εἶναι τὸ φοβερὸ αἴτιο ποὺ κατεβάζει τὸν ἄνθρωπο στὸν ᾅδη.

Γι' αὐτὸ λοιπὸν σὲ χλευάζουν οἱ πικρότατοι δαίμονες καὶ

13. Ἰω. 5,44.

εὔκολα δύσκολά σοι ποιοῦσιν. Ἢ ἐρωτῶν με, παῦσαι τοῦ θελήματός σου καὶ τοῦ δικαιώματος καὶ ἀνθρωπαρεσκείας, ἢ ἐγὼ παύομαι ἀπὸ σοῦ. Εἰ οὖν οὐ πονεῖς κόψαι τὸ θέλημά σου καὶ μὴ θελούσης σου τῆς καρδίας, τί ἔσται τὸ ὄφελος τῆς ἐρωτήσεώς σου; Ἐγὼ εἶπόν σοι· 'δὸς σὺ τὰ ἑκατὸν δηνάρια, καὶ ἐγὼ παρέχω τὰ μυρία μου τάλαντα', καὶ 'ἰδοὺ τὰ παλαιά σου ἁμαρτήματα ἀφέθησαν', καὶ φιλονεικεῖς διὰ τῆς παραθυρίου τοῦ δικαιώματος εἰς χείρονα ἐμπεσεῖν.

Παῦσαι, ἀδελφέ, οὐ καλὴ γάρ ἐστιν ἡ ὁδὸς αὕτη. Εἶπε γὰρ ἡ Ἀμμᾶ Σάρρα· «ἐὰν θέλω ἀρέσαι πᾶσιν ἀνθρώποις, εἰς τὰς θύρας αὐτῶν εὑρίσκομαι μετανοοῦσα»· καὶ ὁ Ἀπόστολος λέγει· «εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην». Εἰ ἐξ ἀληθείας θέλεις κλαῦσαι τὰς ἁμαρτίας σου, σεαυτῷ πρόσεχε, καὶ ἀπόθανον ἀπὸ παντὸς ἀνθρώπου· κόπος γάρ ἐστιν, ἀδελφέ, τὸ σωθῆναι ἄνθρωπον. Τὰ τρία ταῦτα κόψον, θέλημα, δικαίωμα, ἀνθρωπαρέσκειαν, καὶ ἔρχεταί σοι κατάνυξις μετὰ ἀληθείας, καὶ σκεπάζει σε ὁ Θεὸς ἀπὸ παντὸς κακοῦ.

Ἀδελφέ, μαρτύρομαί σοι· πρόσεχε σεαυτῷ, χαίρων, δερόμενος, ἐλεγχόμενος, ὑβριζόμενος, παιδευόμενος, ἄφες τὴν πανουργίαν τοῦ ὄφεως ἀπὸ σοῦ, μὴ τὴν φρόνησιν, καὶ κράτει τὴν ἀκεραιότητα τῆς περιστερᾶς μετὰ φρονήσεως, καὶ βοηθεῖ σοι ὁ Κύριος. Ἰδοὺ ἡ ὁδὸς τῆς σωτηρίας· ἐὰν ἀρέσκῃ σοι βάδιζε, καὶ ὁ Θεὸς δίδωσί σοι χεῖρα, εἰ δὲ οὐ θέλεις, σὺ ὄψει· ἕκαστος γὰρ ὁ θέλων, ἔχει ἑαυτοῦ τὴν ἐξουσίαν. Ἐὰν δὲ ἀπολύσῃς αὐτὴν ἄλλῳ, αὐτὸς ἀμέριμνος εἶ, καὶ ἄλλος βαστάζει σου τὴν μέριμναν. Ἐπίλεξαι ὃ θέλεις.

ΣΛΗ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

σοῦ κάνουν τὰ εὔκολα δύσκολα. Ἑπομένως ἤ, ἐρωτώντας με, σταμάτησε τὸ θέλημά σου καὶ τὸ δικαίωμα καὶ τὴν ἀνθρωπαρέσκεια, ἢ ἐγὼ θὰ σταματήσω νὰ ἀσχολοῦμαι μὲ σένα. Ἐὰν λοιπὸν δὲν κοπιάζεις νὰ κόψεις τὸ θέλημά σου καὶ ὅταν ἡ καρδία σου δὲ θέλει, ποιό θὰ εἶναι τὸ ὄφελος τῆς ἐρωτήσεώς σου; Ἐγὼ σοῦ εἶπα, 'δῶσε ἐσὺ τὰ ἑκατὸ δηνάρια, καὶ ἐγὼ σοῦ δίνω τὰ μύρια μου τάλαντα, καὶ νά, οἱ παλαιές σου ἁμαρτίες συγχωρήθηκαν', ἀλλὰ ἐσὺ ἀγωνίζεσαι μὲ τὸ παραθυράκι τοῦ δικαιώματος νὰ πέσεις σὲ χειρότερα.

Σταμάτησε, ἀδελφέ, διότι αὐτὸς ὁ δρόμος δὲν εἶναι καλός. Ἡ Ἀμμᾶ Σάρρα εἶπε· «ἐὰν θέλω νὰ ἀρέσω σὲ ὅλους τοὺς ἀνθρώπους, βρίσκομαι μετανοιωμένη στὶς θύρες τους». Καὶ ὁ Ἀπόστολος λέγει· «ἐὰν ἤμουν ἀρεστὸς στοὺς ἀνθρώπους, δὲν θὰ ἤμουν δοῦλος τοῦ Χριστοῦ»[14]. Ἐὰν θέλεις νὰ κλάψεις πραγματικὰ γιὰ τὶς ἁμαρτίες σου, πρόσεχε τὸν ἑαυτό σου, καὶ πέθανε ἀπὸ κάθε ἄνθρωπο· διότι, τὸ νὰ σωθεῖ ἄνθρωπος, ἀπαιτεῖται κόπος, ἀδελφέ. Κόψε αὐτὰ τὰ τρία, τὸ θέλημα, τὸ δικαίωμα, τὴν ἀνθρωπαρέσκεια, καὶ θὰ σοῦ ἔρθει πραγματικὴ κατάνυξη· καὶ ὁ Θεὸς θὰ σὲ προστατέψει ἀπὸ κάθε κακό.

Ἀδελφέ, σὲ ἐξορκίζω· πρόσεχε τὸν ἑαυτό σου καὶ νὰ χαίρεσαι ὅταν δέρνεσαι, ἐλέγχεσαι, ὑβρίζεσαι καὶ παιδεύεσαι· ἄφησε τὴν πανουργία τοῦ φιδιοῦ, ὄχι τὴ φρόνησή του, καὶ κράτησε τὴν ἀκεραιότητα τῆς περιστερᾶς μαζὶ μὲ τὴν φρόνηση, καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει. Νὰ ἡ ὁδὸς τῆς σωτηρίας· ἐὰν σοῦ ἀρέσει βάδιζε, καὶ ὁ Θεὸς θὰ σοῦ δώσει χέρι βοήθειας, ἐὰν ὅμως δὲν θέλεις, ἡ εὐθύνη θὰ εἶναι δική σου. Διότι ὅποιος θέλει, ἔχει τὴν ἐξουσία ὁ ἴδιος. Ἐὰν ὅμως τὴν δώσεις σὲ ἄλλον, ὁ ἴδιος θὰ εἶσαι ἀμέριμνος καὶ ἄλλος θὰ βαστάζει τὴ μέριμνό σου· διάλεξε ὅποιο θέλεις.

238

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

---

14. Γαλ. 1,10.

Τίς ἐστιν ἡ πανουργία καὶ ἡ φρόνησις καὶ ἡ ἀκεραιότης μετὰ φρονήσεως;

Ἀπόκρισις

Τὴν πανουργίαν τοῦ ὄφεως εἶπόν σοι, ἀφορῶν σου τὴν φρόνησιν· ἡ γὰρ πανουργία τοῦ διαβόλου ὅλα τὰ κακὰ ἐνθυμήματα φέρει ἐν τῷ ἀνθρώπῳ· καὶ ἐὰν μείνῃ ἐν τούτοις ὁ ἄνθρωπος, κατὰ τοῦ Θεοῦ ἐκτείνει τὴν πανουργίαν αὐτοῦ. Ὅλα γὰρ τὰ τῆς πανουργίας ἀπώλειά ἐστι ψυχῆς, «πᾶν γὰρ δένδρον σαπρόν, καρποὺς σαπροὺς ποεῖ», ἡ δὲ φρόνησις εἰς διάκρισιν φέρει τὸν ἄνθρωπον.

Εἶπόν σοι, ἀδελφέ, 'κράτει τὴν ἀκεραιότητα τῆς περιστερᾶς μετὰ φρονήσεως'· καὶ γὰρ τὰ ἐνθυμήματα αὐτῆς καλὰ καὶ ὠφέλιμα· «πᾶν γὰρ δένδρον καλόν, καρποὺς καλοὺς ποιεῖ». Ἡ πανουργία κάκωσιν ἐμποιεῖ τῷ ἀνθρώπῳ ψυχῆς καὶ σώματος, ἡ δὲ ἀκεραιότης μετὰ φρονήσεως εἰς ἀνάπαυσιν λογισμῶν καὶ ἡσυχίαν ψυχῆς καὶ σώματος, καὶ εἰς ζωὴν αἰώνιον φέρει τὸν ἄνθρωπον.

Σπούδασον κτήσασθαι ταῦτα καὶ βοηθεῖ σοι ὁ Κύριος· τοῦτο γὰρ θέλημα αὐτοῦ ἐστιν, ἡ σωτηρία παντὸς ἀνθρώπου.

ΣΛΘ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Δέομαί σου, δέσποτα, λέγει μοι ὁ λογισμός, ὅτι 'ἄνευ ἡσυχίας οὐ δύνασαι μετανοῆσαι'. Ἐὰν οὖν ᾖ δυνατόν, ἐπίτρεψόν μοι ὀλίγας ἡμέρας ἡσυχάσαι, καὶ εὖξαι ἵνα φυλάξω αὐτήν.

Ἀπόκρισις

Ἀδελφέ, τὴν ἀπόκρισίν σου ἀπεδεξάμην, μᾶλλον δὲ καὶ ὁ Θεός, ὁ καὶ δυνάμενος συνεργῆσαι εἰς τὸ ἀγαθὸν πρὸς τὸ συμφέρον σοι κατὰ τὸ θέλημα αὐτοῦ καὶ οὐ κατὰ τὸ θέλημά σου· καθὼς αὐτὸς ἐδίδαξεν ἡμᾶς ὁ Κύριος ἡμῶν

Ποιά εἶναι ἡ πανουργία, ἡ φρόνηση, καὶ ἡ ἀκεραιότητα μαζὶ μὲ φρόνηση.

Ἀπόκριση

Σοῦ εἶπα τὴν πανουργία τοῦ φιδιοῦ, ποὺ ἀφορᾶ τὴν φρόνησή σου· διότι ἡ πανουργία τοῦ διαβόλου φέρνει στὸν ἄνθρωπο ὅλες τὶς κακὲς ἐνθυμήσεις· καὶ ἐὰν ὁ ἄνθρωπος μένει σ' αὐτά, ἐκτείνει τὴν πανουργία του ἐνώπιον τοῦ Θεοῦ. Διότι ὅλα τὰ τῆς πανουργίας συντελοῦν στὴν ἀπώλεια τῆς ψυχῆς, «διότι κάθε σάπιο δένδρο, κάνει σάπιους καρπούς»[15], ἡ φρόνηση ὅμως ὁδηγεῖ τὸν ἄνθρωπο σὲ διάκριση.

Σοῦ εἶπα, ἀδελφέ, κράτα τὴν ἀκεραιότητα τῆς περιστερᾶς μαζὶ μὲ τὴ φρόνηση· καὶ οἱ ἐνθυμήσεις αὐτῆς εἶναι καλὲς καὶ ὠφέλιμες, «διότι κάθε καλὸ δένδρο, κάμει καλοὺς καρπούς»[16]. Ἡ πανουργία προκαλεῖ στὸν ἄνθρωπο κάκωση ψυχῆς καὶ σώματος· ἡ ἀκεραιότητα ὅμως μαζὶ μὲ τὴν φρόνηση ὁδηγεῖ τὸν ἄνθρωπο σὲ ἀνάπαυση λογισμῶν καὶ ἡσυχία ψυχῆς καὶ σώματος καὶ σὲ αἰώνια ζωή.

Φρόντισε ν' ἀποκτήσεις αὐτὰ καὶ ὁ Κύριος θὰ σὲ βοηθήσει· διότι αὐτὸ εἶναι τὸ θέλημά του, ἡ σωτηρία κάθε ἀνθρώπου.

239

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Σὲ παρακαλῶ, δέσποτα, ὁ λογισμός μοῦ λέγει, 'δὲν μπορεῖς νὰ μετανοήσεις χωρὶς ἡσυχία'. Ἐὰν λοιπὸν εἶναι δυνατόν, ἐπίτρεψέ μου νὰ ἡσυχάσω λίγες ἡμέρες καὶ προσευχήσου νὰ φυλάξω αὐτήν.

Ἀπόκριση

Ἀδελφέ, δέχθηκα τὴν ἀπάντησή σου ἐγὼ καὶ περισσότερο ὁ Θεός, ὁ ὁποῖος μπορεῖ νὰ συνεργήσει στὸ καλὸ γιὰ τὸ συμφέρον σου σύμφωνα μὲ τὸ θέλημά του καὶ ὄχι σύμφωνα μὲ τὸ θέλημά σου· καθὼς ὁ ἴδιος ὁ Κύριός μας

15. Ματθ. 7,17. 16. Ματθ. 7,17.

Ἰησοῦς Χριστὸς ποιεῖν οὐ τὸ ἴδιον θέλημα, ἀλλὰ τὸ αὐτοῦ, καθὼς καὶ αὐτὸς τοῦ Πατρός. Καὶ μετ' αὐτὸν ἥπλωσα ἐπὶ σὲ τὰς πτέρυγάς μου ἕως τῆς σήμερον καὶ βαστάζω σου τὰ βάρη καὶ τὰ παραπτώματα καὶ τὰς καταφρονήσεις τὰς περὶ τῶν λόγων μου πρὸς σέ, καὶ τὰς ἀμελείας· καὶ θεωρῶν ἐσκέπαζον, ὡς θεωρεῖ καὶ σκεπάζει τὰς ἡμῶν ἁμαρτίας ὁ Θεός, ἀπεκδεχόμενός σε μετανοοῦντα.

Σὺ δὲ ἐγένου ὡς ἄνθρωπος καθήμενος ὑπὸ δένδρον σκιάζον, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ εἰς ἥλιον ἕως οὗ ἐφλογίσθη τοῦ διαφθαρῆναι εἰς ἀπώλειαν. Καὶ ἐν πᾶσι τούτοις οὐκ ἐνέδωκα. Ζῇ Κύριος καὶ μὴ θαυμάσῃς. Καὶ γὰρ ὁ Θεὸς εἰς ἑαυτὸν ὤμοσε, «μὴ θέλειν τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Καὶ ἐπεὶ οὐκ ἐπιστρέφει, μένῃ ἐν τῇ ἀπωλείᾳ. Σὺ δέ, τέκνον, ὀξόγλυκα ᾔτησας (ὀξύδιον λέγω τὸ θέλημά σου καὶ μέλι τὴν μετάνοιάν σου), λέγων 'ἐπίτρεψόν μοι ἡσυχάσαι ὀλίγας ἡμέρας', ὡς ὁμολογουμένως εἰδὼς τὸ συμφέρον, καὶ τοῦτο ὑψηλοφροσύνη ἐστί, ἀντὶ τοῦ εἰπεῖν, 'ὁδήγησόν με εἰς τὴν ὁδὸν τοῦ Θεοῦ'. Ὁ Θεὸς φωτίσοι τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου, γνῶναι, ὅπως κοπιῶ ὑπὲρ σοῦ, φειδόμενος μὴ ἀπολέσθαι σε. Ἀλλὰ χρεία τῆς συνεργίας σου ὀλίγον ἐν ὀνόματι τοῦ Θεοῦ.

Ἰδοὺ δίδωμί σοι ἐντολὴν εἰς σωτηρίαν, ἣν ἐὰν φυλάξῃς, βαστάζω τὸ κατὰ σοῦ χειρόγραφον· καὶ οὐδὲ ἀφῶ σε οὐδὲ ἐν τῷ νῦν αἰῶνι οὐδὲ ἐν τῷ μέλλοντι, χάριτι Χριστοῦ. Μὴ ἀπατηθῇς ἐν χορτασίᾳ κοιλίας, μηδὲ ἐκτὸς τῆς τοῦ σώματος χρείας ἡδυνθῇς τοῦ μεταλαβεῖν βρώματος ἢ πόματος· καὶ φύλαξον μὴ κρῖναί τινα· καὶ γενοῦ εὐπειθής, καὶ ἔρχῃ εἰς ταπείνωσιν, καὶ καίεται ἀπὸ σοῦ πάντα τὰ πάθη. Καὶ μὴ δυσχεράνῃς νομίζων τὴν ἐντολὴν εἶναι βαρεῖαν· οὐκ ἔστι γὰρ ἄνευ κόπου καὶ φυλακῆς ἐντολῆς σωθῆναί τινα.

Ἰησοῦς Χριστὸς μᾶς δίδαξε νὰ κάνουμε ὄχι τὸ δικό μας θέλημα ἀλλὰ τὸ δικό του, ὅπως καὶ αὐτὸς κάνει τοῦ Πατρός του. Καὶ μετὰ ἀπ' αὐτὸν ἅπλωσα τὶς φτεροῦγες μου πάνω σου μέχρι σήμερα καὶ βαστάζω τὰ βάρη σου καὶ τὰ παραπτώματά σου καὶ τὶς περιφρονήσεις τῶν λόγων μου πρὸς ἐσένα καὶ τὶς ἀμέλειες· καὶ βλέποντάς τα, τὰ ἐσκέπαζα, ὅπως βλέπει καὶ σκεπάζει τὶς ἁμαρτίες μας ὁ Θεός, ποὺ σὲ δέχεται ὅταν μετανοεῖς.

Ἐσὺ ὅμως ἔγινες σὰν ἄνθρωπος ποὺ κάθεται κάτω ἀπὸ σκιερὸ δένδρο καὶ βγῆκε ἀπὸ αὐτὸ στὸν ἥλιο, μέχρι ποὺ φλογίσθηκε καὶ κατάντησε στὴν καταστροφὴ καὶ τὴν ἀπώλεια. Καὶ σὲ ὅλα αὐτὰ δὲν ὑποχώρησα. Ὁ κύριος ζεῖ καὶ μὴ ἀπορήσεις. Διότι καὶ ὁ Θεος ὁρκίστηκε στὸν ἑαυτό του, ὅτι «δὲν θέλει τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ἐπιστροφὴ καὶ τὴ ζωή του»[17]. Καὶ ὅταν δὲν ἐπιστρέφει, μένει στὴν ἀπώλεια. Ἐσύ, τέκνο, ζήτησες ξυνόγλυκα πράγματα (ξύδι ἐννοῶ τὸ θέλημά σου καὶ μέλι τὴ μετάνοιά σου), λέγοντας, 'ἐπίτρεψέ με νὰ ἡσυχάσω λίγες ἡμέρες', σὰν νὰ γνωρίζεις μὲ βεβαιότητα τὸ συμφέρον, πρᾶγμα ποὺ εἶναι ὑψηλοφροσύνη, ἀντὶ νὰ πεῖς, 'ὁδήγησέ με στὸν δρόμο τοῦ Θεοῦ'. Εἴθε ὁ Θεὸς νὰ φωτίσει τὰ μάτια τῆς καρδιᾶς σου, ὥστε νὰ γνωρίσεις, ὅτι κοπιάζω γιὰ σένα, στενοχωρούμενος μήπως χαθεῖς. Ἀλλὰ χρειάζεται λίγο ἡ συνεργασία σου στὸ ὄνομα τοῦ Θεοῦ.

Νά, σοῦ δίνω ἐντολὴ γιὰ σωτηρία, τὴν ὁποία, ἐὰν φυλάξεις, θὰ βαστάξω τὸ ἐναντίον σου χειρόγραφο, καὶ δὲν θὰ σ' ἀφήσω οὔτε στὸν παρόντα οὔτε στὸ μέλλοντα αἰώνα, μὲ τὴ χάρη τοῦ Χριστοῦ. Μὴ ἀπατηθεῖς μὲ τὸν κορεσμὸ τῆς κοιλιᾶς, οὔτε ἐκτὸς ἀπὸ τὴν ἀνάγκη τοῦ σώματος νὰ φᾶς μὲ ἡδονὴ τροφὴ ἢ ποτό. Ἐπίσης προφυλάξου νὰ μὴ κρίνεις κάποιον, γίνε εὐπειθής, καὶ θὰ ἔρθεις σὲ ταπείνωση καὶ θὰ καοῦν ἀπὸ σένα ὅλα τὰ πάθη. Καὶ μὴ δυσανασχετήσεις, νομίζοντας ὅτι ἡ ἐντολὴ εἶναι βαρειά· διότι δὲν εἶναι δυνατὸν νὰ σωθεῖ κανεὶς χωρὶς κόπο καὶ χωρὶς φύλαξη τῆς ἐντολῆς.

---

17. Ἰεζ. 33,11.

Ἰδοὺ οὖν ἔλαβον ἀπὸ σοῦ τὸ βάρος καὶ τὸ φορτίον καὶ τὸ χρέος καὶ ἰδοὺ νέος ἐγένου, ἰδοὺ ἀνεύθυνος, ἰδοὺ καθαρός. Μεῖνον λοιπὸν ἐν τῇ καθαρότητι. Ἄκουσον τοῦ Σωτῆρος λέγοντος, «ἰδοὺ ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται». Καὶ μὴ νομίσῃς ἄκοπον εἶναι τὸ σωθῆναι, ἱδρώτων γὰρ χρεία καὶ κόπου καὶ βίας. Μὴ χαυνωθῇς τῷ σώματι, ἐπεὶ καταβάλλει σε· ἀκριβῶς γάρ, καὶ μεγάλοι, ἐὰν μὴ προσέχωσι, καταβάλλονται. Ἀνδρίζου τὸ λοιπόν, ἀδελφέ μου, καὶ φύλαξον τὰς ἐντολάς μου, μᾶλλον δὲ τὰς τοῦ Θεοῦ, καὶ χαροποιεῖς με. Καὶ ὁ Κύριος φυλάττοι σε ἀπὸ τοῦ πονηροῦ καὶ χαροποιεῖ σε εἰς τὴν βασιλείαν αὐτοῦ.

Μελέτησον ταῦτα διὰ παντός· πόθησον σωθῆναι, καὶ σώζει σε ὁ Θεός, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΜ΄

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Συγχώρησόν μοι, κύριε ἀββᾶ, διὰ τὸν Κύριον· ἐπεὶ εἶπέ μοι ἡ ἁγιωσύνη σου, ὅτι 'ἰδοὺ ἀφέθησαν αἱ ἀνομίαι σου', καὶ ὁ ἀββᾶς Ἠσαΐας λέγει, ὅτι 'ἕως οὗ ὁ ἄνθρωπος ἔχει τὴν ἡδονὴν αὐτῶν, ἀκμὴν οὐκ ἀφέθησαν', καὶ ἰδοὺ ἔχω τὴν ἡδονὴν αὐτῶν. Διὰ τὸν Κύριον, σαφήνισόν μοι ταῦτα· θλίβεται γάρ μου ὁ λογισμός, λέγων, ὅτι 'τοιοῦτος ὤν, οὐκ ὤφειλες καταδέξασθαι χειροτονίαν, ὅτι καὶ κενοδοξίαν ἔχει τὸ πρᾶγμα καὶ βάρος'· καὶ διστάζω λοιπὸν εἰς τὴν διακονίαν. Ἅμα δὲ καὶ παρακαλῶ εἰπεῖν μοι, ὅτι λέγει μοι ὁ λογισμός, 'ὅτι ἐγκατελείφθην ὑπὸ τοῦ Θεοῦ, διὰ τὸ βαρυνθῆναί με πάνυ ἐπὶ τῆς παρελθούσης ἑβδομάδος ὑπὸ τῆς πορνείας'.

Νὰ λοιπὸν πῆρα ἀπὸ σένα τὸ βάρος καὶ τὸ φορτίο καὶ τὸ χρέος καὶ νά, ἔγινες νέος, ἀνεύθυνος, καθαρός. Μεῖνε λοιπὸν στὴν καθαρότητα. Ἄκουσε τὸν Σωτήρα ποὺ λέγει· «νά, ἔχεις γίνει ὑγιής· μὴ ἁμαρτάνεις πλέον, γιὰ νὰ μὴ σοῦ συμβεῖ τίποτε χειρότερο»[17α]. Καὶ μὴ νομίσεις ὅτι ἡ σωτηρία κατορθώνεται χωρὶς κόπο· διότι ἀπαιτοῦνται ἱδρῶτες καὶ κόποι καὶ βία. Μὴ χαυνωθεῖς στὸ σῶμα, καθόσον σὲ καταβάλλει· διότι καὶ οἱ μεγάλοι ἀκόμη, ἐὰν δὲν προσέχουν, καταβάλλονται. Δεῖξε ἀνδρεία στὸ ἑξῆς, ἀδελφέ μου, καὶ φύλαξε τὶς ἐντολές μου, ἢ καλύτερα τὶς ἐντολὲς τοῦ Θεοῦ, καὶ θὰ μὲ γεμίσεις μὲ χαρά. Εἴθε ὁ Κύριος νὰ σὲ φυλάγει ἀπὸ τὸν πονηρὸ καὶ νὰ σοῦ χαρίσει τὴ χαρὰ στὴ βασιλεία του.

Μελέτησε αὐτὰ γιὰ πάντα· πόθησε νὰ σωθεῖς καὶ θὰ σὲ σώσει ὁ Θεός, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

240

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Συγχώρεσέ με, κύριε ἀββᾶ, στὸ ὄνομα τοῦ Κυρίου· διότι ἡ ἁγιωσύνη σου μοῦ εἶπε, 'νά, συγχωρήθηκαν οἱ ἁμαρτίες σου', καὶ ὁ ἀββᾶς Ἠσαΐας λέγει, 'ἕως ὅτου ὁ ἄνθρωπος ἔχει τὴν ἡδονή τους, ἀκόμα δὲν συγχωρέθηκαν'· καὶ νά, ἔχω τὴν ἡδονή τους. Στὸ ὄνομα τοῦ Κυρίου, διασαφήνισέ μου αὐτά, διότι ὁ λογισμός μου θλίβεται, λέγοντάς μου, 'ἀφοῦ εἶσαι τέτοιος δὲν ἔπρεπε νὰ δεχθεῖς χειροτονία, διότι τὸ πρᾶγμα ἔχει καὶ κενοδοξία καὶ βάρος'· καὶ διστάζω λοιπὸν στὴ διακονία. Καὶ συγχρόνως παρακαλῶ νὰ μοῦ πεῖς, διότι ὁ λογισμὸς μοῦ λέγει 'ὅτι ἐγκαταλείφθηκα ἀπὸ τὸ Θεό', λόγω τοῦ ὅτι βαρύνθηκα πολὺ τὴν περασμένη ἑβδομάδα ἀπὸ τὴν πορνεία.

17α. Ἰω. 5,14.

Ἀπόκρισις

Ὢ βουλῆς τῶν πονηρῶν δαιμόνων! ὢ ἀπάτης τοῦ ἀρχηγοῦ αὐτῶν καὶ μισοκάλου καὶ μισανθρώπου ἀπ' ἀρχῆς καὶ μέχρι τέλους διαβόλου! Ὅτι, καθὼς ἀπέστη ἀπὸ τοῦ Θεοῦ, θέλει πάντας ἀνθρώπους ἀπολέσαι. Ἀδελφέ, εἶπόν σοι, ὅτι 'ἀφέθησάν σοι αἱ ἁμαρτίαι σου αἱ πρότερον', οὐχὶ δὲ ὅτι καὶ οἱ πόλεμοι αὐτῶν ἀπῆλθον, ἀλλ' ἐν τῷ ἀγῶνι στήκει ὁ ἄνθρωπος. Καὶ εἰ οὐκ εἶχες ἁμαρτίας, ἔφερέ σοι τὴν ἡδονὴν αὐτῶν· καὶ ὅτι εἶχες πάλιν, τὸ αὐτὸ ποιεῖ φέρων σοι τὴν ἡδονὴν αὐτῶν. Ὁ τρόπος δέ, ὃν εἶπεν ὁ Ἀββᾶς Ἡσαΐας, περὶ τῶν ἡδονῶν ἐστι καὶ τῶν ἐργαζομένων αὐτάς· καὶ γὰρ ἄλλο ἐστὶ τὸ μνημονεῦσαί τινα τῆς τοῦ μέλιτος γλυκύτητος καὶ ἄλλο ἐστὶ τὸ ἔχειν σὺν τῇ μνήμῃ τὴν γεῦσιν. Ὥστε οὖν τῷ μνημονεύοντι τῆς τῶν ἁμαρτιῶν ἡδονῆς, μὴ πράττοντι δὲ τὰ τῆς ἡδονῆς, ἀλλ' ἀντιλέγοντι καὶ ἀνταγωνιζομένῳ, τῷ τοιούτῳ ἀφέθησαν αἱ πρότερον ἁμαρτίαι.

Ἀλλὰ ταῦτά εἰσι τὰ μηχανήματα τοῦ ἀντιδίκου καὶ ἀντικειμένου ἡμῖν, τοῦ ἀεὶ θέλοντος καταπιεῖν ζῶντας τοὺς ἀνθρώπους, ἵνα εἰς ἀπόγνωσιν σωτηρίας καὶ ἀνελπιστίαν ζωῆς αἰωνίου ἐνέγκῃ τοὺς μὴ ἐστηριγμένους ἐν τῇ στερεᾷ πέτρᾳ τῆς πίστεως, ἧς κατὰ τὸ μέτρον ἕκαστος λήψεται. Τήρησον οὖν σεαυτὸν ἀπὸ τούτων, ἵνα μὴ τελείως ἐμπέσῃς εἰς τὰς χεῖρας τοῦ διαβόλου, καὶ ἐλεεῖ σε ὁ ζῶν εἰς τοὺς αἰῶνας Κύριος.

Περὶ δὲ τῆς χειροτονίας, τίς τολμᾷ ἑαυτὸν λέγειν ἄξιον, εἰ μὴ ὁ μαινόμενος μετὰ ἀληθείας καὶ ἀκριβῶς ἐπιλαθόμενος ἑαυτοῦ; Λοιπὸν κατακρίνων σεαυτόν, λειτούργησον τῷ Θεῷ ἐν τῷ δοθέντι σοι κλήρῳ, καὶ αὐτοῦ ἐστι τὸ ἔλεος καὶ ἡ βοήθεια καὶ ἡ δύναμις. Ἐν τῇ Λειτουργίᾳ δὲ μνημόνευε λέγων· «δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ»· καὶ «ὁ ποιῶν

'Απόκριση

Πώ πὼ σκέψη τῶν πονηρῶν δαιμόνων! Πὼ πὼ ἀπάτη τοῦ ἀρχηγοῦ αὐτῶν καὶ μισοκάλου καὶ μισανθρώπου διαβόλου ἀπὸ τὴν ἀρχὴ μέχρι τὸ τέλος! Διότι ἀπὸ τότε ποὺ ἀπομακρύνθηκε ἀπὸ τὸ Θεό, θέλει νὰ ὁδηγήσει στὴν ἀπώλεια ὅλους τοὺς ἀνθρώπους. 'Αδελφέ, σοῦ εἶπα, ὅτι 'οἱ προηγούμενες ἁμαρτίες σου συγχωρήθηκαν', ὄχι ὅμως ὅτι ἀπομακρύνθηκαν καὶ οἱ πολέμιοι αὐτῶν, ἀλλὰ ὁ ἄνθρωπος βρίσκεται μέσα στὸν ἀγώνα. Καὶ ἐὰν δὲν εἶχες ἁμαρτίες θὰ σοῦ ἔφερνε τὴν ἡδονή τους· καὶ ὅτι εἶχες πάλι, κάνει τὸ ἴδιο μὲ τὸ νὰ σοῦ φέρνει τὴν ἡδονή τους. Ὁ τρόπος τὸν ὁποῖον εἶπε ὁ ἀββᾶς Ἡσαΐας εἶναι γιὰ τὶς ἡδονὲς καὶ γι' αὐτοὺς ποὺ τὶς δημιουργοῦν· διότι ἄλλο εἶναι νὰ θυμηθεῖ κανεὶς τὴν γλυκύτητα τοῦ μελιοῦ καὶ ἄλλο εἶναι νὰ ἔχει μαζὶ μὲ τὴν ἀνάμνηση καὶ τὴ γεύση. Ὥστε λοιπὸν συγχωρήθηκαν οἱ προηγούμενες ἁμαρτίες σ' ἐκεῖνον ποὺ θυμᾶται βέβαια τὴν ἡδονὴ τῶν ἁμαρτιῶν, δὲν πράττει ὅμως τὰ σχετικὰ μὲ τὴν ἡδονή, ἀλλὰ ἀντιλέγει καὶ ἀνταγωνίζεται.

'Αλλὰ αὐτὰ εἶναι μηχανορραφίες τοῦ ἀντιδίκου καὶ ἀντικείμενου σὲ μᾶς, ἐκείνου ποὺ θέλει πάντα νὰ καταπίνει ζωντανοὺς τοὺς ἀνθρώπους, γιὰ νὰ ὁδηγήσει σὲ ἀπόγνωση σωτηρίας καὶ ἀνελπιστία τῆς αἰώνιας ζωῆς ἐκείνους ποὺ δὲν στηρίζονται στὴν στερεὴ πέτρα τῆς πίστεως, τὴν ὁποία ὁ καθένας θὰ λάβει σύμφωνα μὲ τὸ μέτρο του. Φύλαξε λοιπὸν τὸν ἑαυτό σου ἀπὸ αὐτές, γιὰ νὰ μὴ πέσεις τελείως στὰ χέρια τοῦ διαβόλου, καὶ θὰ σὲ ἐλεήσει ὁ Κύριος ποὺ ζεῖ στοὺς αἰῶνες.

Ὅσο γιὰ τὴ χειροτονία, ποιός τολμᾶ νὰ λέγει ἄξιο τὸν ἑαυτό του, παρὰ ἐκεῖνος ποὺ μαίνεται πραγματικὰ καὶ ξεχνᾶ στ' ἀλήθεια τὸν ἑαυτό του; Κατακρίνοντας λοιπὸν τὸν ἑαυτό σου, ὑπηρέτησε τὸ Θεὸ στὸν κλῆρο ποὺ σοῦ δόθηκε, καὶ εἶναι δικό του τὸ ἔλεος καὶ ἡ βοήθεια καὶ ἡ δύναμη. Στὴ λειτουργία μνημόνευε λέγοντας· «ὑπηρετῆστε τὸν Κύριο μὲ φόβο, καὶ νοιώθετε τὴν ἀγαλλίαση ποὺ παρέχει ὁ τρόμος πρὸς αὐτόν»[18],

τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα». Μὴ φοβηθῇς· οὐκ ἐγκατελείφθης ὑπὸ τοῦ Θεοῦ. Ἐὰν γὰρ ἡμεῖς οὐκ ἐγκαταλείψωμεν αὐτόν, αὐτὸς οὐ καταλιμπάνει ἡμᾶς· θέλημα γὰρ αὐτοῦ ἐστι, τὸ ἐπιστρέψαι ἡμᾶς καὶ σωθῆναι.

Τὸ δὲ βαρηθῆναί σε ὑπὸ τῆς πορνείας πάνυ, γίνεται ἀπὸ τοῦ διαλογίζεσθαι κατὰ τοῦ πλησίον καὶ κρίνειν αὐτόν· ἔσται δὲ καὶ ἀπὸ τοῦ παρρησιάζεσθαι μεθ᾽ ὧν εἶπόν σοι μὴ παρρησιάζεσθαι. Εἰ οἱ κατὰ κόσμον πλουτεῖν βουλόμενοι κινδυνεύουσι πολλάκις ἐν θαλάσσῃ καὶ ὁδοιπορίαις καὶ ὑπομένουσι, πόσῳ γε μᾶλλον ἡμεῖς οἱ τὴν βασιλείαν τῶν οὐρανῶν προσδοκῶντες καὶ κληθῆναι τέκνα Θεοῦ; Οἱ ἀκούοντες, ὅτι «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας»; Ἀκμὴν οὐ μέχρις αἵματος ἀντικατέστης πρὸς τὴν ἁμαρτίαν καὶ παραλύῃ ἀπὸ τοῦ πνεύματος τῆς ἀκηδίας; Τί ὑπέμεινας; τί ἐβάστασας; ποίους πειρασμοὺς ποικίλους χαίρων ὑπέμεινας;

Αἴ! κοιμώμενε μοναχέ, δεῖξον τῷ διαβόλῳ, ὅτι ζῇς τῷ Θεῷ, φεύγων πρὸς αὐτόν, κοινῶν τὰς χεῖρας καὶ τοὺς πόδας, κολυμβῶν τῇ προσβολῇ τῶν νοητῶν κυμάτων καὶ καταβαινόντων ἕως τῶν ἀβύσσων. Μαρτύρομαί σοι ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἥπλωται μετὰ σοῦ ἡ καρδία μου, ὡς οἶδεν ὁ πλάσας αὐτὴν Θεός· καὶ παραθεὶς ἐν αὐτῇ τὴν διαθήκην τῶν φυλαττομένων ἐν αὐτῇ ἁγίων ἐντολῶν, τοῦ ἐξαγαγεῖν σε ἀπὸ τοῦ σκότους, δυνάμει Θεοῦ εἰς τὸ φῶς τὸ ἀληθινόν, καὶ ἀπὸ τοῦ θανάτου τῆς κατακρίσεως εἰς τὴν ζωὴν τῆς δικαιοσύνης.

Πρόσεχε σεαυτῷ, ἀδελφέ· ἐκτὸς γὰρ κόπου καὶ ταπεινώσεως σωθῆναι ἀδύνατον.

---

18. Ψαλμ. 2,11.

καὶ «αὐτὸς ποὺ κάνει τοὺς ἀγγέλους του πνεύματα καὶ τοὺς λειτουργούς του φλόγα φωτιᾶς»[19]. Μὴ φοβηθεῖς· δὲν ἐγκαταλείφθηκες ἀπὸ τὸ Θεό. Διότι, ἐὰν ἐμεῖς δὲν τὸν ἐγκαταλείψουμε, αὐτὸς δὲν μᾶς ἐγκαταλείπει· θέλημά του εἶναι νὰ ἐπιστρέψουμε καὶ νὰ σωθοῦμε.

Τὸ ὅτι πάλι βαρύνεσαι πολὺ ἀπὸ τὴν πορνεία, αὐτὸ γίνεται ἐπειδὴ σκέφτεσαι ἐναντίον τοῦ πλησίον καὶ τὸν κρίνεις· καὶ ἀκόμη σοῦ συμβαίνει αὐτὸ ἐπειδὴ συμπεριφέρεσαι μὲ παρρησία πρὸς ἐκείνους ποὺ σοῦ εἶπα νὰ μὴ συμπεριφέρεσαι μὲ παρρησία. Ἐὰν ἐκεῖνοι ποὺ θέλουν νὰ πλουτήσουν κατὰ κόσμο πολλὲς φορὲς κινδυνεύουν στὴ θάλασσα καὶ στὶς ὁδοιπορίες καὶ ὑπομένουν ὅλα αὐτά, πόσο περισσότερο πρέπει νὰ συμβαίνει αὐτὸ μὲ ἐμᾶς ποὺ προσδοκοῦμε τὴν βασιλεία τῶν οὐρανῶν καὶ νὰ ὀνομασθοῦμε τέκνα Θεοῦ; Ἐμεῖς ποὺ ἀκοῦμε, ὅτι δεν εἶναι ἡ πάλη μας πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὶς ἀρχὲς καὶ τὶς ἐξουσίες; Δὲν ἀντιστάθηκες ἀκόμα μέχρις αἵματος πρὸς τὴν ἁμαρτία καὶ παραλύεσαι ἀπὸ τὸ πνεῦμα τῆς ἀκηδίας; Τί ὑπέμεινες; τί βάσταξες; ποιούς ποικίλους πειρασμοὺς ὑπέμεινες μὲ χαρά;

Ἔ! κοιμώμενε μοναχέ, δεῖξε στὸν διάβολο ὅτι ζεῖς γιὰ τὸ Θεό, φεύγοντας πρὸς αὐτόν, κουνώντας τὰ χέρια καὶ τὰ πόδια, κολυμπώντας στὴν προσβολὴ τῶν νοητῶν κυμάτων, ποὺ ἀνεβαίνουν μέχρι τὸν οὐρανὸ καὶ κατεβαίνουν μέχρι τὴν ἄβυσσο. Σὲ βεβαιώνω ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἔχει ἁπλωθεῖ μὲ σένα ἡ καρδιά μου, ὅπως γνωρίζει ὁ Θεός ποὺ τὴν ἔπλασε καὶ ἔβαλε σ' αὐτὴν τὴ διαθήκη τῶν ἁγίων ἐντολῶν ποὺ φυλάσσονται μέσα σ' αὐτήν, ὥστε μὲ τὴ δύναμη τοῦ Θεοῦ νὰ σὲ βγάλει ἀπὸ τὸ σκοτάδι στὸ ἀληθινὸ φῶς, καὶ ἀπὸ τὸν θάνατο τῆς κατακρίσεως στὴ ζωὴ τῆς δικαιοσύνης.

Πρόσεχε τὸν ἑαυτό σου, ἀδελφέ· διότι χωρὶς κόπο καὶ ταπείνωση δὲν εἶναι δυνατὸν νὰ σωθεῖς.

---

19. Ψαλμ. 103,4.

ΣΜΑ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐπειδή, πάτερ, ἐκέλευσέ μοι ἡ ἁγιωσύνη σου λειτουργῆσαι, δήλωσόν μοι παρακαλῶ, τί ὀφείλω λογίζεσθαι ἢ μελετᾶν παρεστηκὼς τῷ θυσιαστηρίῳ μετὰ τοῦ πρεσβυτέρου ἢ μερίζων τὸν ἅγιον ἄρτον, ἢ ποτίζων τὸ ἅγιον αἷμα, ἢ βαστάζων κοινωνίαν καὶ ἀπιὼν πρός τινα; Καὶ εἰ ὀφείλω ἔχειν ἱμάτιον ἀφωρισμένον εἰς τὴν λειτουργικὴν χρείαν, ἢ περισκέλιον φορέσαι περὶ τὸ σῶμα.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἀδελφέ, ὅλα πνευματικῶς ἀλληγορεῖται καὶ σὺ σαρκικῶς ταῦτα νοεῖς. Ὁ διακονῶν ὡς τὰ χερουβὶμ ὀφείλει εἶναι, ὅλος ὀφθαλμός, ὅλος νοῦς, τὰ ἄνω νοῶν καὶ φρονῶν, τὸν φόβον, τὸν τρόμον, τὴν δοξολογίαν· βαστάζει γὰρ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ ἀθανάτου Βασιλέως. Λαμβάνει δὲ καὶ τὸ πρόσωπον τῶν σεραφὶμ διὰ τὴν κραυγὴν τῆς δοξολογίας καὶ τὸ ῥιπίζειν ὡς ἐν ταῖς ἁγίαις πτέρυξι τὰ κρυπτὰ μυστήρια μνημονεύων διὰ τῶν πτερύγων τῆς ἀπὸ γῆς καὶ τῶν ὑλικῶν πραγμάτων κουφότητος, κραυγάζων ἀδιαλείπτως τῷ νοΐ, ἐν τῷ ναῷ τοῦ ἔσω ἀνθρώπου τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς δόξης τοῦ Θεοῦ ἡμῶν, «Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαββαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου». Ἀπὸ δὲ τῆς φρικτῆς καὶ φοβερᾶς φωνῆς τοῦ κηρύγματος τούτου, ἐκπίπτει τρέμων ὁ διάβολος ἀπὸ τῆς αἰχμαλώτου ψυχῆς· φυγαδεύονται δὲ θορυβούμενοι καὶ καταισχυνόμενοι οἱ δαίμονες, ἀφέντες αὐτὴν ἐλευθέραν τῆς δουλείας αὐτῶν. Καὶ βλέπει λοιπὸν ὅτι ἀνέτειλεν αὐτῇ τὸ φῶς τὸ ἀληθινόν· καὶ προσέχουσα βλέπει τὴν

241

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πάτερ, ἐπειδὴ ἡ ἁγιωσύνη σου μὲ διέταξε νὰ λειτουργήσω, σὲ παρακαλῶ, δήλωσέ μου, τί ὀφείλω νὰ σκέπτομαι ἢ νὰ μελετῶ ὅταν βρίσκομαι στὸ θυσιαστήριο μὲ τὸν πρεσβύτερο ἢ ὅταν κόβω τὸν ἅγιο ἄρτο ἢ ὅταν ποτίζω τὸ ἅγιο αἷμα ἢ ὅταν βαστάζω τὴν κοινωνία καὶ πηγαίνω σὲ κάποιον. Καὶ ἐὰν ὀφείλω νὰ ἔχω ὁρισμένο ἱμάτιο γιὰ τὴ λειτουργικὴ ἀνάγκη ἢ νὰ φορέσω περισκέλιο γύρω ἀπὸ τὸ σῶμα.

Ἀπόκριση Βαρσανουφίου.

Αδελφέ, ὅλα ἀλληγοροῦνται πνευματικά, ἐσὺ ὅμως τὰ καταλαβαίνεις σαρκικά. Ὁ διάκονος ὀφείλει νὰ εἶναι σὰν τὰ χερουβίμ, ὅλος ὀφθαλμός, ὅλος νοῦς, νὰ σκέπτεται καὶ νὰ φρονεῖ τὰ ἄνω, τὸν φόβο, τὸν τρόμο, τὴ δοξολογία· διότι βαστάζει τὸ σῶμα καὶ τὸ αἷμα τοῦ ἀθάνατου Βασιλιᾶ. Λαμβάνει ἐπίσης καὶ τὸ πρόσωπο τῶν σεραφὶμ γιὰ τὴν κραυγὴ τῆς δοξολογίας, καὶ τὸ ρίπισμα τῶν κρυφῶν μυστηρίων σὰν μέσα στὶς ἅγιες πτέρυγες, μνημονεύοντας μὲ τὶς πτέρυγες τὴν ἀνύψωση ἀπὸ τὴ γῆ καὶ ἀπὸ τὰ ὑλικὰ πράγματα, κραυγάζοντας ἀδιάλειπτα μὲ τὸν νοῦ, μέσα στὸν ναὸ τοῦ ἐσωτερικοῦ ἀνθρώπου, τὸν ἐπινίκιο ὕμνο τῆς μεγαλοπρεποῦς δόξας τοῦ Θεοῦ μας, «ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαββαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου»[20]. Ἀπὸ τὴ φρικτὴ καὶ φοβερὴ φωνὴ αὐτοῦ τοῦ κηρύγματος πέφτει ἀπὸ τὴν αἰχμάλωτη ψυχὴ τρέμοντας ὁ διάβολος καὶ φεύγουν ἐνοχλημένοι καὶ καταντροπιασμένοι οἱ δαίμονες, ἀφοῦ τὴν ἀφήσουν ἐλεύθερη ἀπὸ τὴ δουλεία σ' αὐτούς. Καὶ βλέπει τότε ὅτι ἀνέτειλε σ' αὐτὴν τὸ ἀληθινὸ φῶς, καὶ προσέχοντας βλέπει τὴν εὐπρέπεια τοῦ ἀθάνατου ἀμνοῦ καὶ

20. Ἠσ. 6,3.

εὐπρέπειαν τοῦ ἀθανάτου ἀμνοῦ, καὶ ἐπιποθεῖ ἐμπλησθῆναι τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος. Καὶ τότε ἀκούει τοῦ μεγαλοφώνου Δαβὶδ βοῶντος καὶ λέγοντος, «γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος». Καὶ προσελθοῦσα ἐν φόβῳ, κονωνὸς γίνεται τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος καὶ ἀνεξάλειπτος γίνεται ἡ γεῦσις ἐν αὐτῇ, φυλάττουσα αὐτὴν ἀπὸ παντὸς πάθους.

Ταῦτα μελέτα, εἴτε παρεστηκὼς τοῖς ἁγίοις, εἴτε μερίζων ἢ ποτίζων ἢ βαστάζων κοινωνίαν πρός τινα, ἢ συστέλλων τὰ Ἅγια, καὶ ἁπλῶς πᾶσαν λειτουργίαν ποιῶν τοῦ θυσιαστηρίου.

Περὶ δὲ τοῦ ἱματίου, πνευμαιτκὴν κτῆσαι χλαμύδα, ἐν ᾗπερ εὐαρεστεῖται ὁ Θεός· τὰ δὲ περισκέλια ἐστί, τὸ νεκρῶσαι τὰ μέλη. Εἰπὲ δέ μοι, ἀδελφέ, ἐὰν φορέσῃ ἄνθρωπος ὁλοσήρικον πορφύραν καὶ ᾖ πόρνος, καθαρίζει αὐτὸν τὸ ἱμάτιον ἀπὸ τῆς πορνείας ἢ τῶν ἄλλων παθῶν; Τί οὖν ποιήσουσιν οἱ ἄξιοι τῶν ἁγίων μυστηρίων καὶ ἀποροῦντες ἱματίων; Περὶ ἑνὸς χιτῶνος προσέταξεν ὁ Κύριος, τουτέστι τοῦ ἐνδύματος τῶν ἀρετῶν, οὗ καταξιώσαι πάντας ἡμᾶς ὁ Θεός, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΜΒ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Συγχώρησόν μοι, δέσποτα, καὶ εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον, ἵνα ἁγιασθῶσι τὰ αἰσθητήριά μου. Καὶ ἐπειδὴ εἶπεν ἡ ἁγιωσύνη σου περὶ τοῦ διακόνου, ὅτι 'ὡς τὰ χερουβὶμ καὶ σεραφὶμ ὀφείλει εἶναι', ἐγὼ δὲ μολύνομαι εἰς αὐτά, τί ποιήσω, ἵνα μὴ εἰς κρῖμα γένηταί μοι ἡ διακονία; Ταλαίπωρος γάρ εἰμι καὶ οὐ δύναμαι ἐγκρατεύεσθαι· διὰ τὸν Θεὸν βοήθει μοι, ἵνα μὴ εἰς πάντα ἀπολέσω τὴν ψυχήν μου.

ἐπιθυμεῖ νὰ γεμίσει ἀπὸ τὸ σῶμα του καὶ τὸ αἷμα. Καὶ τότε ἀκούει τὸν μεγαλόφωνο Δαβὶδ νὰ φωνάζει καὶ νὰ λέγει, «γευθεῖτε καὶ θὰ δεῖτε, ὅτι ὁ Κύριος εἶναι χρηστός»[21]. Καὶ ἀφοῦ πλησιάσει μὲ φόβο, γίνεται κοινωνὸς τοῦ σώματός του καὶ τοῦ αἵματος καὶ γίνεται ἀνεξάλειπτη ἡ γεύση σ' αὐτὴν ποὺ τὴν προφυλάγει ἀπὸ κάθε πάθος.

Αὐτὰ νὰ μελετᾶς, εἴτε στεκόμενος κοντὰ στοὺς ἁγίους, εἴτε μερίζοντας ἢ ποτίζοντας ἢ βαστάζοντας καὶ μεταφέροντας τὴν κοινωνία σὲ κάποιον, ἢ συστέλλοντας τὰ Ἅγια καὶ γενικὰ κάνοντας κάθε λειτουργία τοῦ θυσιαστηρίου.

Ὡς πρὸς τὸ ἱμάτιο, ἀπόκτησε πνευματικὴ χλαμύδα, μὲ τὴν ὁποία εὐχαριστεῖται ὁ Θεός. Τὰ περισκέλια πάλι σημαίνουν τὴ νέκρωση τῶν μελῶν. Πές μου, ἀδελφέ, ἐὰν φορέσει ἄνθρωπος ὁλομέταξη πορφύρα καὶ εἶναι πόρνος, τὸ ἱμάτιο τὸν καθαρίζει ἀπὸ τὴν πορνεία ἢ ἀπὸ τὰ ἄλλα πάθη; Τί θὰ κάνουν λοιπὸν ἐκεῖνοι ποὺ εἶναι ἀνάξιοι τῶν ἁγίων μυστηρίων καὶ δὲν ἔχουν ἱμάτια; Ὁ Κύριος διέταξε γιὰ ἕνα χιτώνα· δηλαδὴ γιὰ τὸ ἔνδυμα τῶν ἀρετῶν, τὸ ὁποῖο εἴθε νὰ καταξιώσει ὅλους ἐμᾶς ὁ Θεός, στοὺς αἰῶνες. Γένοιτο.

242

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

> Δέσποτα, συγχώρεσέ με καὶ προσευχήσου γιὰ μένα πρὸς τὸν Κύριο, γιὰ νὰ ἁγιασθοῦν τὰ αἰσθητήριά μου. Καὶ ἐπειδὴ ἡ ἁγιωσύνη σου εἶπε γιὰ τὸν διάκονο, ὅτι ὀφείλει νὰ εἶναι σὰν τὰ χερουβὶμ καὶ τὰ σεραφίμ, ἐγὼ ὅμως μολύνομαι στὰ αἰσθητήρια, τί νὰ κάνω, γιὰ νὰ μὴ μοῦ γίνει κατάκριμα ἡ διακονία; Διότι εἶμαι ταλαίπωρος καὶ δὲν μπορῶ νὰ ἐγκρατεύομαι. Βοήθησέ με στὸ ὄνομα τοῦ Θεοῦ, γιὰ νὰ μὴ χάσω ἐντελῶς τὴν ψυχή μου.

---

21. Ψαλμ. 33,9.

Ἀπόκρισις

Ποίησον τὴν διακονίαν σου, ἔχων πάντοτε τὴν μνήμην ταύτην, πῶς ὀφείλει εἶναι ὁ διάκονος καὶ πῶς εἶ, μνημονεύων τοῦ θανάτου, καὶ πῶς μέλλεις ἀπαντήσειν τῷ Θεῷ· καὶ ἐν τῷ κατακρίνειν σεαυτὸν ἀδιαλείπτως, κατανύσσεταί σου ἡ καρδία δέξασθαι μετάνοιαν. Καὶ ὁ εἰπὼν διὰ τοῦ προφήτου, «εἰπὲ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς», αὐτὸς δικαιοῖ σε καὶ ἀθῷόν σε ποιεῖ ἀπὸ πάσης κατακρίσεως· φησὶ γάρ, «Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;».

Καθὼς οὖν διαφόρως ἐδήλωσά σοι, κτῆσαι ταπείνωσιν, ὑπακοήν τε καὶ ὑποταγήν, καὶ σώζῃ· καὶ μὴ εἴπῃς ὅλως ἀντιλέγων, 'τί τοῦτο καὶ διατί ἐκεῖνο;' ἀλλὰ γενοῦ εὐπειθής, μάλιστα τῷ ἀββᾷ σου, τῷ μετὰ Θεὸν φροντίζοντί σου καὶ πιστευθέντι σου τὴν ψυχήν· καὶ ἐὰν σπουδάσῃς φυλάξαι ταῦτα, ἐγὼ ὑπερεκπερισσοῦ ποιῶ μου τὴν δύναμιν.

Ὁ Κύριος φυλάξοι καὶ σκεπάσοι σε ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

ΣΜΓ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Εἰπέ μοι, πάτερ, τί δοκιμάζεις ἵνα ποιήσω εἰς τὴν μικράν μου λειτουργίαν, ἣν ἔχω; Ἐὰν γὰρ μὴ ἀπὸ τῶν δαιμόνων χλευάζωμαι ὡς ἀεί, ἕως ἑνὸς ἱματίου, οὐχ ἡδέως ἔχω κρατῆσαι. Λοιπὸν εἴ τι κελεύεις ποιῶ, ὅπως ἐλεηθῶ· ὁ Θεὸς γὰρ οἶδεν ὅτι ἐν πολλῇ ἀκαταστασίᾳ εἰμὶ καὶ πάθεσιν· εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον, ὅπως μὴ χωρισθῶ

Ἀπόκριση

Κάνε τὴ διακονία σου ἔχοντας πάντοτε αὐτὸ στὴ μνήμη σου, πῶς ὀφείλει νὰ εἶναι ὁ διάκονος καὶ πῶς εἶσαι ἐσύ, ἐνθυμούμενος τὸν θάνατο, καὶ πῶς πρόκειται νὰ συναντήσεις τὸ Θεό· καὶ μὲ τὸ νὰ κατακρίνεις ἀδιάλειπτα τὸν ἑαυτό σου, γεμίζει ἀπὸ κατάνυξη ἡ καρδιά σου καὶ δέχεται μετάνοια. Καὶ αὐτὸς ποὺ εἶπε μὲ τὸν προφήτη, «πὲς πρῶτος τὶς ἁμαρτίες σου γιὰ νὰ δικαιωθεῖς»[22], αὐτὸς σὲ δικαιώνει καὶ σὲ κάνει ἀθῶο ἀπὸ κάθε κατάκριση· διότι λέγει, «ὁ Θεὸς εἶναι αὐτὸς ποὺ δικαιώνει, ποιός εἶναι ἐκεῖνος ποὺ κατακρίνει;»[23].

Καθὼς λοιπὸν σοῦ δήλωσα μὲ διάφορους τρόπους, ἀπόκτησε ταπείνωση, ὑπακοὴ καὶ ὑποταγὴ καὶ θὰ σωθεῖς· καὶ νὰ μὴ πεῖς καθόλου ἀντιλέγοντας, 'γιατί αὐτὸ καὶ γιατί ἐκεῖνο;' ἀλλὰ νὰ γίνεις εὐπειθής, κυρίως στὸν ἀββᾶ σου, ποὺ σὲ φροντίζει μαζὶ μὲ τὸ Θεό, καὶ νὰ τοῦ ἐμπιστευθεῖς τὴν ψυχή σου· καὶ ἐὰν φροντίσεις νὰ φυλάξεις αὐτά, ἐγὼ θὰ ἐνδιαφερθῶ πολὺ περισσότερο γιὰ σένα.

Εἴθε ὁ Κύριος νὰ σὲ φυλάξει καὶ νὰ σὲ προστατεύσει ἀπὸ τὸν πονηρό. Γένοιτο.

243

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πές μου, πάτερ, τί κρίνεις σωστὸ νὰ κάνω στὴν μικρή λειτουργία μου ποὺ ἔχω; Διότι, ἐὰν δὲν χλευάζομαι ἀπὸ τοὺς δαίμονες, ὅπως πάντα, δὲν μπορῶ νὰ κρατήσω μὲ εὐχαρίστηση οὔτε ἕνα ἱμάτιο. Λοιπὸν ὅ,τι διατάζεις, θὰ τὸ κάνω, γιὰ νὰ ἐλεηθῶ· διότι ὁ Θεὸς γνωρίζει ὅτι βρίσκομαι σὲ μεγάλη ἀκαταστασία καὶ σὲ πάθη. Προσευχήσου γιὰ μένα στὸν Κύριο, γιὰ νὰ μὴ χωρισθῶ ἀπὸ τὸν κόλπο

---

22. Ἡσ. 43,26.
23. Ρωμ. 8,33.

ἐκ τοῦ κόλπου ὑμῶν, κἂν ἐν τῷ νῦν αἰῶνι, εἰπεῖν γὰρ ἐν τῷ μέλλοντι αἰσχύνομαι διὰ τὰ πάθη μου.

Ἀπόκρισις

Ἀδελφέ, τὸ βιάσασθαι ἑαυτὸν ἐν πᾶσι καὶ ἡ ταπείνωσις φέρει τινὰ εἰς προκοπήν. Καὶ γὰρ ὁ Ἀπόστολος οὕτω φησίν· «ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι». Καὶ ἡμεῖς ὅτε ἐρρίψαμεν τὴν ὕλην ἐπάνω τοῦ ἀββᾶ, καὶ οὐκ ἐκρατήσαμεν τίποτε εἰς τὰς χεῖρας ἡμῶν, ὁ Θεὸς οἶδε καὶ μαρτυρεῖ, ὅτι οὐκ εἴχομεν, ὅτι χάριν ὀφείλει ἔχειν ἡμῖν, ἀλλ' ἡμεῖς εἴχομεν αὐτῷ χάριν ὅτι ἐβάστασεν ἡμῶν τὸ φορτίον καὶ ἐποίησεν ἡμᾶς ἀμερίμνους.

Καὶ ὁ Ἀπόστολος Πέτρος εἶπεν· «ὑποτασσόμενοι πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον». Καὶ ὁ Ἰάκωβος εἶπεν ὅτι, «ὅστις ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος». Καὶ διὰ τοῦτό ἐστι, τὸ μὴ ἔχειν τινὰ ἴδιον θέλημα, ἀλλ' ἐν παντὶ ἑαυτὸν μέμφεσθαι, καὶ οὕτως εὑρίσκει τὸ τέλος τοῦ Θεοῦ. Ἐὰν δὲ χλευάσῃ αὐτὸν ὁ διάβολος μέγα φρονεῖν, ὅτι καλῶς ἐποίησεν, ἀπόλλυσι πάντα ὅσα ἐποίησε. Λοιπὸν ποιῶν ὃ ποιεῖς, ταπεινοφρόνει λέγων· 'συγχώρησόν μοι, Κύριε, ὅτι ἐβάρησα τὸν ἀββᾶν, ρίψας ἐπάνω αὐτοῦ τὸ φορτίον μου. Ὁ Κύριος Ἰησοῦς Χριστὸς σώσει ἡμᾶς. Ἀμήν.

ΣΜΔ'

Ἄλλος ἀδελφὸς διάκονος παρητεῖτο λειτουργῆσαι ἐν τῷ θυσιαστηρίῳ, ἐνθυμούμενος τὰς προλαβούσας ἁμαρτίας αὐτοῦ, καὶ ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα περὶ τούτου, ἅμα δὲ καὶ περὶ τῆς σωματικῆς αὐτοῦ ἀσθενείας· καὶ ἀπεκρίθη αὐτῷ ταῦτα.

σας, ἔστω κατὰ τὸν τωρινὸ αἰώνα, διότι ντρέπομαι νὰ πῶ στὸν μέλλοντα αἰώνα, ἐξαιτίας τῶν παθῶν μου.

Ἀδελφέ, ἡ αὐτοεπιβολὴ καὶ ἡ ταπείνωση ὁδηγεῖ κάποιον σὲ προκοπή. Διότι καὶ ὁ Ἀπόστολος λέγει τὸ ἴδιο· «σὲ ὅλα θλιβόμενοι, ἀλλὰ ὄχι στενοχωρούμενοι»[24]. Καὶ ἐμεῖς ὅταν ρίξαμε τὴν ὕλη ἐπάνω στὸν ἀββᾶ, καὶ δὲν κρατήσαμε τίποτα στὰ χέρια μας, ὁ Θεὸς γνωρίζει καὶ μαρτυρεῖ, ὅτι δὲν σκεπτόμασταν ὅτι ὄφειλε νὰ ἔχει χάρη σὲ μᾶς, ἀλλὰ ἐμεῖς εἴχαμε χάρη σ' αὐτόν, διότι βάσταξε τὸ φορτίο μας καὶ μᾶς ἔκανε ἀμέριμνους.

Καὶ ὁ Ἀπόστολος Πέτρος εἶπε· «ὑποτασσόμενοι σὲ κάθε ἀνθρώπινη φύση γιὰ τὸν Κύριο»[25]. Καὶ ὁ Ἰάκωβος εἶπε, ὅτι «ὅποιος τηρήσει ὅλο τὸν νόμο καὶ διαπράξει κάποιο πταῖσμα, ἔχει γίνει ἔνοχος γιὰ ὅλα»[26]. Καὶ γι' αὐτὸ πρέπει νὰ μὴ ἔχει κανεὶς τὸ δικό του θέλημα, ἀλλὰ νὰ κατηγορεῖ τὸν ἑαυτό του σὲ ὅλα, καὶ ἔτσι θὰ βρεῖ τὸ ἔλεος τοῦ Θεοῦ. Ἐὰν ὅμως ὁ διάβολος τὸν παραπείσει νὰ μεγαλοφρονεῖ, ὅτι ἔκαμε καλά, τότε χάνει ὅλα ὅσα ἔκανε. Κάνοντας λοιπὸν αὐτὸ ποὺ κάνεις, νὰ ταπεινοφρονεῖς λέγοντας, 'συγχώρεσέ με Κύριε, διότι ἐπιβάρυνα τὸν ἀββᾶ, ἐπειδὴ ἔρριξα πάνω του τὸ φορτίο μου'. Ὁ Κύριος Ἰησοῦς Χριστὸς θὰ μᾶς σώσει. Γένοιτο.

244

Κάποιος ἄλλος ἀδελφὸς διάκονος δὲν ἤθελε νὰ λειτουργήσει στὸ θυσιαστήριο, ἐνθυμούμενος τὶς προηγούμενες ἁμαρτίες του, καὶ ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα γι' αὐτό, καθὼς ἐπίσης καὶ γιὰ τὴ σωματική του ἀσθένεια. Καὶ αὐτὸς τοῦ ἀποκρίθηκε αὐτά.

---

24. Β' Κορ. 4,8.
25. Α' Πέτρ. 2,13.
26. Ἰακ. 2,10.

Ἀπόκρισις

Ἀδελφέ, ἐδίδαξεν ἡμᾶς ἡ Γραφή, ὅτι «οἱ θέλοντες εὐσεβῶς ζῆν κατὰ Χριστὸν διωχθήσονται». Πῶς δὲ καὶ ἐν τῷ νῦν καιρῷ ἔσται διωχθῆναι; Ἐκ τῶν δαιμόνων διωκόντων αὐτοὺς ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ καὶ ἀπὸ τῆς λατρείας αὐτοῦ. Ἡ δὲ μετάνοια τῆς ἁμαρτίας, τὸ μηκέτι ποιῆσαι ταύτην ἐστί, καὶ τὸ ἀπέχεσθαι τῶν κακῶν, ἀπαλλαγὴ αὐτῶν ἐστι. Μὴ λυπήσουσί σε τὰ πρῶτα καὶ μὴ κωλύου τοῦ διακονῆσαι, μετὰ φόβου μέντοι καὶ τρόμου, τῷ Θεῷ, καὶ πρόσεχε ὅτι ἁγιασμός ἐστι τῇ ψυχῇ σου. Καὶ ἐὰν πιστεύῃς οὕτως, ἀεὶ τρέμεις τοῦ μὴ ἁμαρτάνειν, ἵνα μὴ ἐκπέσῃς τοῦ ἁγιασμοῦ.

Βάστασον οὖν τὰ πάθη καὶ τὰς θλίψεις εὐχαρίστως, ὅτι παιδεία ἐστὶ Θεοῦ, καὶ ἐλεεῖ σε καὶ γίνονται εἰς σωτηρίαν τῆς ψυχῆς σου.

ΣΜΕ'

Ἄλλος ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα.

Εἰπέ μοι, πάτερ, εἰ φυσικός ἐστιν ὁ θυμὸς ἢ παρὰ φύσιν; Καὶ τίς ἡ τούτου διαφορά;

Ἀπόκρισις

Ἀδελφέ, ἔστι θυμὸς φυσικός, καὶ ἔστι θυμὸς παρὰ φύσιν. Ὁ οὖν φυσικὸς μάχεται, ἵνα μὴ γένωνται τὰ τῆς ἐπιθυμίας θελήματα· καὶ οὗτος οὐ δεῖται φαρμάκων, τεθεραπευμένος γάρ ἐστιν. Ὁ δὲ παρὰ φύσιν μάχεται, ἐὰν μὴ τελειωθῶσι τὰ θελήματα τῆς ἐπιθυμίας· οὗτος δεῖται φαρμάκων περισσοτέρων τῆς ἐπιθυμίας. Μείζων γὰρ τοῦ στρατιώτου ἐστὶν ὁ ἐπιχορηγῶν αὐτῷ τὴν δύναμιν· καὶ ἐὰν κοπῇ, καταργεῖται ὁ στρατιώτης, μὴ εὑρίσκων δύναμιν.

Ἀπόκριση

Ἀδελφέ, ἡ Γραφὴ μᾶς δίδαξε ὅτι «ἐκεῖνοι ποὺ θέλουν νὰ ζήσουν μὲ εὐσέβεια, θὰ διωχθοῦν κατ' ἀναλογία μὲ τὸν Χριστό»[27]. Πῶς ὅμως εἶναι δυνατὸ νὰ διωχθοῦν καὶ τὸν τωρινὸ καιρό; Ἀπὸ τοὺς δαίμονες ποὺ τοὺς διώκουν ἀπὸ τὸ φόβο τοῦ Θεοῦ καὶ ἀπὸ τὴ λατρεία του. Ἡ μετάνοια γιὰ τὴν ἁμαρτία εἶναι τὸ νὰ μὴ κάνεις πλέον αὐτήν, καὶ τὸ νὰ ἀπέχεις ἀπὸ τὰ κακά, εἶναι ἀπαλλαγὴ ἀπὸ αὐτά. Νὰ μὴ σὲ λυπήσουν τὰ πρῶτα καὶ νὰ μὴ ἐμποδιστεῖς ἀπὸ τὸ νὰ διακονεῖς τὸ Θεὸ μὲ φόβο καὶ τρόμο, καὶ πρόσεχε διότι εἶναι ἁγιασμὸς στὴν ψυχή σου. Καὶ ἂν πιστεύεις μ' αὐτὸν τὸν τρόπο, πάντα τρέμεις ὥστε νὰ μὴ ἁμαρτάνεις, γιὰ νὰ μὴ ἐκπέσεις ἀπὸ τὸν ἁγιασμό.

Βάσταξε λοιπὸν τὰ πάθη καὶ τὶς θλίψεις μὲ εὐχαρίστηση, διότι αὐτὰ εἶναι παιδαγωγία Θεοῦ, καὶ θὰ σὲ ἐλεήσει, διότι γίνονται γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου.

245

Ἄλλος ἀδελφὸς ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα.

Πές μου, πάτερ, ἐὰν ὁ θυμὸς εἶναι φυσικὸς ἢ παρὰ φύση; καὶ ποιά ἡ διαφορὰ μεταξὺ αὐτῶν;

Ἀδελφέ, ὑπάρχει θυμὸς φυσικὸς καὶ ὑπάρχει θυμὸς παρὰ φύση. Ὁ φυσικὸς λοιπὸν πολεμᾶ νὰ μὴ γίνουν τὰ θελήματα τῆς ἐπιθυμίας· καὶ αὐτὸς δὲν χρειάζεται φάρμακα, διότι εἶναι θεραπευμένος. Ὁ παρὰ φύση θυμὸς ὅμως πολεμᾶ ἐὰν δὲν πραγματοποιηθοῦν τὰ θελήματα τῆς ἐπιθυμίας. Αὐτὸς χρειάζεται περισσότερα φάρμακα τῆς ἐπιθυμίας. Διότι μεγαλύτερος ἀπὸ τὸν στρατιώτη εἶναι ἐκεῖνος ποὺ χορηγεῖ τὴ δύναμη σ' αὐτόν· καὶ ἐὰν κοπεῖ αὐτό, καταργεῖται ὁ στρατιώτης, ἐπειδὴ δὲν βρίσκει δύναμη.

---

27. Β' Τιμ. 3,12.

ΣΜS΄

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν Γέροντα.

Πόθεν ἔσχεν ὁ ἄνθρωπος τὰ πάθη;

Ἀπόκρισις

Καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπαθῆ ἔκτισεν ὁ Θεός· διὰ δὲ τῆς παρακοῆς ἐξέπεσον εἰς πάθη.

ΣΜΖ΄

Ἕτερος ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα.

Διὰ τὸν Κύριον, ἐπεὶ ὀχλοῦμαι ὑπὸ τῶν παθῶν τῆς ψυχῆς μου, εἰπέ μοι, τί ποιήσω ἐλευθερωθῆναι ἀπ᾽ αὐτῶν, καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

Ἀπόκρισις

Ἀδελφέ, ὁ θέλων σωθῆναι καὶ ἐπιποθῶν γενέσθαι τέκνον τοῦ Θεοῦ, ταπείνωσιν κτησάσθω μεγάλην, ὑποταγήν τε καὶ ὑπακοήν, καὶ τὸ ἀπαρρησίαστον. Βλέπε, ὅτι σὺ εἶπας, 'εἰπέ μοι, τί ἵνα ποιήσω'· καὶ ἰδοὺ εἶπόν σοι, 'κἀγὼ ἐγγυῶμαι, ὅτι οὐ κατακυριευθήσῃ ὑπὸ τοῦ ἐχθροῦ οὐδὲ ὑπὸ τοῦ πάθους, καίονται γὰρ ὑπὸ τῆς ταπεινώσεως, ὡς ὑπὸ πυρός, καὶ γαληνιᾷ ἡ καρδία φωτιζομένη ἐν Χριστῷ'.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΜΗ΄

Ὁ αὐτὸς ἀδελφὸς ἠρώτησε τὸν ἄλλον γέροντα, δοθεὶς ὑπὸ τοῦ ἀββᾶ αὐτοῦ συνοικῆσαι γέροντι καὶ ὑπηρετεῖν αὐτῷ.

Πῶς ὀφείλω γνῶναι, πάτερ, εἰ κατὰ Θεὸν κάθημαι ἢ βλάπτομαι ἐκ τοῦ μὴ εἶναι μετὰ τῶν ἀδελφῶν ἐν τῷ κοινοβίῳ, ἀλλὰ κατὰ μόνας, καὶ τὰ πάθη δὲ θλίβουσί με; Περὶ δὲ τῶν ψαλμῶν πῶς κελεύεις, ἵνα ποιήσω; Ὁμοίως

246

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο Γέροντα.

Ἀπὸ ποῦ ἀπέκτησε ὁ ἄνθρωπος τὰ πάθη;

Ο Θεὸς ἔκτισε καὶ τὴν ψυχὴ καὶ τὸ σῶμα ἀπαθῆ, ἐξαιτίας ὅμως τῆς παρακοῆς ἔπεσαν σὲ πάθη.

247

Ἄλλος ἀδελφὸς ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα.

Ἐπειδὴ ἐνοχλοῦμαι ἀπὸ τὰ πάθη τῆς ψυχῆς μου, πές μου στὸ ὄνομα τοῦ Κυρίου, τί νὰ κάνω γιὰ νὰ ἐλευθερωθῶ ἀπὸ αὐτά, καὶ προσευχήσου γιὰ μένα.

Αδελφέ, αὐτὸς ποὺ θέλει νὰ σωθεῖ καὶ ἐπιθυμεῖ νὰ γίνει τέκνο τοῦ Θεοῦ, ἂς ἀποκτήσει μεγάλη ταπείνωση, ὑποταγὴ καὶ ὑπακοὴ καὶ τὸ ἀπαρρησίαστο. Πρόσεχε, διότι ἐσὺ εἶπες, 'πές μου, τί νὰ κάνω'· καὶ νά, σοῦ εἶπα, καὶ ἐγὼ ἐγγυῶμαι, ὅτι δὲν θὰ κατακυριευθεῖς ἀπὸ τὸν ἐχθρὸ οὔτε ἀπὸ τὸ πάθος, διότι καίγονται ἀπὸ τὴν ταπείνωση σὰν ἀπὸ φωτιά, καὶ γαληνεύει ἡ καρδιὰ φωτιζόμενη μὲ τὴ βοήθεια τοῦ Χριστοῦ.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

248

Ὁ ἴδιος ἀδελφὸς ἐρώτησε τὸν ἄλλο γέροντα, ἐπειδὴ ἐπιτράπηκε ἀπὸ τὸν ἀββᾶ του νὰ συγκατοικήσει μὲ γέροντα καὶ νὰ τὸν ὑπηρετεῖ.

Πῶς μπορῶ νὰ γνωρίζω, πάτερ, ἐὰν κάθομαι σύμφωνα μὲ τὸν Θεὸ ἢ βλάπτομαι, ἐπειδὴ δὲν εἶμαι μὲ τοὺς ἀδελφοὺς στὸ κοινόβιο, ἀλλὰ μόνος, καὶ τὰ πάθη μὲ θλίβουν; Σχετικὰ μὲ τοὺς ψαλμούς, τί μὲ διατάζεις νὰ κάνω; Ὅμοια καὶ

καὶ περὶ τοῦ ὕπνου· φοβοῦμαι γὰρ μήπως κυριεύσῃ μου· καὶ περὶ τῆς λήθης ὡσαύτως. Καὶ ἐπεὶ πολὺ ὀχλεῖ μοι τὸ αἰσχρὸν πάθος, τί ἐστι τὸ σημεῖον τῆς συγκαταθέσεως;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐὰν θέλῃς μαθεῖν, εἰ βλάπτῃ ἢ ὠφελῇ κατ' ἰδίαν καθήμενος, ἔχε τοῦτο τὸ σημεῖον· ἐὰν καθ' ὑπακοὴν κάθῃ, μάθε ὅτι ὠφελῇ· φησὶ γάρ, «κρεῖσσον ὑπακοὴ ὑπὲρ θυσίαν». Ἐὰν δὲ ἀντιλέγῃς, βλάπτῃ· θέλημα γάρ ἐστι κακόν. Οὐκ ἀπεχωρίσθης ἀπὸ τῶν ἀδελφῶν σου, μὴ γένοιτο! ἀλλ' ὁ Θεὸς ᾠκονόμησεν, ἵνα κατὰ τὴν ἀσθένειαν τοῦ σώματός σου ποιήσῃς σεαυτῷ μισθὸν διὰ τοῦ γέροντος.

Τὰ δὲ περὶ τῶν παθῶν, οὐ δύναται μὴ κινεῖσθαι κατὰ τοῦ ἀνθρώπου, πρὸς δοκιμὴν αὐτοῦ· ἀνὴρ γὰρ ἀπείραστος, ἀδόκιμος. Ἐπεὶ εἶπας ὅτι 'κατὰ μόνας κάθημαι', μὴ ἔχε οὕτως, ἐπεὶ βλάπτῃ· οὐ γὰρ εἶ κατὰ μόνας, ἐὰν πιστεύῃς, ἀλλ' ἔχεις τὸν Θεόν, ᾧ παρέθετό σε ὁ μέγας γέρων καὶ τὴν εὐχὴν αὐτοῦ συνεργοῦσάν σοι. Μόνον ἄλλο οὐ θέλεις δεῖξαι, εἰ μὴ ὑπακοὴν καὶ σώζῃ. Οὐ βλάπτῃ οὖν, μὴ φοβηθῇς.

Περὶ δὲ τῶν ψαλμῶν, ὡς ποιοῦσιν οἱ ἀδελφοί, καὶ σὺ ποίησον, λέγων κατὰ ᾠδὴν τρεῖς ψαλμούς, καὶ βάλλων γονυκλισίας, καὶ οὐ κατακυριεύσει σου ὁ ὕπνος· ἐκτὸς ἀσθενείας, οὕτω κατὰ νύκτα ὀφείλεις ποιεῖν.

Ἡ λήθη ἀπώλειά ἐστι ψυχῆς, γίνεται δὲ ἀπὸ καταφρονήσεως καὶ ἀμελείας.

Περὶ δὲ τοῦ αἰσχροῦ καὶ μισητοῦ πάθους, κόπου δεῖται καρδίας καὶ σώματος, ἵνα ἐκριζωθῇ· καρδίας, ἵνα ἀδιαλείπτως δέηται τοῦ Θεοῦ· σώματος δέ, ἵνα ὑπωπιασθῇ καὶ δουλαγωγηθῇ κατὰ τὴν δύναμιν τοῦ ἀνθρώπου.

Τὸ σημεῖον τῆς συγκαταθέσεώς ἐστι, τὸ ἀρέσαι τὸ πρᾶγμα

γιὰ τὸν ὕπνο· διότι φοβᾶμαι μήπως μὲ κυριεύσει. Ἐπίσης καὶ γιὰ τὴ λησμοσύνη. Καὶ ἐπειδὴ μὲ ἐνοχλεῖ πολὺ τὸ αἰσχρὸ πάθος, ποιό εἶναι τὸ σημεῖο τῆς συγκαταθέσεως;

Ἀπόκριση Ἰωάννη

Ἐὰν θέλεις νὰ μάθεις κατὰ πόσο βλάπτεσαι ἢ ὀφελεῖσαι ὅταν κάθεσαι μόνος σου, ἔχε σὰν κριτήριο αὐτὸ τὸ σημεῖο· ἐὰν κάθεσαι μὲ ὑπακοή, μάθε ὅτι ὠφελεῖ· διότι λέγει, «ἡ ὑπακοὴ εἶναι καταλύτερη ἀπὸ τὴ θυσία»[28]. Ἐὰν ὅμως ἀντιλέγεις, βλάπτεσαι· διότι εἶναι κακὸ θέλημα. Δὲν ἀποχωρίσθηκες ἀπὸ τοὺς ἀδελφούς σου, μὴ γένοιτο! ἀλλὰ ὁ Θεὸς οἰκονόμησε, ὥστε ἀνάλογα μὲ τὴν ἀσθένεια τοῦ σώματός σου νὰ ἐξασφαλίσεις μισθὸ γιὰ τὸν ἑαυτό σου διὰ τοῦ γέροντος.

Σχετικὰ μὲ τὰ πάθη, δὲν εἶναι δυνατὸ νὰ μὴ κινοῦνται κατὰ τοῦ ἀνθρώπου πρὸς δοκιμασία του· διότι ὁ ἀπείραστος ἄνθρωπος εἶναι ἀδόκιμος. Ἐπειδὴ εἶπες ὅτι 'κάθομαι μόνος', νὰ μὴ νοιώθεις ἔτσι, καθόσον βλάπτεσαι· διότι, ἐὰν πιστεύεις, δὲν εἶσαι μόνος, ἀλλὰ ἔχεις τὸ Θεό, τὸν ὁποῖο τοποθέτησε κοντά σου ὁ μεγάλος Γέροντας, καὶ τὴν προσευχή του ποὺ σὲ βοηθεῖ. Μὴ δείξεις τίποτε ἄλλο, παρὰ ὑπακοή, καὶ θὰ σωθεῖς. Δὲν βλάπτεσαι λοιπόν, μὴ φοβηθεῖς.

Ὅσο γιὰ τοὺς ψαλμούς, ὅπως κάνουν οἱ ἀδελφοί, κάνε καὶ σύ, λέγοντας κατὰ ᾠδὴν τρεῖς ψαλμοὺς καὶ κάνοντας γονυκλισίες, καὶ δὲν θὰ σὲ κατακυριεύσει ὁ ὕπνος, ἐκτὸς ἀπὸ τὴν περίπτωση βέβαια ἀσθένειας. Ἔτσι ὀφείλεις νὰ κάνεις τὴν νύχτα.

Ἡ λησμονιὰ εἶναι ἀπώλεια τῆς ψυχῆς καὶ γίνεται ἀπὸ τὴν περιφρόνηση καὶ τὴν ἀμέλεια.

Ὅσο γιὰ τὸ αἰσχρὸ καὶ μισητὸ πάθος, χρειάζεται κόπο καρδιᾶς καὶ σώματος γιὰ νὰ ξερριζωθεῖ· κόπο καρδιᾶς, γιὰ νὰ προσεύχεται ἀδιάλειπτα στὸ Θεό· καὶ σώματος, γιὰ νὰ χαλιναγωγηθεῖ καὶ δουλαγωγηθεῖ σύμφωνα μὲ τὴ δύναμη τοῦ ἀνθρώπου.

Ἡ ἀπόδειξη τῆς συγκαταθέσεως εἶναι τὸ νὰ ἀρέσει τὸ

28. Ἑβρ. 9,23.

τῷ ἀνθρώπῳ καὶ ἠδυνθῆναι ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ αὐτὸ μελετῆσαι ἡδέως. Ἐὰν δέ τις ἀντιλέγῃ τῷ λογισμῷ καὶ πολεμῇ μὴ δέξασθαι αὐτόν, τοῦτο οὐκ ἔστι συγκατάθεσις, ἀλλὰ πόλεμος· καὶ τοῦτο φέρει εἰς δοκιμὴν καὶ προκοπὴν τὸν ἄνθρωπον.

Ὁ Κύριος Ἰησοῦς Χριστὸς καθαρίσοι σε ἀπὸ τῶν ἁμαρτιῶν σου καὶ ἐνδυναμώσοι σε τῇ ἀγαθότητι αὐτοῦ ἐν τῇ ἀσθενείᾳ σου. Ἀμήν.

ΣΜΘ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Τί ἐστιν ὑπακοή, καὶ τί ὀφείλω εὔχεσθαι; Καὶ ἐάν τις εἴπῃ μοι, 'εὖξαι ὑπὲρ ἐμοῦ', τί ὀφείλω ποιῆσαι; Εἰ πάντοτε αὐτοῦ ὀφείλω μνημονεύειν.

Ἀπόκρισις

Η ὑπακοὴ κόπτει τὸ θέλημα, ἐκτὸς δὲ κόπου, οὐδεὶς δύναται κτήσασθαι ὑπακοήν. Εἰ δι' ὑπακοὴν κάθῃ καὶ οὐ δι' ἀνάπαυσιν σωματικήν, τοῦτο οὐκ ἔστι θέλημά σου, οὐδὲ ἐμπαθῶς κάθῃ, ἀλλὰ μᾶλλον ἀρέσκεις τῷ Θεῷ· εἰ δὲ ἡδυνόμενος τῇ ἀναπαύσει κάθῃ, οὐκ ἀρέσκεις τῷ Θεῷ καὶ τὸ λοιπά.

Περὶ δὲ εὐχῆς λέγε· 'Κύριε, ῥῦσαί με ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ ἀπὸ τῶν παθῶν τῆς ἀτιμίας'.

Καὶ ἐάν τις εἴπῃ 'εὖξαι ὑπὲρ ἐμοῦ', εἰπὲ ἐν τῇ καρδίᾳ σου, 'ὁ Θεὸς ἐλεήσοι ἡμᾶς', καὶ ἀρκεῖ.

Τὸ δὲ πάντοτε μνημονεύειν αὐτοῦ οὐκ ἔστι σόν, ἀλλὰ τῶν τελείων, τῶν δυναμένων εὔχεσθαι ὑπὲρ ἀλλήλων.

ΣΝ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

πρᾶγμα στὸν ἄνθρωπο, νὰ νοιώσει εὐχαρίστηση στὴν καρδιά του καὶ νὰ τὸ μελετήσει εὐχάριστα. Ἐὰν ὅμως κάποιος ἀντιλέγει στὸν λογισμὸ καὶ πολεμᾶ, ὥστε νὰ μὴ τὸν δεχθεῖ, αὐτὸ δὲν εἶναι συγκατάθεση, ἀλλὰ πόλεμος. Καὶ αὐτὸ ὁδηγεῖ σὲ δοκιμὴ καὶ προκοπὴ τὸν ἄνθρωπο.

Εἴθε ὁ Κύριος Ἰησοῦς Χριστὸς νὰ σὲ καθαρίσει ἀπὸ τὶς ἁμαρτίες σου καὶ νὰ σὲ δυναμώσει μὲ τὴν ἀγαθότητά του στὴν ἀσθένειά σου. Γένοιτο.

249

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

> Τί εἶναι ὑπακοή; Καὶ τί πρέπει νὰ ζητῶ στὴν προσευχή; καὶ ἐὰν κάποιος μοῦ πεῖ 'προσευχήσου γιὰ μένα', τί πρέπει νὰ κάνω; Ὀφείλω νὰ τὸν μνημονεύω πάντοτε;

Η ὑπακοὴ κόβει τὸ θέλημα· χωρὶς κόπο κανένας δὲν μπορεῖ ν' ἀποκτήσει τὴν ὑπακοή. Ἐὰν κάθεσαι γιὰ τὴν ὑπακοὴ καὶ ὄχι γιὰ σωματικὴ ἀνάπαυση, αὐτὸ δὲν εἶναι θέλημά σου, οὔτε κάθεσαι μὲ ἐμπάθεια, ἀλλὰ ἀρέσεις περισσότερο στὸ Θεό· ἐὰν κάθεσαι ἐπειδὴ εὐχαριστιέσαι στὴν ἀνάπαυση, δὲν ἀρέσεις στὸ Θεὸ καὶ τὰ λοιπά.

Σχετικὰ μὲ τὴν προσευχή, λέγε, 'Κύριε, λύτρωσέ με ἀπὸ τὶς ἁμαρτίες μου καὶ ἀπὸ τὰ πάθη τῆς ἀτιμίας'.

Ἐὰν πάλι κάποιος σοῦ πεῖ, 'προσευχήσου γιὰ μένα', πὲς στὴν καρδιά σου, 'ὁ Θεὸς εἴθε νὰ μᾶς ἐλεήσει' καὶ ἀρκεῖ.

Τέλος τὸ νὰ ἐνθυμεῖσαι πάντα αὐτόν, δὲν ἀνήκει σὲ σένα, ἀλλὰ στοὺς τέλειους, ποὺ μποροῦν νὰ προσεύχονται ὁ ἕνας ὑπὲρ τοῦ ἄλλου.

250

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Παρακαλῶ σε, πάτερ, εἰπεῖν μοι, πῶς δύναμαι γνῶναι ὅτι εἰμὶ ἐν ὑποταγῇ καὶ ἀφῶ τὸ ἴδιον θέλημα, καὶ τί ὀφείλω ποιῆσαι, ἵνα ἐξισωθῶ τοῖς ἀδελφοῖς; Ἀκούω γὰρ παρὰ τῶν πατέρων, ὅτι ὁ ἐν ὑποταγῇ ὢν καὶ τὸ ἴδιον θέλημα μὴ ποιῶν, ἀλλὰ ἐξισούμενος τοῖς ἀδελφοῖς ἐν πᾶσιν, ὁ τοιοῦτος ταχέως ἔρχεται εἰς προκοπήν· καὶ ἐρευνῶ τὴν καρδίαν, εἰ κάθημαι εἰς κοινόβιον ὡς οἱ ἀδελφοί, καὶ οὐ πληροφοροῦμαι· ὅτι πρὸ αὐτῶν καταλύω καὶ λαμβάνω ταχύτερον τὴν τροφήν, καὶ ὅτι ἐσθίω κατὰ μόνας καὶ θέλω δοκιμάσαι, εἰ δύναμαι φαγεῖν βραδύτερον, καὶ φοβοῦμαι διὰ τὴν ἀσθένειαν.

Ἀπόκρισις

Εν τούτῳ δύνασαι μαθεῖν, ὅτι εἰς κοινόβιον κάθῃ, ἐν τῷ μὴ ἐξ ἰδίου θελήματος πρᾶγμα ποιεῖν, μήτε φαγεῖν κατὰ μόνας, μήτε μετὰ τῶν ἀδελφῶν, ἀλλὰ τὰ κελευόμενά σοι ποιεῖν χωρὶς ζητήσεως· ἥγησαι δὲ σεαυτὸν ὡς ἕνα τῶν ἀσθενούντων. Μὴ οὗτοι οἱ ἀσθενοῦντες ἔξωθέν εἰσι τοῦ κοινοβίου, ὅτι μόνοι τρώγουσι; Μὴ γένοιτο! Ἀλλὰ διὰ τὴν ἀσθένειαν αὐτῶν τοῦτο ποιοῦσι, κατὰ κέλευσιν τοῦ ἀββᾶ. Οὕτω καὶ σοὶ ὁ Θεὸς ἔδωκε τὴν πρόφασιν τοῦ γέροντος, ἵνα μὴ σκανδαλισθῶσιν οἱ ἄπειροι, βλέποντές σε τρώγοντα τάχιον· καὶ τὸ φαγεῖν βράδιον μετὰ τῶν μὴ ἀσθενούντων, οὐ στήκει μετὰ σοῦ. Καὶ ἐὰν ἀσθενήσῃς, πάλιν θέλεις σεαυτοῦ φροντίσαι, καὶ εὑρίσκεταί σοι θλῖψις. Ὥστε οὖν ἀφ᾽ οὗ πρόφασιν εὗρες τοῦ μὴ παρέχειν λογισμόν τινι, μὴ διακριθῇς φαγεῖν κατὰ μόνας.

Τὸ ποιεῖν οὖν πᾶν πρᾶγμα κατὰ κέλευσιν τοῦ ἀββᾶ καὶ οὐ κατὰ τὸ ἴδιον θέλημα, κοινόβιον καὶ ἰσότης ἐστὶ τῶν ἐν τῷ κοινοβίῳ ἀδελφῶν. Οὐ μνημονεύεις ὅτι ἐπολεμήθης μετὰ τοῦ ἀββᾶ καὶ οὐκ ἤθελες λαβεῖν; Πῶς ἐτόλμησας ἐν ἀφροσύνῃ

Σὲ παρακαλῶ, πάτερ, νὰ μοῦ πεῖς, πῶς μπορῶ νὰ γνωρίζω ὅτι εἶμαι σὲ ὑποταγὴ καὶ ἀφήνω τὸ θέλημά μου, καὶ τί πρέπει νὰ κάνω γιὰ νὰ ἐξισωθῶ μὲ τοὺς ἀδελφούς; Διότι ἀκούω ἀπὸ τοὺς πατέρες, ὅτι αὐτὸς ποὺ εἶναι σὲ ὑποταγὴ καὶ δὲν κάνει τὸ δικό του θέλημα, ἀλλὰ ἐξισώνεται σὲ ὅλα μὲ τοὺς ἀδελφούς, αὐτὸς φθάνει γρήγορα σὲ προκοπή. Καὶ ἐξετάζω τὴν καρδιά, ἐὰν κάθομαι στὸ κοινόβιο, ὅπως οἱ ἀδελφοὶ καὶ δὲν πληροφοροῦμαι· διότι καταλύω πρὶν ἀπὸ αὐτοὺς καὶ παίρνω γρηγορώτερα τὴν τροφή· ἐπίσης διότι τρώγω μόνος καὶ θέλω νὰ δοκιμάσω ἐὰν μπορῶ νὰ φάγω ἀργότερα, καὶ φοβᾶμαι ἐξ αἰτίας τῆς ἀσθένειας.

Ἀπόκριση

Μπορεῖς νὰ μάθεις ὅτι κάθεσαι στὸ κοινόβιο ἀπὸ αὐτό, ἀπὸ τὸ ἐὰν δὲν κάνεις τίποτε μὲ τὸ δικό σου θέλημα, οὔτε ἐὰν δὲν τρώγεις μόνος σου, οὔτε μὲ τοὺς ἀδελφούς, ἀλλὰ κάνεις ἐκεῖνα ποὺ σοῦ παραγγέλλονται χωρὶς συζήτηση, καὶ θεωρεῖς τὸν ἑαυτό σου σὰν ἕνα ἀπὸ τοὺς ἀσθενεῖς. Μήπως αὐτοὶ οἱ ἀσθενεῖς εἶναι ἔξω ἀπὸ τὸ κοινόβιο, ἐπειδὴ τρώγουν μόνοι; Μὴ γένοιτο! Ἀλλὰ τὸ κάνουν αὐτὸ ἐξαιτίας τῆς ἀσθένειάς τους, σύμφωνα μὲ τὴ διαταγὴ τοῦ ἀββᾶ. Ἔτσι ὁ Θεὸς ἔδωσε καὶ σὲ σένα τὴν πρόφαση τοῦ Γέροντα, γιὰ νὰ μὴ σκανδαλισθοῦν οἱ ἄπειροι βλέποντας ἐσένα νὰ τρώγεις γρήγορα. Καὶ τὸ νὰ τρώγεις ἀργότερα μαζὶ μ' αὐτοὺς ποὺ δὲν ἀσθενοῦν, δὲν στέκει σὲ σένα. Καὶ ἐὰν ἀσθενήσεις, θέλεις πάλι νὰ φροντίσεις τὸν ἑαυτό σου, καὶ σοῦ προξενεῖται θλίψη. Ὥστε λοιπὸν ἀφοῦ βρῆκες πρόφαση νὰ μὴ παρέχεις λογισμὸ σὲ κανένα, νὰ μὴ διακριθεῖς νὰ φάγεις μόνος.

Τὸ νὰ κάνεις λοιπὸν κάθε πρᾶγμα σύμφωνα μὲ τὴν διαταγὴ τοῦ ἀββᾶ καὶ ὄχι σύμφωνα μὲ τὸ δικό σου θέλημα, εἶναι κοινόβιο καὶ ἰσότητα τῶν ἀδελφῶν ποὺ βρίσκονται στὸ κοινόβιο. Δὲν θυμᾶσαι ὅτι πολεμήθηκες μαζὶ μὲ τὸν ἀββᾶ καὶ δὲν ἤθελες νὰ πάρεις; Πῶς τόλμησες νὰ δυσανασχετήσεις μὲ ἀφροσύνη;

γογγύσαι; Μὴ τοῦ φαγεῖν ἦν; οὐ τὸ θέλημα ἦν; Εἰ ὠφεληθῆναι θέλεις καὶ εἰς κοινόβιον καθίσαι, τὸ θέλημά σου κόψον ἐν πᾶσι καὶ ὑποτάγηθι τὰ ἴσα τῶν ἀδελφῶν· καὶ ἰδοὺ συγκοινόβιος αὐτῶν εἶ πρὸς τὴν ὠφέλειαν τῆς ψυχῆς σου, ὁδηγούμενος ὑπὸ τῶν πατέρων σου, τοῦ μεγάλου Γέροντος καὶ τῶν λοιπῶν. Ἐξακολούθησον τῇ αὐτῶν συμβουλίᾳ χάριτι Χριστοῦ. Περισσότερον γάρ σου γινώσκουσι τὸ συμφέρον τῆς ψυχῆς σου, ἀδελφέ.

ΣΝΑ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Ἐπιτασσόμενος παρὰ τοῦ ὑπηρετουμένου ὑπ' αὐτοῦ Γέροντος κληρικοῦ ὄντος, μὴ ὢν αὐτὸς κληρικὸς ποιεῖν εὐχήν, ἢ καὶ εὐλογῆσαι βρῶμα, ἢ ἄλλο τι τοιοῦτο, καὶ βαρούμενος ἐκ τούτων, ἠρώτησε, εἰ δεῖ ὑπακοῦσαι αὐτῷ εἰς τοῦτο.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Φύλαξον μὴ χαρῆναι ψηφιζόμενος καὶ δεῖξον ὑπακοὴν τὴν ἐξορίζουσαν τὴν φιλονεικίαν, τὴν μισουμένην ὑπὸ τοῦ Θεοῦ καὶ ὑπὸ τῶν ἀγαπώντων αὐτόν· κράτει δὲ τὴν ὑπακοήν, τὴν ἀναφέρουσαν εἰς τὸν οὐρανόν, καὶ ὁμοίους τῷ Υἱῷ τοῦ Θεοῦ ποιοῦσαν τοὺς κτωμένους αὐτήν.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΝΒ'

Ἕτερος ἀδελφὸς ἠρώτησε τὸν ἄλλον γέροντα.

Ἐπειδὴ ἔχω χρήματα, καὶ τὰ μὲν θέλω δοῦναι τῷ κοινοβίῳ, τὰ δὲ διαδοῦναι πτωχοῖς, εἰπέ μοι, πάτερ, εἰ ὀφείλω ταῦτα διὰ τοῦ ἀββᾶ διαδοῦναι.

Μήπως ἦταν τοῦ φαγητοῦ; δὲν ἦταν τὸ θέλημα; Ἐὰν θέλεις νὰ ὠφεληθεῖς καὶ νὰ καθήσεις στὸ κοινόβιο, κόψε τὸ θέλημά σου σὲ ὅλα καὶ ὑποτάξου ὅμοια μὲ τοὺς ἀδελφούς· καὶ νά, εἶσαι τότε συγκοινόβιός τους, ὁδηγούμενος ἀπὸ τοὺς πατέρες σου σὲ ὠφέλεια τῆς ψυχῆς, ἀπὸ τὸν μεγάλο Γέροντα καὶ τοὺς ὑπόλοιπους. Ἀκολούθησε τὴ συμβουλή τους μὲ τὴ χάρη τοῦ Χριστοῦ. Διότι γνωρίζουν τὸ συμφέρον τῆς ψυχῆς σου περισσότερο ἀπὸ σένα, ἀδελφέ.

251

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Ἐπειδὴ ἐλάμβανε ἐντολὴ ἀπὸ τὸν γέροντα ποὺ ὑπηρετοῦσε, καὶ ποὺ ἦταν κληρικός, νὰ κάνει προσευχή, ἢ νὰ εὐλογήσει τὸ φαγητὸ ἢ κάτι ἄλλο παρόμοια, ἐνῶ ὁ ἴδιος δὲν ἦταν κληρικός, καὶ ἐπειδὴ βαρύνονταν ἀπὸ αὐτά, ἐρώτησε, ἐὰν πρέπει νὰ τὸν ὑπακούσει σ' αὐτό.

Ἀπόκριση Βαρσανουφίου.

Πρόσεχε, νὰ μὴ χαρεῖς ἐπειδὴ ὑπολογίζεσαι, καὶ δεῖξε ὑπακοὴ ποὺ διώχνει τὴ φιλονεικία, ποὺ μισεῖται ἀπὸ τὸν Θεὸ καὶ ἀπὸ αὐτοὺς ποὺ τὸν ἀγαποῦν· κράτα ὅμως τὴν ὑπακοὴ ποὺ ἀνεβάζει στὸν οὐρανό, καὶ κάνει αὐτοὺς ποὺ τὴν ἀποκτοῦν ὅμοιους με τὸν Υἱὸ τοῦ Θεοῦ.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

252

Αλλος ἀδελφὸς ἐρώτησε τὸν ἄλλο γέροντα.

Ἐπειδὴ ἔχω χρήματα, καὶ ἄλλα ἀπὸ αὐτὰ θέλω νὰ τὰ δώσω στὸ κοινόβιο, καὶ ἄλλα νὰ τὰ μοιράσω στοὺς φτωχούς, πές μου, πάτερ, ἐὰν πρέπει νὰ τὰ μοιράσω μέσω τοῦ ἀββᾶ.

Ἀπόκρισις *Ἰωάννου.*

Αδελφέ, τὰς πρώτας ἀποκρίσεις, ὡς ἀνθρώπῳ χρῄζοντι τοῦ γάλακτος, ἀκμὴν ἐλάλησά σοι. Ἄρτι δὲ ὅτε περὶ τελείας ἐλάλησας ἀποταγῆς, ἄκουσον κατὰ τὸ γεγραμμένον· «ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτό». Ἀδελφέ, οὐ χρὴ παρ' ἐμοῦ τοῦ ἐλαχίστου μαθεῖν, ἵνα τί ποιήσῃς, ἀλλ' ἄκουσον τὸ γεγραμμένον ἐν ταῖς πράξεσι τῶν Ἀποστόλων, περὶ τῶν πωλησάντων καὶ ῥιψάντων τὸ τίμημα παρὰ τοὺς πόδας τῶν Ἀποστόλων· ὅτι διεδίδοτο ἑκάστῳ καθ' ὅ,τι ἄν τις χρείαν εἶχεν, οὐ δι' αὐτῶν, ἀλλὰ διὰ τῶν Ἀποστόλων, αὐτοὶ δὲ ἀπηλλάγησαν μερίμνης καὶ χρημάτων καὶ κενοδοξίας.

Εἰ οὖν ἐπιποθεῖς εἰς τοῦτο τὸ μέτρον ἐλθεῖν καὶ ἀπολαῦσαι ἀμεριμνίας καὶ σχολάσαι μεριμνῆσαι τῷ Θεῷ, ποίησον καὶ αὐτὸς οὕτως. Ἀδελφέ, πάνυ ὀλίγα εἰσὶ τὰ σά, πρὸς ἃ ἐδόθη τῷ ἀββᾷ Ἡσαΐᾳ παρά τινων· χιλιάδας γὰρ νομισμάτων ἐδίδουν αὐτῷ, λέγοντες, 'διοίκησον αὐτὰ ὡς γινώσκεις', μὴ λέγοντες ποῦ, ἢ πῶς. Οὗτοι οὖν τὸ τέλειον ἐποίησαν καὶ ἠμερίμνησαν.

Σὺ δέ, ἐὰν ᾖ θέλημα τοῦ Θεοῦ ἐλθεῖν σε εἰς τὴν χαρὰν ταύτην, ὀφείλεις ἔχειν καὶ ὁμολογεῖν χάριτας τῷ βαστάζοντί σου τὸ φορτίον, μήποτε ὁ σπορεὺς τῶν κακῶν σπείρῃ εἰς σὲ λογίζεσθαι τὸν δεχόμενον ταῦτα ἔχειν σοι χάριτας.

Ὁ Θεὸς τὸ συμφέρον ποιήσοι μετὰ σοῦ πρὸς σωτηρίαν ψυχῆς.

ΣΝΓ'

Ὁ αὐτὸς ἠρώτησε τὸν μέγαν Γέροντα.

Ἀπόκριση Ἰωάννη.

Ἀδελφέ, σοῦ διατύπωσα τὶς πρῶτες ἀποκρίσεις, σὰν πρὸς ἄνθρωπο ποὺ τρώγει ἀκόμα γάλα. Ἐπειδὴ ὅμως τώρα μοῦ μίλησες γιὰ τέλεια ἀποταγή, ἄκουσε σύμφωνα μὲ τὰ γραμμένα· «ἄνοιξε τὸ στόμα σου, καὶ θὰ τὸ γεμίσω»[29]. Ἀδελφέ, δὲν πρέπει νὰ μάθεις ἀπὸ μένα τὸν ἐλάχιστο, τί νὰ κάνεις, ἀλλὰ ἄκουσε ἐκεῖνο ποὺ ἔχει γραφεῖ στὶς Πράξεις τῶν Ἀποστόλων, γιὰ ἐκείνους ποὺ πούλησαν τὰ πράγματά τους καὶ ἔρριξαν τὰ χρήματα μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων· ὅτι μοιραζόταν στὸν καθένα ἀνάλογα μὲ τὴν ἀνάγκη ποὺ εἶχε, ὄχι ἀπὸ τοὺς ἴδιους, ἀλλὰ ἀπὸ τοὺς Ἀποστόλους, ἐνῶ αὐτοὶ ἀπαλλάχθηκαν ἀπὸ τὴ μέριμνα καὶ ἀπὸ τὰ χρήματα καὶ ἀπὸ τὴν κενοδοξία.

Ἐὰν λοιπὸν ἐπιθυμεῖς νὰ ἔλθεις σ' αὐτὸ τὸ μέτρο καὶ ν' ἀπολαύσεις τὴν ἀμεριμνία καὶ θέλεις νὰ φροντίσεις γιὰ τὸ Θεό, κάνε καὶ σὺ τὸ ἴδιο. Ἀδελφέ, εἶναι πολὺ λίγα τὰ δικά σου σὲ σύγκριση μ' ἐκεῖνα ποὺ δόθηκαν στὸν ἀββᾶ Ἠσαΐα ἀπὸ μερικούς, διότι ἔδιναν χιλιάδες νομίσματα σ' αὐτὸν λέγοντας, 'διαχειρίσου τα ὅπως γνωρίζεις', χωρὶς νὰ λέγουν ποῦ ἢ πῶς. Αὐτοὶ λοιπὸν ἔκαμαν τὸ τέλειο καὶ ἀμερίμνησαν.

Ἐσὺ ὅμως, ἐὰν εἶναι θέλημα τοῦ Θεοῦ νὰ ἔλθεις σ' αὐτὴ τὴ χαρά, ὀφείλεις νὰ ἔχεις καὶ νὰ ἀναγνωρίζεις χάρες σ' αὐτὸν ποὺ βαστᾶ τὸ φορτίο σου, μήπως κάποτε ὁ σπορέας τῶν κακῶν σπείρει καὶ σὲ σένα, ὥστε νὰ σκέπτεσαι ὅτι αὐτὸς ποὺ δέχεται αὐτὰ θὰ σοῦ χρωστᾶ εὐγνωμοσύνη.

Εἴθε ὁ Θεὸς νὰ σοῦ κάμει ἐκεῖνο ποὺ συμφέρει γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου.

253

Ὁ ἴδιος ἐρώτησε τὸν μεγάλο Γέροντα.

---

29. Ψαλμ. 80,11.

Εἰ ὀφείλει διὰ τοῦ ἀββᾶ αὐτοῦ τὰ χρήματα διαδοῦναι καὶ πῶς διαδώσει καὶ τίσιν.

Ἀπόκρισις

Ὁ Κύριος εὐλογήσοι σε, τέκνον· θέλεις γὰρ ἀμεριμνῆσαι καὶ οὐ θέλεις, ὀχλούμενος ὑπὸ τοῦ ἰδίου θελήματος· μόνον εἰπὲ τί θέλεις ἀφορίσαι εἰς τὸ κοινόβιον καὶ τί εἰς λόγον τῶν δεομένων, καὶ ἀμερίμνησον. Αὕτη ἐστὶν ὑπακοή, τὸ μὴ ἔχειν ἐξουσίαν ἑαυτοῦ. Τί τιμιώτερον τῆς ψυχῆς σου, ἣν εἶπεν ὁ Κύριος τιμιωτέραν ὅλου τοῦ κόσμου; Καὶ εἰ αὐτὴν τῷ Θεῷ παρέθηκας καὶ τοῖς πνευματικοῖς σου πατράσιν, ἀκμὴν τί διστάζεις πιστεῦσαι αὐτοῖς τὰ ὀλίγα; Βλέπε πῶς λεληθότως ἡ κενοδοξία καὶ ἡ ἀπιστία πολεμεῖ σοι. Καὶ εἰ οὕτως ἔχεις, οὔτε ἐν ἀληθείᾳ ἐπίστευσας αὐτοῖς τὴν ψυχήν σου, καὶ πῶς προσδοκᾷς δι' αὐτῶν ἐλεηθῆναι;

Ἀμερίμνησον, εἰ θέλεις σχολάσαι τῷ Θεῷ καὶ ἐγὼ βαστάζω τὴν φροντίδα, μεθ' οὗ διατάσσῃ. Μόνον γενοῦ σὺ ἀμέριμνος πρὸς τὸν Θεὸν καὶ συγχώρησόν μοι διὰ τὴν ἀγάπην.

ΣΝΔ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Εἰπέ μοι, πάτερ, πῶς τις ἔρχεται εἰς τὸ κόψαι τὸ ἴδιον θέλημα καὶ εἰς τό, «ἰδοὺ ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι»; Ὅτι ἐκράτησα μικρὸν χωρίον εἰς ἀποστροφήν μου· ὅτι ἀσθενής εἰμι.

Ἀπόκρισις

Τὸ ἀφεῖναι τὸ ἴδιον θέλημα, αἱματοχυσία ἐστί· τουτέστι τὸ φθάσαι τινὰ κοπιάσαι ἕως θανάτου καὶ ἀθετῆσαι τὸ θέλημα αὐτοῦ· τὸ δέ, «ἰδοὺ ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι», περὶ τελειότητός ἐστι καὶ οὐ περὶ χωρίων καὶ

30. Ματθ. 19,27.

Ἐὰν ὀφείλει νὰ μοιράσει τὰ χρήματά του μέσω τοῦ ἀββᾶ καὶ πῶς θὰ τὰ μοιράσει καὶ σὲ ποιούς.

Ἀπόκριση

Εἴθε ὁ Κύριος νὰ σὲ εὐλογήσει, τέκνο. Διότι θέλεις νὰ ἀμεριμνήσεις, ἀλλὰ καὶ δὲν θέλεις, ἐνοχλούμενος ἀπὸ τὸ ἴδιο σου τὸ θέλημα· μόνο πὲς τί θέλεις νὰ παραχωρήσεις στὸ κοινόβιο καὶ τί γιὰ τοὺς φτωχούς, καὶ ἀμερίμνησε. Αὐτὴ εἶναι ὑπακοή, τὸ νὰ μὴ ἔχεις ἐξουσία στὸν ἑαυτό σου. Τί ὑπάρχει πολυτιμότερο ἀπὸ τὴν ψυχή σου, γιὰ τὴν ὁποία ὁ Κύριος εἶπε ὅτι εἶναι «πολυτιμότερη ὅλου τοῦ κόσμου»; Καὶ ἐὰν τὴν ἀνέθεσες στὸ Θεὸ καὶ στοὺς πνευματικοὺς πατέρες, γιατί διστάζεις ἀκόμα νὰ ἐμπιστευθεῖς σ' αὐτοὺς τὰ λίγα; Πρόσεχε πῶς σὲ πολεμᾶ ἀνεπαίσθητα ἡ κενοδοξία καὶ ἡ ἀπιστία. Καὶ ἐὰν συμβαίνει αὐτό, δὲν τοὺς ἐμπιστεύτηκες μὲ εἰλικρίνεια τὴν ψυχή σου, καὶ πῶς περιμένεις νὰ ἐλεηθεῖς δι' αὐτῶν;

Ἀμερίμνησε, ἐὰν θέλεις νὰ φροντίσεις τὸ Θεό, καὶ ἐγὼ βαστάζω τὴ φροντίδα γι' αὐτὸ ποὺ θὰ διατάξεις. Μόνο γίνε ἐσὺ ἀμέριμνος πρὸς τὸ Θεὸ καὶ συγχώρεσέ με ἐξαιτίας τῆς ἀγάπης.

254

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα

Πές μου, πάτερ, πῶς φθάνει κανεὶς στὸ νὰ κόψει τὸ θέλημά του καὶ στό, «νά, τὰ ἀφήσαμε ὅλα καὶ σὲ ἀκολουθήσαμε»; Ἐγὼ ὅμως ἐκράτησα ἕνα μέρος γιὰ τὴ διατροφή μου, ἐπειδὴ εἶμαι ἀσθενής.

Ἀπόκριση τοῦ μεγάλου.

Τὸ νὰ ἀφήσεις τὸ ἴδιο σου τὸ θέλημα, εἶναι αἱματοχυσία· δηλαδὴ τὸ νὰ φθάσει κανεὶς νὰ κοπιάσει μέχρι θανάτου καὶ νὰ ἀθετήσει τὸ θέλημά του· ἐνῶ τό, «νά, τὰ ἀφήσαμε ὅλα καὶ σὲ ἀκολουθήσαμε»[30], εἶναι γιὰ τὴν τελειό-

χρημάτων μικρῶν, ἀλλὰ καὶ περὶ λογισμῶν καὶ θελημάτων.

Σὺ δὲ ἀκμὴν οὐκ ἦλθες εἰς ταύτην τὴν τελειότητα· ἀλλ' ὅταν ἐγγίζῃς, ἀκούσεις ὅ,τι ποιήσεις· τέως τὸ ἓν γενοῦ, ἀμέριμνος ἀπὸ ὅλων τῶν πραγμάτων καὶ φροντίδων· τὸ δὲ χωρίον ἔχε τέως εἰς ἀποτροφήν σου.

Ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐνέγκοι σε εἰς τὴν χαρὰν ἐκείνην τὴν ἀνεκλάλητον· φῶς γάρ ἐστιν αἰώνιον. Ἀμήν.

ΣΝΕ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Ἐπειδὴ σφόδρα πολεμοῦμαι ὑπὸ τῆς πορνείας καὶ κινδυνεύω εἰς ἀπόγνωσιν ἐλθεῖν, καὶ οὐδὲ ἐγκρατεύσασθαι δύναμαι διὰ τὴν ἀσθένειαν τοῦ σώματός μου, εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον, καὶ εἰπέ μοι, τί ποιήσω.

Ἀπόκρισις

Αδελφέ, φθονῶν σοι ὁ διάβολος, ἤγειρεν ἐπάνω σου τὸν πόλεμον. Φύλαξον οὖν τοὺς σοὺς ὀφθαλμούς, καὶ μὴ τραφῇς εἰς κόρον· οἴνου δὲ ὀλίγου μεταλάμβανε, δι' ἣν λέγεις ἀσθένειαν· κτῆσαι δὲ τὴν ταπείνωσιν, ὅτι δι' αὐτῆς ρήγνυνται αἱ παγίδες πᾶσαι τοῦ ἐχθροῦ. Κᾀγὼ δὲ ὁ ἐλάχιστος ποιῶ μου τὴν δύναμιν, δεόμενος τοῦ Θεοῦ, ἵνα σκεπάσῃ σε ἀπὸ παντὸς πειρασμοῦ, καὶ φυλάξῃ ἀπὸ παντὸς κακοῦ.

Μὴ ἐνδώσῃς, ἀδελφέ, μηδὲ εἰς ἀπόγνωσιν βάλῃς σεαυτόν· αὕτη γάρ ἐστιν ἡ μεγάλη χαρὰ τοῦ διαβόλου. Ἀδιαλείπτως δὲ εὐχόμενος λέγε· 'Κύριε Ἰησοῦ Χριστέ, σῶσόν με ἀπὸ τῶν παθῶν τῆς ἀτιμίας' καὶ εὑρίσκεις τὸ ἔλεος τοῦ Θεοῦ, καὶ οὕτω λαμβάνεις δύναμιν, εὐχαῖς ἁγίων. Ἀμήν.

τητα καὶ ὄχι γιὰ λίγα μέρη καὶ χρήματα, ἀλλὰ γιὰ λογισμοὺς καὶ θελήματα.

Ἐσὺ ὅμως δὲν ἦρθες ἀκόμα σ' αὐτὴν τὴν τελειότητα· ἀλλὰ ὅταν θὰ πλησιάσεις, θ' ἀκούσεις τὸ τί θὰ κάνεις· μέχρι τότε γίνε τὸ ἕνα, ἀμέριμνος ἀπὸ ὅλα τὰ πράγματα καὶ τὶς φροντίδες καὶ ἔχε μέχρι τότε τὸ χωράφι γιὰ τὴ διατροφή σου.

Εἴθε ὁ Κύριος Ἰησοῦς Χριστὸς νὰ σὲ ὁδηγήσει σ' ἐκείνη τὴν ἀνεκδιήγητη χαρά· διότι εἶναι αἰώνιο φῶς. Γένοιτο.

255

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἐπειδὴ πολεμοῦμαι πολὺ ἀπὸ τὴν πορνεία καὶ κινδυνεύω νὰ φθάσω σὲ ἀπόγνωση, καὶ οὔτε μπορῶ νὰ κρατηθῶ ἐξαιτίας τῆς ἀσθένειας τοῦ σώματός μου, προσευχήσου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου, καὶ πές μου, τί νὰ κάνω.

Ἀπόκριση

Ἀδελφέ, ἐπειδὴ ὁ διάβολος σὲ φθονεῖ, σήκωσε ἐπάνω σου τὸν πόλεμο. Φύλαξε λοιπὸν τὰ μάτια σου, καὶ νὰ μὴ τρέφεσαι μέχρι κορεσμοῦ· νὰ πίνεις λίγο κρασί, γιὰ τὴν ἀσθένειά σου ποὺ λέγεις ὅτι ἔχεις, καὶ ἀπόκτησε τὴν ταπείνωση, διότι μ' αὐτὴν πέφτουν ὅλες οἱ παγίδες τοῦ ἐχθροῦ. Καὶ ἐγὼ ὁ ἐλάχιστος κάμνω ὅ,τι ἐξαρτᾶται ἀπὸ μένα, παρακαλῶντας τὸ Θεὸ νὰ σὲ σκεπάσει ἀπὸ κάθε πειρασμὸ καὶ νὰ σὲ φυλάξει ἀπὸ κάθε κακό.

Μὴ ἐνδώσεις, ἀδελφέ, οὔτε νὰ ὁδηγήσεις τὸν ἑαυτο σου σὲ ἀπόγνωση· διότι αὐτὴ εἶναι ἡ μεγάλη χαρὰ τοῦ διαβόλου. Προσευχόμενος λοιπὸν ἀδιάλειπτα λέγε, 'Κύριε Ἰησοῦ Χριστέ, σῶσε με ἀπὸ τὰ πάθη τῆς ἀτιμίας', καὶ θὰ βρεῖς τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ἔτσι θὰ λάβεις δύναμη, μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

ΣΝS΄

Ὁ αὐτὸς ἀδελφός, πολεμούμενος εἰς τὸ αὐτὸ πάθος τῆς πορνείας, παρεκάλεσε τὸν αὐτὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ, καὶ εἰπεῖν αὐτῷ πῶς νοεῖ τις εἰ ἐκ τῆς ἰδίας ἐπιθυμίας πειράζεται, ἢ ἐκ τοῦ ἐχθροῦ.

Ἀπόκρισις

Ἀδελφέ, ἄνευ κόπου καρδίας καὶ συντριβῆς οὐδεὶς δύναται σωθῆναι ἐκ τῶν παθῶν καὶ εὐαρεστῆσαι τῷ Θεῷ. Ὅταν οὖν πειράζηταί τις ὑπὸ τῆς ἰδίας ἐπιθυμίας, τοῦτό ἐστι, τὸ ἀμελῆσαι ἑαυτοῦ καὶ ἀφεῖναι τὴν καρδίαν μελετᾶν τὰ πεπραγμένα αὐτῷ ἀπ' ἀρχῆς, καὶ τότε ἀφ' ἑαυτοῦ ἐπιφέρει ἐφ' ἑαυτὸν τὴν ὀργὴν ἀπὸ τῆς ἰδίας ἐπιθυμίας. Καὶ κατὰ μικρὸν τυφλούμενος ὁ νοῦς, ἄρχεται ἐν ἀγνωσίᾳ προσέχειν ἢ λαλεῖν πρὸς ὃν ἔχει τὴν ἐπιθυμίαν· καὶ προφάσεις ἑαυτῷ φέρει πῶς λαλήσῃ αὐτῷ, ἢ μετ' αὐτοῦ συγκαθίσῃ καὶ διὰ πάσης ὁδοῦ ἔρχεται πληρῶσαι τὴν ἐπιθυμίαν.

Τὸ οὖν ἐᾶσαι τὸν λογισμὸν ἐν τούτοις, πλεονάζει τὸν πόλεμον εἰς πτῶσιν, κἂν μὴ τῷ σώματι, ἀλλὰ τῷ πνεύματι ἐν ταῖς συγκαταθέσεσι, καὶ εὑρίσκεται ὁ ἄνθρωπος ἅπτων τὸ πῦρ ἑαυτῷ ἐν ὕλῃ· ὁ δὲ νηφάλιος καὶ συνετὸς ἄνθρωπος, ὁ βουλόμενος σωθῆναι, βλέπων πόθεν βλάπτεται, φυλάττει ἑαυτὸν μετὰ ἀκριβείας, ἀπὸ ἐνθυμήσεως πονηρᾶς τοῦ μὴ ἀδολεσχεῖν ἐν αὐτοῖς τοῖς πάθεσι, καὶ ἀπὸ βλέμματος καὶ συντυχίας καὶ οἱασδήποτε προφάσεως, φοβούμενος μὴ ἑαυτῷ ἅψῃ τὸ πῦρ. Ἰδοὺ ὁ πόλεμος ὁ ἀπὸ τῆς ἰδίας ἐπιθυμίας, ἤτοι προαιρέσεως γινόμενος.

Ὁ δὲ ὑπὸ τοῦ διαβόλου γινόμενος, οὗτός ἐστιν. Ὑπομειδιᾷ ἡ καρδία τοῦ θέλοντος σωθῆναι τοῦ μὴ δέξασθαι τὸν σπόρον. Καὶ ἐνταῦθα δὲ πάλιν μετὰ νήψεως φυλάττει ἑαυτὸν καὶ ἀπὸ ἐν-

256

Ὁ ἴδιος ἀδελφός, πολεμούμενος ἀπὸ τὸ ἴδιο πάθος τῆς πορνείας, παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτὸν καὶ νὰ τοῦ πεῖ, πῶς καταλαβαίνει κανεὶς ἐὰν πειράζεται ἀπὸ τὴν δική του ἐπιθυμία, ἢ ἀπὸ τὸν ἐχθρό.

Ἀπόκριση

Ἀδελφέ, χωρὶς κόπο καρδιᾶς καὶ συντριβῆς, κανένας δὲν μπορεῖ νὰ σωθεῖ ἀπὸ τὰ πάθη καὶ νὰ εὐαρεστήσει τὸν Θεό. Ὅταν λοιπὸν πειράζεται κάποιος ἀπὸ τὴ δική του ἐπιθυμία, αὐτὸ σημαίνει ὅτι ἀμέλησε τὸν ἑαυτό του καὶ ἄφησε τὴν καρδιά του νὰ μελετᾶ ἐκεῖνα ποὺ ἔχουν πραχθεῖ σ' αὐτὸν ἀπὸ τὴν ἀρχή, καὶ τότε ἀπὸ μόνος του φέρνει ἐναντίον του τὴν ὀργή, ἀπὸ τὴ δική του ἐπιθυμία. Καὶ τυφλούμενος σιγὰ σιγὰ ὁ νοῦς, ἀρχίζει νὰ προσέχει ἢ νὰ μιλᾶ μὲ ἀγνωσία πρὸς ἐκεῖνον ποὺ ἔχει τὴν ἐπιθυμία· καὶ φέρνει στὸν ἑαυτό του προφάσεις πῶς θὰ τοῦ μιλήσει, ἢ πῶς θὰ καθήσει μαζὶ μ' αὐτὸν καὶ μὲ κάθε τρόπο ἐπιδιώκει νὰ πραγματοποιήσει τὴν ἀπιθυμία.

Τὸ νὰ ἀφήσει λοιπὸν τὸ λογισμὸ σ' αὐτά, αὐξάνει τὸν πόλεμο γιὰ τὴν πτώση, ὄχι μόνο στὸ σῶμα ἀλλὰ καὶ στὸ πνεῦμα μὲ τὶς συγκαταθέσεις, καὶ βρίσκεται ὁ ἄνθρωπος νὰ ἀνάβει μὲ ξύλα τὴ φωτιὰ στὸν ἑαυτό του. Ὁ νηφάλιος ὅμως καὶ συνετὸς ἄνθρωπος, αὐτὸς ποὺ θέλει νὰ σωθεῖ, ἐπειδὴ βλέπει ἀπὸ ποῦ βλάπτεται, φυλάγει τὸν ἑαυτό του μὲ ἀκρίβεια ἀπὸ τὴν πονηρὴ ἀνάμνηση, ὥστε νὰ μὴ περιπέσει σ' αὐτὰ τὰ πάθη, καθὼς καὶ ἀπὸ βλέμμα καὶ συνάντηση καὶ ἀπὸ ὁποιαδήποτε ἀφορμή, φοβούμενος νὰ μὴ ἀνάψει τὴ φωτιὰ στὸν ἑαυτό του. Νὰ ὁ πόλεμος, ποὺ γίνεται ἀπὸ τὴν ἐπιθυμία του, δηλαδη ἀπὸ τὴν προαίρεση.

Ἐκεῖνος ὅμως ποὺ γίνεται ἀπὸ τὸν διάβολο εἶναι αὐτός. Ἡ καρδιὰ αὐτοῦ ποὺ θέλει νὰ σωθεῖ χαμογελᾶ, ὥστε νὰ μὴ δεχθεῖ τὸν σπόρο. Καὶ ἐδῶ πάλι φυλάγει τὸν ἑαυτό του μὲ νήψη καὶ

θυμήσεως πονηρᾶς τοῦ μὴ ἀδολεσχεῖν μετὰ τῶν παθῶν καὶ ἀπὸ βλέμματος καὶ συντυχίας καὶ προφάσεως. Εἰ δὲ ἀνάγκη ἐστὶ πράγματος πρὸς τὸν τοιοῦτον, βέλτιον ἀμεληθῆναι τὸ πρᾶγμα καὶ ψυχὴ μὴ ἀπόληται.

Νῆψον, ἀδελφέ, θνητὸς εἶ καὶ ὀλιγοχρόνιος· μὴ θελήσῃς ἀντὶ μικροῦ καιροῦ ἀπολέσαι ζωὴν αἰώνιον. Ποίαν ὠφέλειαν ἔχει ἡ δυσωδία καὶ ἀκαθαρσία τῆς ἁμαρτίας, εἰ μὴ αἰσχύνην καὶ ὀνειδισμὸν καὶ σκάνδαλον; Ἡ δὲ ἐγκράτεια, νίκην ἔχει καὶ στέφανον καὶ καύχημα. Ἄγξον τὸν ἵππον σου ἐν τῷ χαλινῷ τῆς ἐπιστήμης, ἵνα μὴ προσέχων ὧδε κᾀκεῖ θηλυμανήσῃ, μᾶλλον δὲ ἀρρενομανήσῃ, καὶ ῥίψῃ σε τὸν ἐπιβάτην αὐτοῦ. Δεήθητι τοῦ Θεοῦ, ὥστε «ἀποστρέψῃ τοὺς ὀφθαλμούς σου τοῦ μὴ ἰδεῖν ματαιότητα»· καὶ κτησάμενόν σου ἀνδρείαν καρδίαν, φεύγουσιν οἱ πόλεμοι ἀπὸ σοῦ.

Γενοῦ στυφός, ὡς ὁ οἶνος τῷ τραύματι, καὶ οὐκ ἐᾷς συνάξαι δυσωδίαν καὶ ἀκαθαρσίαν· κτῆσαι δὲ τὸ πένθος, ἵνα ἀπαλλοτριώσῃ σε τῆς παρρησίας τῆς ἀπολυούσης τὰς ψυχὰς τῶν κτησαμένων αὐτήν. Μὴ ῥίψῃς χαμαὶ τὸ ἐργαλεῖον, οὗ χωρίς, οὐκ ἐργάζεται ἡ καρποφόρος γῆ· τὸ δὲ ἐργαλεῖόν ἐστιν ἡ ταπείνωσις, ἡ ἐργασθεῖσα ὑπὸ τοῦ μεγάλου Θεοῦ, δι' ἧς ἐκριζοῦνται ὅλα τὰ ζιζάνια ἀπὸ τοῦ δεσποτικοῦ χωρίου, καὶ χάριν παρέχουσα τοῖς ἐν αὐτῇ πολιτευομένοις. Οὐ πίπτει ταπείνωσις, ἀλλ' ἀπὸ πτώσεως ἐγείρει τοὺς ἔχοντας αὐτήν.

Ἄσπασαι ἐν ὅλῃ καρδίᾳ τὸ πένθος, συμμέτοχον γάρ ἐστι τῆς καλῆς ἐργασίας· πόνησον τοῦ κόψαι τὸ θέλημά σου ἐν πᾶσιν· εἰς θυσίαν γὰρ λογίζεται τῷ ἀνθρώπῳ. Καὶ τοῦτό ἐστι τό, «ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς». Μὴ χαυνώσῃς σεαυτὸν ἐν συντυχίαις, ἐπεὶ οὐκ ἀφιᾶσί σε προκόψαι κατὰ Θεόν. Πάνυ μετὰ βίας βασάνισόν

ἀπὸ τὴν πονηρὴ ἀνάμνηση, ὥστε νὰ μὴ ἀσχολεῖται μὲ τὰ πάθη, καὶ ἀπὸ τὸ βλέμμα καὶ ἀπὸ τὴ συνάντηση καὶ ἀπὸ τὴν ἀφορμή. Ἐὰν ὅμως ὑπάρχει ἀνάγκη κάποιου πράγματος γι' αὐτόν, εἶναι καλύτερο νὰ ἀμεληθεῖ τὸ πρᾶγμα καὶ νὰ μὴ χαθεῖ ἡ ψυχή.

Πρόσεχε, ἀδελφέ, διότι εἶσαι θνητὸς καὶ ὀλιγοχρόνιος· μὴ θελήσεις νὰ χάσεις τὴν αἰώνια ζωὴ γιὰ λίγο καιρό. Ποιά ὠφέλεια ἔχει ἡ δυσωδία καὶ ἡ ἀκαθαρσία τῆς ἁμαρτίας, παρὰ ντροπὴ καὶ ὀνειδισμὸ καὶ σκάνδαλο; Ἡ ἐγκράτεια ὅμως ἔχει νίκη καὶ στέφανο καὶ καύχημα. Σφίξε τὸ ἄλογό σου μὲ το χαλινάρι τῆς πειθαρχίας γιὰ νὰ μὴ προσέχει ἐδῶ καὶ ἐκεῖ, καὶ ἔτσι θηλυμανήσει, ἢ καλύτερα ἀρρενομανήσει καὶ ρίξει κάτω ἐσένα τὸν ἐπιβάτη του. Παρακάλεσε τὸ Θεὸ «νὰ στρέψει τὰ μάτια σου γιὰ νὰ μὴ δοῦν τὴ ματαιότητα»[31], καὶ ὅταν ἀποκτήσεις ἀνδρεία καρδιά, θὰ φύγουν οἱ πόλεμοι ἀπὸ σένα.

Γίνε στυφὸς ὅπως τὸ κρασὶ στὸ τραῦμα, καὶ μὴ ἀφήνεις νὰ μαζευθεῖ δυσωδία καὶ ἀκαθαρσία. Ἀπόκτησε τὸ πένθος, γιὰ νὰ σὲ ἀποξενώσει ἀπὸ τὴν παρρησία ποὺ καταστρέφει τὶς ψυχὲς αὐτῶν ποὺ τὴν ἔχουν. Μὴ ρίξεις κάτω τὸ ἐργαλεῖο, χωρὶς τὸ ὁποῖο δὲν καλλιεργεῖται ἡ καρποφόρα γῆ· καὶ τὸ ἐργαλεῖο εἶναι ἡ ταπείνωση ποὺ κατασκευάζεται ἀπὸ τὸν μεγάλο Θεό, μὲ τὴν ὁποία ξερριζώνονται ὅλα τὰ ζιζάνια ἀπὸ τὸ δεσποτικὸ χωράφι, καὶ ἡ ὁποία δίνει χάρη σ' ἐκείνους ποὺ ζοῦν μέσα σ' αὐτήν. Ἡ ταπείνωση δὲν πέφτει, ἀλλὰ σηκώνει ἀπὸ τὴν πτώση ἐκείνους ποὺ τὴν ἔχουν.

Ἀσπάσου μὲ ὅλη τὴν καρδιά σου τὸ πένθος, διότι εἶναι συμμέτοχο τῆς καλῆς ἐργασίας. Κοπίασε, ὥστε νὰ κόψεις τὸ θέλημά σου σὲ ὅλα· διότι θεωρεῖται θυσία γιὰ τὸν ἄνθρωπο. Καὶ αὐτὸ σημαίνει τό, «γιὰ σένα πεθαίνουμε ὅλη τὴν ἡμέρα, θεωρηθήκαμε σὰν πρόβατα σφαγῆς»[32]. Μὴ χαυνώσεις τὸν ἑαυτό σου στὶς συναντήσεις, διότι δὲν θὰ σ' ἀφήσουν νὰ προκόψεις σύμφωνα μὲ τὸν Θεό. Βασάνισε μὲ πολλὴ πίεση τὰ αἰσθη-

31. Ψαλμ. 118,37.
32. Ρωμ. 8,36.

σου τὰ αἰσθητήρια· τὴν ὅρασιν, τὴν ἀκοήν, τὴν γεῦσιν, τὴν ὄσφρησιν, τὴν ἀφήν, καὶ προκόπτεις χάριτι Χριστοῦ· ἄνευ γὰρ βασάνων μάρτυς οὐ γίνεται· ὡς καὶ ὁ Κύριος εἶπεν· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν»· καὶ ὁ Ἀπόστολος λέγει· «ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσι», καὶ τὰ λοιπά.

Βλέπε μὴ δείξῃς τοῖς Χαλδαίοις τοὺς θησαυροὺς τοῦ οἴκου σου, ἐπεὶ αἰχμάλωτόν σε λαμβάνουσιν εἰς Ναβουχοδονόσορ βασιλέα τῶν Βαβυλωνίων. Καταπάτησον τὰ πάθη, μελετῶν τὴν ἀπόκρισιν ταύτην πάντοτε, ἵνα μὴ καταπατηθῇς ὑπ' αὐτῶν καὶ καταπονήσωσί σε αὐτὰ δυνάμει. Φεῦγε ἀπ' αὐτῶν ὡς δορκὰς ἐκ βρόχων, ἵνα μὴ κατασφάξωσί σε ὡς ἀρνίον. Μὴ οὖν φοβηθῇς αὐτούς· οὐκ ἔχουσι γὰρ δύναμιν. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐξενεύρισεν αὐτοὺς καὶ ἀδυνάτους ἐποίησε· μὴ οὖν κοιμηθῇς, εἰ γὰρ καὶ ἡμιθανεῖς εἰσι, ἀλλ' οὐ κοιμῶνται· καὶ μὴ ἀμελήσῃς, οὐ γὰρ ἐκεῖνοι ἀμελοῦσι. Δὸς μικρὸν τὴν χεῖρα τοῖς σοῖς πατράσι, τοῖς θέλουσί σε ἀνασπάσαι ἐκ τοῦ βορβόρου τῆς δυσωδίας· μιμνήσκου, ὅτι «πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη». Μὴ κρίνῃς τινά· μὴ ἐξουδενώσῃς ἢ σκανδαλίσῃς τινά· μὴ λογίζου ἃ οὐκ οἶδας εἴς τινα· ταῦτα γὰρ ἀπώλειά ἐστι ψυχῆς.

Σεαυτῷ πρόσεχε, καὶ προσδόκησον ἐρχόμενον τὸν θάνατον· εἰπὲ σεαυτῷ τὸν λόγον τοῦ μακαρίου Ἀρσενίου. ''Ἀρσένιε, δι' ὃ ἐξῆλθες'. Μᾶθε τί ἦλθες ὧδε ζητῶν· εἰς τὸν Ἰησοῦν τρέχε, ἵνα καταλάβῃς αὐτόν. Εἰ σωθῆναι θέλεις, ὀξυπόδυσον, ἵνα εὑρεθῇς ἐν τῇ ἀγαθῇ ταύτῃ συνοδίᾳ τῶν ἁγίων γερόντων. Εἰ θέλεις προκόψαι, ἔργασαι. Ζήλωσον εἶναι μετὰ τῶν ἁγίων, δοξαζόμενος ἐν τῇ ἀνεκλαλήτῳ δόξῃ, καὶ μὴ μετὰ τῶν μικρῶν δαιμόνων, ἐν τῇ ἀνεκλαλήτῳ τιμωρίᾳ. Πόθησον εἶναι ἐν τῇ βασι-

τήριά σου, τὴν ὅραση, τὴν ἀκοή, τὴ γεύση, τὴν ὄσφρηση, τὴν ἁφή, καὶ θὰ προκόψεις μὲ τὴ χάρη τοῦ Χριστοῦ· διότι δὲν γίνεται κανεὶς μάρτυρας χωρὶς βάσανα, ὅπως εἶπε καὶ ὁ Κύριος· «μὲ τὴν ὑπομονή σας θ' ἀποκτήσετε τὶς ψυχές σας»[33]· καὶ ὁ Ἀπόστολος λέγει· «μὲ πολλὴ ὑπομονή, μὲ θλίψεις»[34], καὶ τὰ λοιπά.

Πρόσεχε νὰ μὴ δείξεις στοὺς Χαλδαίους τοὺς θησαυροὺς τοῦ σπιτιοῦ σου, διότι θὰ σὲ πάρουν αἰχμάλωτο στὸν Ναβουχοδονόσορα τὸν βασιλιὰ τῶν Βαβυλωνίων. Καταπάτησε τὰ πάθη μελετώντας πάντοτε αὐτὴ τὴν ἀπόκριση, γιὰ νὰ μὴ καταπατηθεῖς ἀπ' αὐτὰ καὶ σὲ καταπονήσουν βάναυσα. Φύγε ἀπὸ αὐτὰ σὰν ζαρκάδι ἀπὸ τὴ θηλυά, γιὰ νὰ μὴ σὲ κατασφάξουν σὰν ἀρνί. Μὴ φοβηθεῖς λόιπὸν αὐτούς, διότι δὲν ἔχουν δύναμη. Ὁ Κύριός μας Ἰησοῦς Χριστὸς τοὺς ἐξενεύρισε καὶ τοὺς ἔκανε ἀδύνατους. Μὴ κοιμηθεῖς ὅμως, διότι, ἂν καὶ εἶναι ἡμιθανεῖς, ὅμως δὲν κοιμοῦνται· καὶ νὰ μὴ ἀμελήσεις, διότι οὔτε ἐκεῖνοι ἀμελοῦν. Δῶσε λίγο τὸ χέρι στοὺς πατέρες σου ποὺ θέλουν νὰ σὲ ἀποσπάσουν ἀπὸ τὸ βόρβορο τῆς δυσωδίας· θυμήσου ὅτι ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο ἔχει πολλὴ δύναμη. Μὴ κρίνεις κάποιον· μὴ ἐξουθενώσεις ἢ σκανδαλίσεις κάποιον· μὴ ἀποδίδεις σὲ κάποιον πράγματα ποὺ δὲν γνωρίζεις, διότι αὐτὰ εἶναι ἀπώλεια ψυχῆς.

Πρόσεχε τὸν ἑαυτό σου καὶ περίμενε τὸν θάνατο ποὺ ἔρχεται. Πὲς στὸν ἑαυτό σου τὸν λόγο τοῦ μακαρίου Ἀρσενίου· 'Ἀρσένιε, γι' αὐτὸ βγῆκες'. Μάθε τί ἦρθες νὰ ζητήσεις ἐδῶ· τρέχε πρὸς τὸν Ἰησοῦ, γιὰ νὰ τὸν συλλάβεις. Ἐὰν θέλεις νὰ σωθεῖς, τρέξε γρήγορα, γιὰ νὰ βρεθεῖς μὲ τὴν ἀγαθὴ αὐτὴ συνοδία τῶν ἁγίων Γερόντων. Ἐὰν θέλεις νὰ προκόψεις, ἐργάσου. Ἐπιδίωξε μὲ ζῆλο νὰ εἶσαι μαζὶ μὲ τοὺς ἁγίους, δοξαζόμενος μέσα στὴν ἀνεκδιήγητη δόξα, καὶ ὄχι μὲ τοὺς μιαροὺς δαίμονες, στὴν ἀνεκδιήγητη τιμωρία. Πόθησε νὰ εἶσαι στὴ βασιλεία

33. Λουκᾶ 21,19.

34. Β' Κορ. 6,4.

λεία τῶν οὐρανῶν, καὶ μὴ ἐν τῇ γεέννῃ του πυρός. Πόθησον ἀκοῦσαι «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου» καὶ «εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ» καὶ τὰ λοιπά, καὶ μὴ ἀκοῦσαι, «πορεύου ἀπ' ἐμοῦ, κατηραμένε δοῦλε πονηρὲ καὶ ὀκνηρέ».

Τοῦ Κυρίου ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΝΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Ἐπειδὴ πολλὰς ἁμαρτίας ἔχων θέλω μετανοῆσαι καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος οὐχ εὑρίσκω κρατῆσαι τὴν ἄσκησιν τῶν πατέρων, παρακαλῶ, ἵνα μοι εἴπῃς, πῶς ὀφείλω βαλεῖν ἀρχήν. Κέλευσον οὖν, σαφήνισόν μοι, τί ἐστιν ὃ ἐδήλωσάς μοι ἐν τῇ ἄλλῃ ἀποκρίσει, τὸ 'μὴ δείξῃς τοῖς Βαβυλωνίοις τοὺς θησαυροὺς τοῦ οἴκου σου, ἐπεὶ λαμβάνουσί σε εἰς Βαβυλῶνα αἰχμάλωτον'.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἀδελφέ, εἰσί τινες πτωχοί, οὓς ὁ Κύριος ἐμακάρισεν, ἐπειδὴ ἀπέβαλον ὅλα τὰ κτήματα αὐτῶν, τουτέστιν ὅλα τὰ πάθη, καὶ ἐγύμνωσαν ἑαυτοὺς ἀπ' αὐτῶν διὰ τὸ ὄνομα αὐτοῦ· οὗτοι ἀληθινοί εἰσι πτωχοὶ καὶ ἔχουσι τὸν μακαρισμόν. Καὶ εἰσὶν ἄλλοι πτωχοί, μηδὲν ἀγαθὸν κεκτημένοι, οἷς ἠπείλησε λέγων· «ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι». Ὁ ἔχων οὖν τοιαῦτα κτήματα καὶ εἰς ταῦτα βαρούμενος, ἀποβάλλει αὐτὰ καὶ ἀμεριμνεῖ.

Ὥστε οὖν, εἰ θέλεις βαλεῖν ἀρχὴν μετανοῆσαι, μάθε τί ἐποίησεν ἡ πόρνη, ἐν δάκρυσιν αὐτῆς ἔνιψε τοὺς πόδας τοῦ Δε-

---

35. Ματθ. 25,34.
36. Ματθ. 25,21 . 25,23.

τῶν οὐρανῶν, καὶ ὄχι στὴ γέεννα τοῦ πυρός. Πόθησε ν' ἀκούσεις, «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατρός μου»[35] καὶ «εὖγε, δοῦλε ἀγαθὲ καὶ πιστέ»[36] καὶ τὰ λοιπά, καὶ νὰ μὴ ἀκούσεις, «φύγε ἀπὸ μένα, καταραμένε δοῦλε πονηρὲ καὶ ὀκνηρέ»[37].

Ἡ δόξα ἀνήκει στὸν Κύριο στοὺς αἰῶνες. Γένοιτο.

257

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἐπειδὴ ἔχω πολλὲς ἁμαρτίες καὶ θέλω νὰ μετανοήσω, ἀλλ' ἐξαιτίας τῆς ἀσθένειας τοῦ σώματος δὲν μπορῶ νὰ κρατήσω τὴν ἄσκηση τῶν Πατέρων, σὲ παρακαλῶ νὰ μοῦ πεῖς, πῶς ὀφείλω νὰ βάλω ἀρχή. Πρόσταξε λοιπόν, διασαφήνισέ μου, τί σημαίνει ἐκεῖνο ποὺ μοῦ δήλωσες στὴν ἄλλη ἀπόκριση, τὸ 'μὴ δείξεις στοὺς Βαβυλώνιους τοὺς θησαυροὺς τοῦ σπιτιοῦ σου, διότι θὰ σὲ πάρουν αἰχμάλωτο στὴ Βαβυλώνα'.

Ἀπόκριση

Αδελφέ, ὑπάρχουν μερικοὶ φτωχοί, τοὺς ὁποίους μακάρισε ὁ Κύριος, ἐπειδὴ ἔχασαν ὅλα τὰ κτήματά τους, δηλαδὴ ὅλα τὰ πάθη, καὶ γύμνωσαν τοὺς ἑαυτούς τους ἀπὸ αὐτὰ γιὰ τὸ ὄνομά του· αὐτοὶ εἶναι ἀληθινοὶ φτωχοὶ καὶ ἔχουν τὸν μακαρισμό. Ὑπάρχουν καὶ ἄλλοι φτωχοὶ ποὺ δὲν ἔχουν κανένα ἀγαθό· αὐτοὺς τοὺς ἀπείλησε λέγοντας, «ἀπομακρυνθεῖτε ἀπὸ μένα, καταραμένοι»[38]. Αὐτὸς λοιπὸν ποὺ ἔχει τέτοια κτήματα καὶ βαρύνεται ἀπὸ αὐτά, τὰ ἀποβάλλει καὶ ἀμεριμνεῖ.

Ὥστε λοιππόν, ἐὰν θέλεις νὰ βάλεις ἀρχὴ γιὰ νὰ μετανοήσεις, μάθε τί ἔκανε ἡ πόρνη· μὲ τὰ δάκρυά της ἔνιψε τὰ πόδια

37. Ματθ. 25,26.
38. Ματθ. 25,41.

σπότου. Ὁ κλαυθμὸς νίπτει τινὰ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ. Κόπῳ δὲ ἔρχεται τινὶ διὰ πολλῆς ἀδολεσχίας καὶ ὑπομονῆς καὶ τοῦ ἐνθυμεῖσθαι τὴν φοβερὰν κρίσιν καὶ τὴν αἰσχύνην τὴν αἰώνιον καὶ τοῦ ἑαυτὸν ἀρνήσασθαι, ὡς εἶπεν ὁ Κύριος· «ὁ θέλων», γάρ φησί, «ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι». Τὸ δὲ «ἀρνήσασθαι ἑαυτὸν» καὶ «τὸν σταυρὸν ἆραι», τὸ κόψαι ἐν πᾶσι τὸ θέλημά ἐστι καὶ τὸ ἔχειν τὸ ἀψήφιστον.

Καὶ ἐπειδὴ εἶπας, 'ἀσθένειαν ἔχειν τὸ σῶμα καὶ μὴ δύνασθαι τίποτε ποιῆσαι', κατὰ τὴν δύναμίν σου ποίησον παραμικρὸν τῆς τροφῆς τοῦ ἄρτου καὶ τοῦ πόματος ὁμοίως· καὶ γὰρ ὁ Θεὸς προσεδέξατο τὰ δύο τῆς χήρας λεπτὰ καὶ ἐχάρη περισσότερον πάντων. Τὸ ἀπαρρησιάστον ἄσκησον καὶ σώζῃ· φύλαξον τὰς πρώτας ἀποκρίσεις, καὶ ταύτην, ὡς κόρην ὀφθαλμοῦ.

Τὸ δὲ 'μὴ δείξῃς τοὺς θησαυρούς σου τοῖς Βαβυλωνίοις', τοῖς δαίμοσιν εἶπον, ἐν τῷ λέγειν σε τοῖς ἀνθρώποις, ὅτι ἐμοὶ ἐρρέθη ἡ ἀπόκρισις. Βλέπουσι γὰρ οἱ δαίμονες καὶ παραπικραίνονται κατὰ σοῦ· καὶ σὲ μὲν πολεμοῦσιν εἰς κενοδοξίαν, τοὺς δὲ ἀκούοντας ἀφελεστέρους εἰς σκάνδαλον, καὶ σὺ βαστάζεις τὸ κρῖμα τῶν δύο. Τοῖς δὲ δυναμένοις ἀκοῦσαι καὶ φυλάξαι, χαρά ἐστι καὶ ὠφέλεια. Πᾶν δὲ ἀγαθὸν ἔργον, ὃ ποιεῖς, σπούδαζε κρύπτειν αὐτό· ὠφελεῖ γάρ σε.

Ὁ Κύριος συνετίσαι σε, εὐχαῖς ἁγίων. Ἀμήν.

ΣΝΗ'

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν.

Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ὅτι πάνυ θλίβομαι ἐκ τοῦ λογι-

τοῦ Δεσπότη. Ὁ κλαυθμὸς καθαρίζει κάποιον ἀπὸ τὶς ἁμαρτίες του. Αὐτὸ ἔρχεται σὲ κάποιον μὲ κόπο, μὲ πολλὴ ἀσχολία καὶ ὑπομονή, καὶ μὲ τὴν ἀνάμνηση τῆς φοβερῆς κρίσεως καὶ τῆς αἰώνιας ντροπῆς, καθὼς καὶ μὲ τὴν ἄρνηση τοῦ ἑαυτοῦ του, ὅπως εἶπε ὁ Κύριος· «ὅποιος», λέγει, «θέλει νὰ ἔρθει πίσω μου, ἂς ἀπαρνηθεῖ τὸν ἑαυτό του καὶ ἂς σηκώσει τὸ σταυρό του καὶ νὰ μὲ ἀκολουθήσει»[39]. Τὸ νὰ ἀρνηθεῖ κανεὶς τὸν ἑαυτό του καὶ νὰ σηκώσει τὸ σταυρό, σημαίνει νὰ κόψει τὸ θέλημά του σὲ ὅλα καὶ νὰ θεωρεῖ τὸν ἑαυτό του μὴ ὑπολογήσιμο.

Καὶ ἐπειδὴ εἶπες ὅτι τὸ σῶμα σου ἔχει ἀσθένεια καὶ δὲν μπορεῖς νὰ κάνεις τίποτε, ἐνέργησε κατὰ τὴ δύναμή σου, κόβοντας λίγο ἀπὸ τὴν τροφὴ τοῦ ἄρτου καὶ τοῦ ποτοῦ ὁμοίως· διότι καὶ ὁ Θεὸς δέχθηκε τὰ δύο λεπτὰ τῆς χήρας καὶ χάρηκε περισσότερο ἀπὸ ὅλα. Ἄσκησε τὸ ἀπαρρησίαστο καὶ θὰ σωθεῖς· φύλαξε τὶς πρῶτες ἀποκρίσεις καὶ αὐτὴν σὰν κόρη ὀφθαλμοῦ.

Μὲ τὸ 'νὰ μὴ δείξεις τοὺς θησαυρούς σου στοὺς Βαβυλώνιους', ἐννοοῦσα τοὺς δαίμονες, ἀναφέροντάς σου τοὺς ἀνθρώπους, διότι ἡ ἀπόκριση ἐλέχθηκε γιὰ μένα. Πράγματι οἱ δαίμονες βλέπουν καὶ παραπικραίνονται ἐναντίον σου· ἐσένα σὲ πολεμοῦν μὲ τὴν κενοδοξία, ἐνῶ τοὺς ἀφελέστερους ἀπὸ τοὺς ἀκροατὲς μὲ τὸ νὰ τοὺς σκανδαλίσουν, καὶ σὺ βαστάζεις τὸ κρίμα καὶ τῶν δύο. Σ' ἐκείνους ὅμως ποὺ μποροῦν ν' ἀκούσουν καὶ νὰ τὰ φυλάξουν εἶναι χαρὰ καὶ ὠφέλεια. Κάθε καλὸ ἔργο ποὺ κάνεις, φρόντιζε νὰ τὸ κρύβεις· διότι σὲ ὠφελεῖ.

Εἴθε ὁ Κύριος νὰ σὲ συνετίσει μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

258

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα

Προσευχήσου γιὰ μένα, πάτερ, διότι θλίβομαι πολὺ ἀπὸ

39. Μαρκ. 8,34.

σμοῦ τῆς πορνείας καὶ τῆς δειλίας καὶ τῆς ἀκηδίας· λέγει μοι ὁ λογισμός, ‘ἵνα, ὅταν βλέπω τὸν ἀδελφὸν εἰς ὃν ἔχω τὸν πόλεμον, συντυγχάνω αὐτῷ, μήπως ἐκ τοῦ ἐμὲ μὴ συντυχάνειν αὐτῷ εἰς ὑπόνοιαν τοῦτο δέξηται’· αἰσθάνομαι δέ, ὅτι καὶ ὡς πνίγουσί με οἱ δαίμονες καὶ εὐλαβοῦμαι πάνυ ἐκ τούτου.

Ἀπόκρισις

Αδελφέ, ἐπεὶ οὐκ εἶ γεγυμνασμένος ἐν τοῖς τοῦ ἐχθροῦ πολέμοις, ἐπιχορηγεῖ σοι λογισμοὺς δειλίας καὶ ἀκηδίας καὶ τῆς πορνείας. Στῆθι οὖν πρὸς αὐτοὺς στερεὸς τῇ καρδίᾳ· καὶ γὰρ οἱ ἀθληταί, ἐὰν μὴ ἀγωνίσωνται, οὐ στεφανοῦνται· καὶ οἱ στρατιῶται, ἐὰν μὴ δείξωσι δοκιμὴν ἐν τοῖς πολέμοις τῷ βασιλεῖ, οὐ μεγαλύνονται· οἷος ἦν ὁ Δαβίδ. Οὐχὶ σὺ ψάλλεις, «δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου»; Καὶ πάλιν, «ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω»; Καὶ περὶ δειλίας, «ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ»; Περὶ δὲ ἀκηδίας, «ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς»; Οὐ θέλεις δόκιμος γενέσθαι; Ἀνὴρ γὰρ ἄπειρος ἀδόκιμος· οἱ πόλεμοι ποιοῦσι τὸν ἄνθρωπον δόκιμον εἶναι. Αὕτη ἐστὶν ἡ ἐργασία τοῦ μοναχοῦ, τὸ ὑπομεῖναι πολέμους καὶ ἀντιστῆναι μετὰ ἀνδρειότητος καρδίας.

Ὁ δεχόμενος τὸ πῦρ, ὃ ἦλθε βαλεῖν ὁ Κύριος ἐπὶ τὴν γῆν, λήθην καὶ αἰχμαλωσίαν οὐκ οἶδεν, ἔχων πάντοτε τὴν αἴσθησιν τοῦ πυρός. Ἀπὸ δὲ τοῦ αἰσθητοῦ πυρὸς λάβε τὸ ὑπόδειγμα· ἐὰν γὰρ ῥέγχῃ ὁ ἄνθρωπος εἰς τὸ ἀποθανεῖν καὶ προσεγγίσῃ αὐτῷ πῦρ, εὐθέως αἰσθάνεται τοῦ πόνου. Καὶ εἰς οἱονδήποτε πρᾶγμα, ἐὰν αἰχμαλωτισθῇ ἄνθρωπος, πέσῃ δὲ ἐπ' αὐτὸν ἄνθραξ πυρός, οὐδὲ στιγμὴν μένει ἐν τῇ αἰχμαλωσίᾳ.

Τὸ πῦρ, ἀδελφέ, οὐ σβέννηται, ἐπεὶ οὐδὲ πῦρ ἐστι. Λοιπόν, εἰ ἀπαλλαγῆναι θέλεις τῆς λήθης καὶ τῆς αἰχμαλωσίας, ἄλλως οὐ δύνασαι, ἐὰν μὴ κτήσῃ ἐν σεαυτῷ τὸ πνευματικὸν πῦρ· ἀπὸ γὰρ τῆς τούτου θερμότητος ἐκεῖνα ἀναλίσκονται. Κτᾶται δέ τις τοῦτο τὸ πῦρ, τῷ κατὰ Θεὸν πόθῳ. Ἀδελφέ, ἐὰν μὴ εἰς πάντα πονέσῃ ἡ καρδία σου ζητῆσαι τὸν Κύριον, προκόψαι οὐ δύνασαι. Ἐὰν σχολάσῃς γὰρ ἐν τούτοις ἔρχῃ εἰς ταῦτα· φησὶ γάρ, «σχολάσατε καὶ γνῶτε» καὶ τὰ λοιπά.

Δώῃ σοι Κύριος συνιέναι ταῦτα καὶ πονεῖν ἐν αὐτοῖς.

Απόκριση Ἰωάννη.

Ἀδελφέ, ὁ ἀληθινὸς κόπος δὲν εἶναι χωρὶς ταπείνωση· διότι ὁ ἄσκοπος κόπος εἶναι μάταιος. Καθόσον λέγει, «πρόσεξε τὴν ταπείνωσή μου καὶ τὸν κόπο μου καὶ συγχώρεσε ὅλες τὶς ἁμαρτίες μου»[58]. Αὐτὸς λοιπὸν ποὺ ἔχει αὐτὰ φθάνει γρήγορα. Καὶ αὐτὸς ποὺ ἔχει ταπείνωση μὲ ἐξουθένωση, καὶ αὐτὸς ἔχει τὸ ἴδιο, διότι ἡ ἐξουθένωση ἔχει τὸν τόπο τοῦ κόπου. Αὐτὸς ὅμως ποὺ ἔχει μόνο ταπείνωση εἰσέρχεται βέβαια, ἀλλὰ ἀργότερα. Ἐὰν λοιπὸν θέλει κάποιος νὰ κρατήσει τὴν ἀληθινὴ ταπείνωση, νὰ μὴ λογαριάσει τὸν ἑαυτό του σὲ κάτι· διότι αὐτὴ εἶναι ἡ ἀληθινὴ ταπείνωση.

Αὐτὸς ποὺ δέχεται τὴ φωτιὰ ποὺ ἦλθε νὰ βάλει ὁ Κύριος στὴ γῆ, δὲν γνωρίζει λησμοσύνη καὶ αἰχμαλωσία, ἐπειδὴ ἔχει πάντα τὴν αἴσθηση τῆς φωτιᾶς. Πάρε τὸ παράδειγμα ἀπὸ τὴν αἰσθητὴ φωτιά· πράγματι ἐὰν ὁ ἄνθρωπος ρογχάζει καὶ εἶναι ἕτοιμος γιὰ θάνατο καὶ τὸν πλησιάσει φωτιά, ἀμέσως αἰσθάνεται τὸν πόνο. Καὶ σὲ ὁποιοδήποτε πρᾶγμα, ἐὰν ὁ ἄνθρωπος αἰχμαλωτισθεῖ καὶ πέσει ἐπάνω του κάρβουνο φωτιᾶς, δὲν μένει οὔτε στιγμὴ στὴν αἰχμαλωσία.

Ἀδελφέ, ἡ φωτιὰ δὲν σβήνει, διότι τότε δὲν εἶναι φωτιά. Ἐὰν λοιπὸν θέλεις ν' ἀπαλλαχθεῖς ἀπὸ τὴ λησμοσύνη καὶ τὴν αἰχμαλωσία, δὲν μπορεῖς διαφορετικά, ἐὰν δὲν ἀποκτήσεις στὸν ἑαυτό σου τὴν πνευματικὴ φωτιά· διότι ἐκεῖνα καταστρέφονται ἀπὸ τὴ θερμότητά της. Καὶ ἀποκτᾶ κανεὶς αὐτὴ τὴ φωτιά, μὲ τὸν κατὰ Θεὸν πόθο. Ἀδελφέ, ἐὰν δὲν πονέσει ἡ καρδιά σου σὲ ὅλα, ὥστε νὰ ζητήσει τὸν Κύριο, δὲν μπορεῖς νὰ προκόψεις. Μόνο ἐὰν ἀσχοληθεῖς ἐπίμονα μ' αὐτά, θὰ φθάσεις σ' αὐτά· διότι λέγει «ἀσχοληθεῖτε ἐπίμονα καὶ θὰ γνωρίσετε»[59] καὶ τὰ λοιπά.

Εἴθε ὁ Κύριος νὰ δώσει σὲ σένα νὰ κατανοήσεις αὐτὰ καὶ νὰ κοπιάζεις σ' αὐτά.

---

58. Ψαλμ. 24,8.
59. Ψαλμ. 45,11.

ΣΟΗ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Τί ἐστι, πάτερ, ταπείνωσις; καὶ τί ἐστιν ἐξουδένωσις; καὶ τί ἐστι συντριβὴ καρδίας; καὶ εἰ κτᾶται τις ταπείνωσιν αὐτὸς ἑαυτὸν ἐξουδενῶν ἐν τῇ καρδίᾳ, ἢ χρεία καὶ τῶν ἔξωθεν ἀπὸ τῶν ἀνθρώπων ὀνειδισμῶν καὶ ὕβρεων, καὶ εἰ δεῖ τὸν ταπεινόφρονα ταπεινολογεῖν καὶ πράγματα ἐπιτηδεύειν ταπεινά.

Ἀπόκρισις

Ταπείνωσίς ἐστι τὸ ἀψήφιστον ἐν παντὶ πράγματι καὶ τὸ κόψαι ἐν πᾶσι τὸ ἴδιον θέλημα καὶ τὸ φέρειν ἀταράχως τὰ ἔξωθεν ἐπερχόμενα· αὕτη ἐστὶν ἡ ἀληθινὴ ταπείνωσις, εἰς ἣν οὐχ εὑρίσκει χώραν ἡ κενοδοξία. Οὐ χρὴ δὲ τὸν ταπεινόφρονα ἐπιτηδεύειν τὸ ταπεινολογεῖν, ἀλλ' ἀρκεῖ λέγειν, 'συγχώρησόν μοι', ἢ 'εὖξαι ὑπὲρ ἐμοῦ'· οὐδὲ προστρέχειν πράγμασι ταπεινοῖς ἀφ' ἑαυτοῦ. Ἀμφότερα γὰρ κενοδοξίαν ποιεῖ καὶ οὐκ ἐᾷ προκόψαι τινά· ἀλλὰ τὸ κελευσθῆναι καὶ μὴ ἀντιλέξαι, τοῦτο φέρει εἰς προκοπήν.

Ἐξουδενώσεις δέ εἰσι κατὰ δύο τρόπους· μία μὲν ἀπὸ τῆς καρδίας, ἑτέρα δὲ ἀπὸ τῶν ἔξωθεν ἐπιφερομένων ὀνειδισμῶν. Διὸ μείζων ἐστὶν ἡ ἀπὸ τῶν ἔξωθεν ἐπιφερομένη· οὐ γὰρ πάνυ ἔχει κόπον ἡ ἀπὸ τῆς καρδίας, ὡς ἡ ἀπὸ τῶν ἀνθρώπων, ἐπειδὴ πόνον μείζονα ποιεῖ ἐν τῇ καρδίᾳ· τὸ δὲ τηρῆσαι τὴν ἑαυτοῦ καρδίαν, συντριβὴ καρδίας ἐστί.

ΣΟΘ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐάν τις ἐπαινῆται παρά τινος, οὐκ ὀφείλει ἀποκρίνεσθαι ὡς μετριοφρονῶν;

---

60. Ἀψήφιστο εἶναι τὸ νὰ μὴ ψηφίζει κανεὶς τὸν ἑαυτό του, νὰ μὴ τὸν ὑπολογίζει.

278

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πάτερ, τί εἶναι ταπείνωση, καὶ τί εἶναι ἐξουθένωση; Ἐπίσης τί εἶναι συντριβὴ καρδιᾶς, καὶ ἐὰν ἀποκτᾶ κανεὶς ταπείνωση, ἐξουθενώνοντας τὸν ἑαυτό του μέσα στὴν καρδιά του, ἢ χρειάζονται καὶ οἱ ἔξω ἀπὸ τοὺς ἀνθρώπους ὀνειδισμοὶ καὶ ὕβρεις. Ἀκόμη ἐὰν πρέπει ὁ ταπεινόφρονας νὰ ταπεινολογεῖ καὶ νὰ ἀσχολεῖται μὲ ταπεινὰ πράγματα.

Ἀπόκριση

Ταπείνωση εἶναι τὸ ἀψήφιστο[60] γιὰ κάθε πρᾶγμα, τὸ νὰ κόψεις σὲ ὅλα τὸ θέλημά σου καὶ νὰ δέχεσαι ἀτάραχα αὐτὰ ποὺ ἔρχονται ἀπὸ ἔξω· αὐτὴ εἶναι ἡ ἀληθινὴ ταπείνωση, στὴν ὁποία δὲν βρίσκει τόπο ἡ κενοδοξία. Δὲν πρέπει ὁ ταπεινόφρονας νὰ ἀσχολεῖται μὲ τὸ νὰ ταπεινολογεῖ, ἀλλὰ ἀρκεῖ νὰ λέγει, 'συγχώρεσέ με' ἢ 'προσευχήσου γιὰ μένα'· οὔτε νὰ καταφεύγει ἀπὸ μόνος του σὲ ταπεινὰ πράγματα. Διότι καὶ τὰ δύο φέρουν κενοδοξία καὶ δὲν ἀφήνουν κάποιον νὰ προκόψει· ἀλλὰ τὸ νὰ διαταχθεῖς καὶ νὰ μὴ φέρεις ἀντίρρηση, αὐτὸ ὁδηγεῖ στὴν προκοπή.

Οἱ ἐξουθενώσεις γίνονται μὲ δύο τρόπους· ἡ μία ἀπὸ τὴν καρδιά, καὶ ἡ ἄλλη ἀπὸ τοὺς ὀνειδισμοὺς ποὺ ἔρχονται ἀπὸ ἔξω. Γι' αὐτὸ ἡ ἐξουθένωση ἀπὸ τὴν καρδιὰ δὲν ἔχει πολὺν κόπο, ὅσο ἡ ἐξουθένωση ἀπὸ τοὺς ἀνθρώπους ποὺ δημιουργεῖ στὴν καρδιὰ μεγαλύτερο πόνο· τὸ νὰ πληγώνει κανεὶς τὴν καρδιά του εἶναι συντριβὴ καρδιᾶς.

279

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν κανεὶς ἐπαινεῖται ἀπὸ κάποιον, δὲν ὀφείλει νὰ ἀπαντήσει μὲ μετριοφροσύνη;

Ἀπόκρισις

Τὸ σιωπᾶν μᾶλλον ὠφελεῖ· ἐὰν γὰρ ἀποκρίνηται ὡς καταδεχόμενος τὸν ἔπαινον εὑρίσκεται, καὶ τοῦτο κενοδοξία ἐστίν. Ὁμοίως κἀκεῖνο, ὅπερ δοκεῖ μετριάζειν ἐν τῇ ἀποκρίσει, κενοδοξία ἐστί· ταῦτα γὰρ ἅπερ δοκεῖ λέγειν αὐτὸς περὶ ἑαυτοῦ, ἂν παρ' ἄλλου ἀκούσῃ οὐ δύναται βαστάξαι.

ΣΠ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἀλλὰ συμβαίνει ἐκεῖνον νομίζοντα ἐκ τῆς σιωπῆς ὅτι κατεδέξατο τὸν ἔπαινον, σκανδαλισθῆναι· τί οὖν δεῖ ποιεῖν;

***Ἀπόκρισις** Ἰωάννου.*

Περὶ τῶν ἀδήλων ὀφείλει ὁ ἀγωνιζόμενος ἐᾶσαι τὸν Θεὸν πληροφορῆσαι τὸν ἀκούοντα. Πόθεν γὰρ οἶδεν ὅτι οὐ μᾶλλον ᾠκοδομήθη ἐπὶ τῇ σιωπῇ αὐτοῦ ὡς μὴ καταδεξαμένου τὸν ἔπαινον, καὶ αὐτὸς νομίζει ὅτι ἐσκανδαλίσθη; Ἐὰν δὲ αὐτὸς φανερώσῃ τοῦτο, τότε μετὰ ταπεινοφροσύνης, ὀφείλει πληροφορῆσαι λέγων· 'συγχώρησόν μοι, ἀδελφέ, ὅτι οὐδὲν ἀγαθὸν ἐμαυτῷ σύνοιδα· καὶ διὰ τοῦτο οὐχ εὗρον τ σοι ἀποκρίνασθαι· ἀλλὰ διὰ τὸν Κύριον, εὖξαι ὑπὲρ ἐμοῦ'.

ΣΠΑ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Συμβαίνει δέ τινα ἁμαρτωλὸν ὄντα ἐν ταπεινοφροσύνῃ εἰπεῖν τὴν ἀλήθειαν καὶ οὐ κατὰ κενοδοξίαν· ἆρα οὐδὲ οὕτως ὀφείλει ἀποκρίνασθαι;

Ἀπόκριση

Η σιωπὴ ὠφελεῖ περισσότερο· διότι ἐὰν ἀπαντήσει, φαίνεται σὰν νὰ δέχεται τὸν ἔπαινο, καὶ αὐτὸ εἶναι κενοδοξία. Ἐπίσης καὶ ἐκεῖνο ἀπὸ τὸ ὁποῖο φαίνεται ὅτι μετριοφρονεῖ κατὰ τὴν ἀπάντηση, εἶναι κενοδοξία· διότι αὐτὰ ποὺ νομίζει ὅτι τὰ λέγει γιὰ τὸν ἑαυτό του, ἐὰν τὰ ἀκούσει ἀπὸ ἄλλον, δὲν μπορεῖ νὰ τὰ βαστάξει.

280

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἀλλὰ συμβαίνει ἐκεῖνος, νομίζοντας ἀπὸ τὴ σιωπὴ ὅτι δέχθηκε τὸν ἔπαινο, νὰ σκανδαλισθεῖ· τί λοιπὸν πρέπει νὰ κάμνει;

Ἀπόκριση Ἰωάννη.

Γιὰ τὰ μὴ φανερὰ ὀφείλει ὁ ἀγωνιζόμενος ν' ἀφήσει τὸ Θεὸ νὰ πληροφορήσει ἐκεῖνον ποὺ ἀκούει. Διότι ἀπὸ ποῦ γνωρίζει ὅτι δὲν οἰκοδομήθηκε μᾶλλον μὲ τὴ σιωπή του, ἐπειδὴ δὲν δέχθηκε τὸν ἔπαινο, καὶ νομίζει ὅτι σκανδαλίσθηκε; Ἐὰν ὅμως αὐτὸς τοῦ τὸ φανερώσει, τότε μὲ ταπεινοφροσύνη ὀφείλει νὰ τὸν πληροφορήσει λέγοντας· 'συγχώρησέ με, ἀδελφέ, διότι καὶ ἐγὼ δὲν ἀναγνωρίζω κανένα καλὸ στὸν ἑαυτό μου· καὶ γι' αὐτὸ δὲν βρῆκα τί νὰ σοῦ ἀπαντήσω. Ἀλλὰ στὸ ὄνομα τοῦ Κυρίου, προσευχήσου γιὰ μένα'.

281

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Συμβαίνει ἐπίσης κάποιος ἁμαρτωλὸς νὰ πεῖ τὴν ἀλήθεια μὲ ταπεινοφροσύνη καὶ ὄχι μὲ κενοδοξία· ἄραγε οὔτε τότε ὀφείλει ν' ἀποκριθεῖ;

Ἀπόκρισις *Ἰωάννου.*

Οὐδὲ οὕτως ὀφείλει ἀποκρίνασθαι· κἂν γὰρ αὐτὸς πρὸς ὥραν ταπεινοφρονῇ, ἀλλ' ὁ ἀκούων ἔχει αὐτὸν ταπεινόφρονα, καὶ βάρος αὐτῷ ἐστιν· ὁ γὰρ Κύριος εἰπών, «οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι», περὶ τῶν ἁμαρτωλῶν λέγει τῶν ἐπαινουμένων, καὶ τὸ ἔργον οὐκ ἐχόντων.

ΣΠΒ'

Ἐρώτησις

Καὶ πῶς εὑρίσκομέν τινας τῶν ἁγίων ἡνίκα ἐπαινοῦνται ἀποκρινομένους ἐν μετριότητι;

Ἀπόκρισις

Οἱ πατέρες φθάσαντες τὸ μέτρον, ὃ εἶπεν ὁ Κύριος, ὅτι «ὅταν ποιήσητε ταῦτα πάντα, εἴπατε, ὅτι 'ἀχρεῖοι δοῦλοί ἐσμεν'», καὶ μετὰ ἀληθείας οὕτως ἔχοντες ἑαυτούς, ὡς ἔχουσιν ἀποκρίνονται, κἂν παρ' ἄλλου ταῦτα ἀκούσωσιν, οὐ δυσχεραίνουσιν· ἀλλὰ καὶ εὐλογοῦσιν αὐτόν, ὡς λέγοντα τὴν ἀλήθειαν.

ΣΠΓ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Ἐάν τις εὐεργετηθῇ παρά τινος καὶ ὑπερεύχεται αὐτοῦ καταλέγων αὐτοῦ τὰς εὐεργεσίας, ἆρα κἂν οὐδὲ οὕτως ὀφείλει αὐτῷ ἀποκρίνασθαι;

Ἀπόκριση Ἰωάννη.

Οὔτε τότε ὀφείλει ν' ἀποκριθεῖ· διότι κι ἂν ἀκόμα αὐτὸς πρὸς στιγμὴ ταπεινοφρονεῖ, ὅμως ἐκεῖνος ποὺ ἀκούει τὸν θεωρεῖ ταπεινόφρονα, καὶ εἶναι βάρος σ' αὐτόν. Διότι ὁ Κύριος λέγοντας, «ἀλλοίμονό σας, ὅταν σᾶς ἐπαινέσουν οἱ ἄνθρωποι»[61], τὸ λέγει γιὰ τοὺς ἁμαρτωλοὺς ποὺ ἐπαινοῦνται καὶ δὲν ἔχουν ἔργο.

282

Ἐρώτηση

Καὶ πῶς βρίσκουμε μερικοὺς ἀπὸ τοὺς ἁγίους νὰ ἀπαντοῦν μὲ μετριοφροσύνη ὅταν ἐπαινοῦνται;

Ἀπόκριση

Οἱ πατέρες, ἐπειδὴ ἔφθασαν τὸ μέτρο ποὺ εἶπε ὁ Κύριος, «ὅταν τὰ κάνετε ὅλα αὐτά, πέστε ὅτι εἴμαστε ἀχρεῖοι δοῦλοι»[62], καὶ ἐπειδὴ ἀπαντοῦν θεωρώντας πραγματικὰ τοὺς ἑαυτούς τους ἔτσι ὅπως εἶναι, ἀκόμα κι ἂν ἀκούσουν αὐτὰ ἀπὸ ἄλλον, δὲν δυσανασχετοῦν· ἀλλὰ καὶ εὐλογοῦν αὐτόν, ἐπειδὴ λέγει τὴν ἀλήθεια.

283

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν κανεὶς εὐεργετηθεῖ ἀπὸ κάποιον καὶ προσεύχεται γι' αὐτόν, ἀπαριθμώντας τὶς εὐεργεσίες του, ἄραγε οὔτε καὶ τότε ὀφείλει ν' ἀπαντήσει σ' αὐτόν;

---

61. Λουκᾶ 6,26.
62. Λουκᾶ 17,10.

Ἀπόκρισις

Ἡ σιωπὴ καλὴ μέν ἐστιν ἐν πᾶσιν· ἀλλ', ἵνα μὴ δόξῃ ὡς ἀποβάλλει τὴν εὐχήν, ὀφείλει μετὰ ταπεινώσεως εἰπεῖν, 'συγχώρησόν μοι, ἀββᾶ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον', ἔχων ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι οὐδὲν αὐτὸς ἐποίησεν (ὁ εὐεργετῶν γὰρ πάντας ὁ Κύριός ἐστι), καὶ ἵνα δέηται τοῦ Θεοῦ μὴ κατακριθῆναι ἐν τοῖς λεγομένοις.

ΣΠΔ΄

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ἵνα ρυσθῶ ἀπὸ τῆς γλώσσης καὶ ἀπὸ τῆς παρρησίας καὶ τῆς κοιλίας.

Ἀπόκρισις

Περὶ τῆς γλώσσης καὶ τῆς κοιλίας καὶ τῆς παρρησίας, ὡς παρεκάλεσας εὔξασθαι, οὕτω καὶ σὺ ποίησον τὴν δύναμίν σου ἐγκρατεύσασθαι· ἄνευ γὰρ καρδίας, κόπου καὶ νήψεως καὶ πένθους, οὐ δουλαγωγοῦνται· μνημονεύων ὅτι, «πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη». Πάντων δὲ τῶν παθῶν κατακυριεύει ἡ ταπείνωσις, καὶ διὰ κόπου τις κτᾶται αὐτήν.

Ὁ Θεὸς δῴη σοι δύναμιν, ἀδελφέ, μετὰ διακρίσεως καὶ φόβου Θεοῦ.

ΣΠΕ΄

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Εἰ διὰ τοῦ πένθους κτᾶταί τις ταῦτα, καθὼς εἶπας, πῶς εἰσερχόμενος καὶ ἐξερχόμενος μεταξὺ τῶν ἀνθρώπων καὶ

'Απόκριση

Η σιωπὴ εἶναι καλὴ βέβαια σ' ὅλα· ἀλλά, γιὰ νὰ μὴ φανεῖ ὅτι διώχνει τὴν προσευχή, ὀφείλει μὲ ταπείνωση νὰ πεῖ, 'συγχώρεσέ με, ἀββᾶ, καὶ προσευχήσου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου', ἔχοντας στὴν καρδιά του ὅτι δὲν ἔκανε τίποτε (διότι αὐτὸς ποὺ εὐεργετεῖ ὅλους εἶναι ὁ Κύριος), καὶ νὰ παρακαλεῖ τὸ Θεὸ νὰ μὴ κατακριθεῖ γι' αὐτὸ ποὺ λέγει.

284

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πάτερ, προσευχήσου γιὰ μένα, γιὰ νὰ ἐμποδισθῶ ἀπὸ τὴ γλώσσα, ἀπὸ τὴν παρρησία καὶ τὴν κοιλιά.

'Απόκριση

Γιὰ τὴ γλώσσα καὶ τὴν κοιλιὰ καὶ τὴν παρρησία, ὅπως παρακάλεσες νὰ προσεύχομαι, ἔτσι καὶ σὺ βάλε τὰ δυνατά σου νὰ ἐγκρατευθεῖς· διότι χωρὶς καρδιά, κόπο καὶ νήψη καὶ πένθος δὲν δουλαγωγοῦνται, ἐνθυμούμενος ὅτι «ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο ἔχει πολλὴ δύναμη»[63]. Ἡ ταπείνωση κατακυριεύει ὅλα τὰ πάθη, καὶ τὴν ἀποκτᾶ κανεὶς μὲ κόπο.

'Αδελφέ, εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει δύναμη μὲ διάκριση καὶ φόβο Θεοῦ.

285

'Ερώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

'Εάν, ὅπως εἶπες, αὐτὰ τὰ ἀποκτᾶ κανεὶς μὲ πένθος, πῶς, πηγαινοερχόμενος ἀνάμεσα στοὺς ἀνθρώπους καὶ φροντί-

63. Ἰακ. 5,16.

φροντίζων διακονίας καὶ ὑπηρετῶν δύναμαι φυλάξαι τὸ πένθος; καὶ εἰ ἔστι πένθος ἄνευ δακρύων.

***Ἀπόκρισις** Ἰωάνου.*

Οὐ τὸ πένθος διὰ τῶν δακρύων ἀλλὰ τὰ δάκρυα διὰ τοῦ πένθους γίνεται. Ὁ μεταξὺ δὲ τῶν ἀνθρώπων, ἐὰν κόπτῃ τὸ ἴδιον θέλημα καὶ μὴ προσέχῃ πταίσμασιν ἀλλοτρίοις, οὗτος κτᾶται τὸ πένθος. Ἐκ τούτου γὰρ συνάγονται οἱ λογισμοὶ αὐτοῦ· καὶ οὗτοι συναγόμενοι γεννῶσι τὴν κατὰ Θεὸν λύπην καὶ ἡ λύπη τὰ δάκρυα.

ΣΠΣΤ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐπειδὴ βάλλω τὸν λογισμόν μου εἰς τὸν ἀββᾶν, αἰσθάνομαί τινας θλιβομένους ἐπὶ τούτῳ. Τί οὖν ποιήσω; Μὴ βλάπτωμαι καθήμενος καὶ χλευάζει με ὁ λογισμὸς δῆθεν τῷ σκοπῷ προσέχων; Εἶτα, κἂν ὁ σκοπός μου διὰ τῆς σκέπης ὑμῶν μὴ ᾖ κατὰ πάθος, ἆρα δύναμαι ὅλον τὸ πρᾶγμα ἀβλαβῶς παρελθεῖν, ἐγὼ ὁ ἀσθενὴς μὴ μισῶν τὰ πάθη μου; Διὰ τοῦτο, παρακαλῶ, εἰ δοκιμάζεις, μὴ μεσάζειν ἔξωθεν τοῦ νοσοκομείου, μήπως ἕνεκεν τούτου καὶ εἰς ζῆλον προκόψῃ τὸ πρᾶγμα καὶ σαλεύσῃ με. Εἰ δὲ οὕτως ὠφελοῦμαι, εἰς τὰς χεῖράς σού ἐστιν ἡ ψυχή μου. Ὡς κελεύεις, δήλωσόν μοι, πάτερ.

Ἀπόκρισις

Ἐὰν καθαρᾷ καρδίᾳ καὶ διὰ ὠφέλειαν ἄνευ πάθους καὶ κενοδοξίας λέγῃς, μὴ ψήφιζε ῥήματα ἀνθρώπων· ἀγώνισαι συμβοηθουσῶν τῶν εὐχῶν τῶν ἁγίων, ἕως οὗ φθάσῃς ἀβλαβῶς ὅλον ποιῆσαι τὸ πρᾶγμα. Τὸ μεσάσαι ἄνευ πάθους, ὡς εἶπον, καλόν ἐστιν· οὐ πᾶσι γὰρ δίδοται τὸ λαλῆσαι

ζοντας διακονήματα καὶ ὑπηρετώντας, μπορῶ νὰ φυλάξω τὸ πένθος; καὶ ἐὰν ὑπάρχει πένθος χωρὶς δάκρυα.

Ἀπόκριση Ἰωάννη.

Δὲν γίνεται τὸ πένθος ἀπὸ τὰ δάκρυα, ἀλλὰ τὰ δάκρυα ἀπὸ τὸ πένθος. Ἐκεῖνος ποὺ κινεῖται ἀνάμεσα στοὺς ἀνθρώπους, ἐὰν κόβει τὸ θέλημά του καὶ δὲν προσέχει τὰ ξένα πταίσματα, αὐτὸς ἀποκτᾶ τὸ πένθος. Διότι ἀπὸ αὐτὸ συμμαζεύονται οἱ λογισμοί του καὶ ὅταν συμμαζεύονται αὐτοί, γεννοῦν τὴν κατὰ Θεὸ λύπη καὶ ἡ λύπη τὰ δάκρυα.

286

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ὅταν ἀναφέρω τὸ λογισμό μου στὸν ἀββᾶ, αἰσθάνομαι ὅτι μερικοὶ στενοχωριοῦνται γι' αὐτό. Τί νὰ κάνω λοιπόν; Μήπως βλάπτομαι ὅταν κάθομαι καὶ μὲ χλευάζει ὁ λογισμὸς ὅτι τάχα προσέχω στὸ σκοπό; Ἔπειτα, ἂν ὁ σκοπός μου μὲ τὴν προστασία σας δὲν εἶναι κατὰ πάθος, ἄραγε μπορῶ, ἐγὼ ὁ ἀσθενής, νὰ περάσω ὅλο τὸ πρᾶγμα χωρὶς βλάβη, χωρὶς νὰ μισῶ τὰ πάθη μου; Γι' αὐτὸ παρακαλῶ, ἐὰν τὸ θεωρεῖς σωστό, νὰ μὴ μεσολαβῶ ἔξω ἀπὸ τὸ νοσοκομεῖο· μήπως ἀπὸ αὐτὸ προχωρήσει τὸ πρᾶγμα σὲ ζῆλο καὶ μὲ σαλεύσει. Ἐὰν ὅμως μ' αὐτὸ ὠφελοῦμαι, ἡ ψυχή μου εἶναι στὰ χέρια σου. Δήλωσέ μου, πάτερ, ὅπως προστάζεις.

Ἀπόκριση

Ἐὰν τὸ λέγεις μὲ καθαρὴ καρδιὰ καὶ γιὰ ὠφέλεια, χωρὶς πάθος καὶ κενοδοξία, νὰ μὴ δίνεις σημασία στὰ λόγια τῶν ἀνθρώπων. Ἀγωνίσου μὲ τὴ βοήθεια τῶν προσευχῶν τῶν ἁγίων, ὥς ποὺ νὰ φθάσεις ἀβλαβῶς νὰ κάνεις ὅλο τὸ πρᾶγμα. Τὸ νὰ μεσιτεύσεις χωρὶς πάθος, ὅπως εἶπα, εἶναι καλό·

τῷ ἀββᾷ, οὐδὲ συμφέρει. Ἐὰν κατὰ Θεὸν λαλῇς, ἀπὸ σαυτοῦ οὐ λαλεῖς, οὔτε ποιεῖς τὸ ἀγαθόν, ἀλλ' ὁ Θεός ἐστιν ἐν πᾶσι, καὶ τὸ ἀγαθὸν τοῦ Θεοῦ ζῆλον οὐ γεννᾷ, ἀλλ', εἰ καὶ φαίνεται πρὸς μικρόν, ταχὺ σβέννυται. Εἰς τὰς χεῖρας τοῦ Θεοῦ ἐστιν ἡ ψυχὴ πάντων ἡμῶν· καὶ αὐτός ἐστιν ὁ σκέπων ἡμᾶς καὶ ἐνδυναμῶν τοῦ ποιῆσαι τὸ συμφέρον ἡμῖν.

ΣΠΖ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Ἐὰν οὖν νομίσω τι συμφέρειν τισί, ἆρα κἂν μὴ ἐρωτηθῶ ὀφείλει μοι λέγειν; Ἐὰν δὲ καὶ μείζων μου ᾖ ἢ κληρικός, εἴπω τῷ ἀββᾷ ἢ σιωπήσω; Ἐὰν δὲ καὶ ἐρωτηθῶ, τί ἆρα λέγω; Ἐὰν δὲ καὶ συμφέρῃ τὸ καὶ ἀπ' ἐμαυτοῦ λέγειν, πῶς λαλήσω, ἵνα μήτε ὡς μετὰ σχήματος εὑρεθῶ δῆθεν ταπεινολογῶν, μήτε ὡς μετὰ αὐθεντίας διδάσκων.

Ἀπόκρισις

Εἶπον οἱ πατέρες, ὅτι τὸ λαλεῖν διὰ τὸν Θεὸν καλόν ἐστι καὶ τὸ σιωπᾶν διὰ τὸν Θεὸν καλόν ἐστιν. Ὁ λόγος δὲ τῶν πατέρων τοῦτό ἐστιν. Ὁ λαλῶν, ὡς εἶπόν σοι, ἄνευ πάθους, καλόν ἐστιν, ὅτι διὰ τὸν Θεὸν λαλεῖ, καὶ ὁ βλέπων ὅτι κατὰ πάθος μέλλει λέγειν καὶ σιωπῶν, καλόν ἐστιν, ὅτι διὰ τὸν Θεὸν ἐσιώπησεν· ἐὰν κατὰ Θεὸν μέλλῃς λέγειν, μὴ μερίμνα τί λαλήσεις, ἐπεὶ καταργεῖς τὴν ἐντολήν, ἀλλὰ ῥίψον εἰς τὸν Θεὸν τὸ πρᾶγμα καὶ δίδωσιν εἰς τὸ στόμα σου τί λαλῆσαι πρὸς τὸ συμφέρον. Οἶδεν ὁ Θεὸς περιζῶσαι ἡμᾶς τοὺς ἀσθενεῖς δύναμιν καὶ αὐτὸς ἐνδυναμώσοι σε, ἀδελφέ.

διότι δὲν ἔχει δοθεῖ σὲ ὅλους νὰ μιλοῦν στὸν ἀββᾶ, οὔτε καὶ συμφέρει. Ἐὰν ὁμιλεῖς κατὰ Θεό, δὲ ὁμιλεῖς ἀπὸ μόνος σου, οὔτε κάνεις τὸ ἀγαθό, ἀλλὰ σὲ ὅλα εἶναι ὁ Θεός, καὶ τὸ ἀγαθὸ τοῦ Θεοῦ δὲν γεννᾶ ζῆλο, ἀλλά, ἂν καὶ φαίνεται αὐτὸς πρὸς στιγμή, γρήγορα σβήνει. Ἡ ψυχὴ ὅλων μας εἶναι στὰ χέρια τοῦ Θεοῦ καὶ αὐτὸς εἶναι ἐκεῖνος ποὺ μᾶς προστατεύει καὶ μᾶς ἐνδυναμώνει νὰ κάνουμε ἐκεῖνο ποὺ μᾶς συμφέρει.

287

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν λοιπὸν νομίσω ὅτι κάτι συμφέρει σὲ κάποιους, ἄραγε πρέπει νὰ τὸ λέγω κι ἂν ἀκόμη δὲν ἐρωτηθῶ; Ἐὰν εἶναι μεγαλύτερός μου ἢ κληρικός, νὰ τὸ πῶ στὸν ἀββᾶ ἢ νὰ σιωπήσω; Καὶ ἂν ἐρωτηθῶ, τί νὰ πῶ ἄραγε; Ἐὰν πάλι καὶ συμφέρει νὰ τὸ πῶ μόνος μου, πῶς νὰ μιλήσω, γιὰ νὰ μὴ βρεθῶ οὔτε ὅτι ταπεινολογῶ, οὔτε ὅτι διδάσκω μὲ αὐθεντία.

Ἀπόκριση

Οἱ πατέρες εἶπαν, ὅτι τὸ νὰ ὁμιλεῖ κανεὶς γιὰ τὸ Θεὸ εἶναι καλὸ καὶ τὸ νὰ σιωπᾶ γιὰ τὸ Θεὸ εἶναι καλό[64]. Ὁ λόγος τῶν πατέρων λοιπὸν σημαίνει αὐτό. Ἐκεῖνος ποὺ ὁμιλεῖ, ὅπως σοῦ εἶπα, χωρὶς πάθος, κάνει καλό, διότι ὁμιλεῖ γιὰ τὸ Θεό, καὶ ἐκεῖνος ποὺ βλέπει ὅτι πρόκειται νὰ μιλήσει κατὰ πάθος καὶ σιωπᾶ, κάνει καλό, διότι ἐσιώπησε γιὰ τὸν Θεό· ἐὰν πρόκειται νὰ ὁμιλεῖς ὅπως εἶναι ἀρεστὸ στὸ Θεό, νὰ μὴ μεριμνᾶς τί θὰ πεῖς, διότι καταργεῖς τὴν ἐντολή, ἀλλὰ ἄφησε τὸ πρᾶγμα στὸ Θεό, καὶ θὰ δώσει στὸ στόμα σου τί νὰ πεῖς γιὰ τὸ συμφέρον. Ὁ Θεὸς γνωρίζει νὰ περιζώσει ἐμᾶς τοὺς ἀσθενεῖς μὲ δύναμη καὶ αὐτὸς εἴθε νὰ σὲ ἐνδυναμώσει, ἀδελφέ.

---

64. Ποιμήν, βλέπε Ἀποφθέγματα Γερόντων, Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, σελ. 514–608.

ΣΠΗ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Εἰ ἐν τοῖς καλοῖς, εἰ καὶ μέσοις δεῖ κόπτειν τὸ θέλημα τῷ ἀββᾷ καὶ ἐν οἷς παράβασις δοκεῖ φθάνειν ἐντολῆς Θεοῦ· καὶ ὑπὲρ τὴν κατάστασίν μου δὲ εἰ εὑρεθῇ ἐπιταγή, εἰ ὀφείλω παραιτήσασθαι, ἵνα μὴ λείπῃ καὶ ταραχὴ ἔλθῃ μοι. Ἔτι δέ, ἐάν τις χρείαν ἔχων πρὸς τὸν ἀββᾶν αἰτήσηταί με συμβαλέσθαι αὐτῷ εἰς τὸ πρᾶγμα καὶ ἀνάσχωμαι, μὴ φέρει μοι τιμήν, ὡς ὅτι ὅλως ψηφίζομαι;

Ἀπόκρισις

Ἀδελφέ, ὁ θέλων μοναχὸς εἶναι, οὐκ ὀφείλει ὅλως θέλημα ἔχειν ἔν τινι πράγματι. Καὶ τοῦτο διδάσκων ἡμῶν ὁ Χριστὸς εἶπεν· «ἦλθον εἰς τὸν κόσμον οὐ τὸ ἐμὸν θέλημα ποιῆσαι». Ὁ θέλων γὰρ τόδε ποιεῖν καὶ τόδε παραιτεῖσθαι, ἢ διακριτικώτερον ἑαυτὸν δεικνύει τοῦ ἐπιτάσσοντος αὐτῷ, ἢ ὑπὸ δαιμόνων χλευάζεται. Ὥστε οὖν ἐν πᾶσιν ὀφείλεις ὑπακούειν, κἂν δόξῃ σοι τὸ πρᾶγμα ἁμαρτίαν ἔχειν· ὁ γὰρ ἐπιτάσσων σοι ἀββᾶς σου, αὐτὸς βαστάζει σου τὸ κρῖμα, ὡς ἀπαιτούμενος λόγον ὑπὲρ σοῦ. Ἐὰν δὲ φαίνηταί σοι βαρὺ τὸ ἐπιτασσόμενον, ἐρώτησον αὐτόν, καὶ τῇ διακρίσει αὐτοῦ ἄφες τὸ πρᾶγμα. Ἐὰν δὲ ἀδελφοὶ ὦσιν ὁ ἐπιτάξαντές σοι καὶ βλέπεις ὅτι βλάβην ἔχει τὸ πρᾶγμα ἢ ὑπὲρ τὴν δύναμίν σού ἐστι, πάλιν ἐρώτησον τὸν ἀββᾶν καὶ ὃ λέγει σοι ποίησον. Ἐὰν γὰρ θέλῃς τὰ πράγματα διακρίνειν, θλίψεις σεαυτῷ ἐπισπᾶσαι· ἀνάθου πάντα τῷ ἀββᾷ σου, καὶ ὃ διακρίνει ποίησον (αὐτὸς γὰρ οἶδε τί ποιεῖ

288

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν πρέπει γιὰ τὰ καλὰ καὶ γιὰ τὰ μεσαῖα νὰ κόβω τὸ θέλημά μου ἀπέναντι τοῦ ἀββᾶ, καθὼς καὶ σὲ ὅσα φαίνεται ὅτι γίνεται παράβαση τῆς ἐντολῆς τοῦ Θεοῦ· ἐπίσης ἂν δοθεῖ διαταγὴ ἐπάνω ἀπὸ τὴν κατάστασή μου, ἐὰν ὀφείλω νὰ παραιτηθῶ, γιὰ νὰ μὴ λείψει ἡ ἐκτέλεση καὶ μοῦ ἔρθει ταραχή. Ἀκόμα ἂν κάποιος, ποὺ ἔχει ἀνάγκη, μοῦ ζητήσει νὰ μεσιτεύσω στὸν ἀββᾶ γιὰ τὴν ὑπόθεσή του, καὶ ἀρνηθῶ, μή ̓ πως μοῦ φέρνει τιμή, ὅτι τάχα θεωρῶ πολὺ σπουδαῖο τὸν ἑαυτό μου.

Ἀπόκριση

Αδελφέ, αὐτὸς ποὺ θέλει νὰ εἶναι μοναχὸς δὲν πρέπει καθόλου νὰ ἔχει θέλημα σὲ κάποιο πρᾶγμα. Διδάσκοντας αὐτὸ ὁ Χριστὸς μᾶς εἶπε· «ἦρθα στὸν κόσμο ὄχι γιὰ νὰ κάνω τὸ δικό μου θέλημα»[65]. Διότι αὐτὸς ποὺ θέλει νὰ κάνει αὐτὸ καὶ νὰ ἀφήσει ἐκεῖνο, ἢ δείχνει τὸν ἑαυτό του διακριτικώτερο ἀπὸ αὐτὸν ποὺ τὸν διατάσσει ἢ χλευάζεται ἀπὸ τοὺς δαίμονες. Ὥστε λοιπὸν ὀφείλεις νὰ ὑπακούεις σὲ ὅλα, ἀκόμα κι ἂν σου φανεῖ ὅτι τὸ πρᾶγμα ἔχει ἁμαρτία· διότι ὁ ἀββᾶς σου ποὺ σὲ διατάσσει, αὐτὸς βαστάζει τὸ κρίμα σου, ὡς ὑπόλογος γιὰ σένα. Ἐὰν ὅμως σοῦ φαίνεται βαρὺ τὸ διατασσόμενο, ρώτησέ τον, καὶ ἄφησε τὸ πρᾶγμα στὴ διάκρισή του. Ἐὰν αὐτοὶ ποὺ σὲ διέταξαν εἶναι ἀδελφοὶ καὶ βλέπεις ὅτι τὸ πρᾶγμα ἔχει βλάβη ἢ ξεπερνᾶ τὴ δύναμή σου, ρώτησε πάλι τὸν ἀββᾶ καὶ κάνε ὅ,τι σοῦ πεῖ. Διότι, ἐὰν θέλεις νὰ διακρίνεις τὰ πράγματα μόνος σου, ἐπισύρεις θλίψεις στὸν ἑαυτό σου. Ἀνάθεσέ τα λοιπὸν ὅλα στὸν ἀββᾶ σου καὶ κάμνε ὅ,τι διακρίνει αὐτὸς (διότι αὐτὸς γνωρίζει τί κάνει καὶ πῶς φροντίζει τὴν ψυχή σου),

65. Ἰω. 6,38.

καὶ πῶς φροντίζει σου τῆς ψυχῆς) καὶ ἀναπαύῃ, πιστεύων, ὅτι εἴ τι λέγει σοι, κατὰ Θεόν ἐστι, καὶ λύπην κατὰ χάριν οὐ φέρει· «πᾶν γὰρ δένδρον καλόν, καλοὺς καρποὺς ποιεῖ».

Περὶ δὲ τοῦ δεηθῆναί σού τινας πρὸς τὸν ἀββᾶν, ἐὰν ᾖ χρεία, ποίησον ὡς ἐντολὴν πληρῶν, ἣν ἤκουσας ποιῆσαι. Ἐὰν γὰρ καθίσῃ σε ὁ ἀββᾶς εἰς τὸ θυρωρεῖον λέγων, 'μήνυσόν μοι πάντα ἄνθρωπον ἐρχόμενον', μὴ ἀπὸ σαυτοῦ ψηφίζῃς, ἢ κέλευσιν πληροῖς τοῦ ἐπιτάσσοντός σοι; Ἐὰν εἴπῃ σοι ὁ ἀββᾶς λέγειν αὐτῷ ἢ μὴ λέγειν, σὺ πρᾶγμα οὐκ ἔχεις.

ΣΠΘ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐὰν ἀδελφὸς ἐρωτήσῃ με περὶ λόγου ἢ πράγματος οἱουδήποτε καὶ οὐκ οἶδα αὐτό, ἀποκριθῶ ἢ οὔ; Ἐὰν δὲ μὴ ἐρωτηθῶ, ἴδω δὲ πρᾶγμα μὴ καλῶς γινόμενον, ἆρα ἀναμνήσω τὸν ποιοῦντα ἢ οὔ;

Ἀπόκρισις

Ὅλα τὰ ῥήματα τῆς ἐρωτήσεως ταύτης μίαν ἔχουσι δύναμιν ἀποκρίσεως. Φύλαξον τοῦ μὴ εἰπεῖν κατὰ κενοδοξίαν, ἀλλὰ μετὰ ταπεινώσεως καὶ φόβου Θεοῦ. Καὶ περὶ πάντων ὧν ἠρώτησας, εἰπέ, χρείας γενομένης, καὶ ὑπόμνησον· ἐν τῷ κοινοβίῳ σου μέν τοι καὶ οὐκ ἄλλου, ἵνα μὴ εὑρεθῇς ὡς διδάσκαλος· καὶ γὰρ οἱ τοῦ κοινοβίου ἓν σῶμά εἰσι. Ἐὰν δὲ ἀλλαχοῦ εὑρεθῇς, ἀπὸ σαυτοῦ μηδὲν εἴπῃς· εἰ δὲ ἐρωτηθῇς, εἰπὲ μετὰ ταπεινώσεως.

Ὁ Θεὸς συνετίσοι σε, ἀδελφέ.

καὶ θὰ ἀναπαυθεῖς, πιστεύοντας ὅτι, ὅταν σοῦ λέγει κάτι, εἶναι ἀρεστὸ στὸ Θεὸ καὶ δὲ φέρει λύπη κατὰ χάρη, «διότι κάθε καλὸ δένδρο, κάνει καλοὺς καρπούς»[66].

Ὅσο γιὰ τὸ ἂν σὲ παρακαλέσουν μερικοὶ νὰ μεσιτεύσεις πρὸς τὸν ἀββᾶ, ἐφ' ὅσον ὑπάρχει ἀνάγκη, κάμε το σὰν νὰ ἐκτελεῖς ἐντολή, τὴν ὁποία ἄκουσες γιὰ νὰ κάνεις. Ἐὰν δηλαδὴ ὁ ἀββᾶς σὲ βάλει νὰ καθήσεις στὸ θυρωρεῖο λέγοντάς σου, 'ἀνάγγειλέ μου κάθε ἄνθρωπο ποὺ ἔρχεται', μήπως ἀπὸ μόνος σου ἀποφασίζεις, ἢ ἐκετελεῖς τὴ διαταγὴ αὐτοῦ ποὺ σὲ διέταξε; Ἐὰν ὁ ἀββᾶς σοῦ πεῖ νὰ τοῦ λέγεις ἢ νὰ μὴ τοῦ λέγεις, ἐσὺ δὲν ἔχεις εὐθύνη.

289

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν κάποιος ἀδελφὸς μὲ ἐρωτήσει γιὰ λόγο ἢ γιὰ ὁποιοδήποτε πρᾶγμα καὶ δὲν τὸ γνωρίζω, νὰ ἀπαντήσω ἢ ὄχι; Ἐὰν πάλι δὲν ἐρωτηθῶ, καὶ δῶ ἕνα πρᾶγμα νὰ μὴ γίνεται καλά, νὰ ἀναφέρω ἄραγε αὐτὸν ποὺ τὸ κάνει ἢ ὄχι;

Ἀπόκριση

Ὅλα τὰ λόγια αὐτῆς τῆς ἐρωτήσεως ἔχουν ἑνιαία ἀπάντηση. Πρόσεχε νὰ μὴ ὁμιλεῖς μὲ κενοδοξία, ἀλλὰ μὲ ταπείνωση καὶ φόβο Θεοῦ. Καὶ γιὰ ὅλα ὅσα ἐρώτησες, λέγε, ὅταν παραστεῖ ἀνάγκη, καὶ μίλησε, στὸ κοινόβιό σου βέβαια καὶ ὄχι ἀλλοῦ, γιὰ νὰ μὴ βρεθεῖς σὰν διδάσκαλος· διότι αὐτοὶ ποὺ βρίσκονται στὸ κοινόβιο εἶναι ἕνα σῶμα. Ἐὰν ὅμως βρεθεῖς ἀλλοῦ, νὰ μὴ πεῖς τίποτε ἀπὸ μόνος σου, ἐὰν ὅμως ἐρωτηθεῖς, νὰ ὁμιλήσεις μὲ ταπείνωση.

Εἴθε ὁ Θεὸς νὰ σὲ συνετίσει, ἀδελφέ.

Σϛ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Ἐπειδὴ ἐδήλωσάς μοι, ἐὰν ἐρωτηθῶ περὶ πράγματος ἢ καὶ ἴδω, ἵνα μετὰ ταπεινώσεως λέγω· καὶ ἐὰν ἴδω τὴν καρδίαν μου ἡδυνομένην τῇ κενοδοξίᾳ ἐν τῷ λέγειν, ἢ εἰ καὶ μὴ τότε ἡδύνομαι, προκατανοῶ δὲ ὅτι μέλλει μοι γίνεσθαι ὕστερον, ἆρα σιωπήσω ἢ οὔ;

Ἀπόκρισις

Τὸ εἰπεῖν τίποτε μετὰ ταπεινώσεώς ἐστι, τὸ μὴ λέγειν ὡς διδάσκοντα, ἀλλ' ὡς ἀκούσαντα παρὰ τοῦ ἀββᾶ ἢ τῶν πατέρων. Ἐὰν δὲ ἔχῃ ὠφέλειαν τὸ πρᾶγμα τῷ εἰπεῖν τῷ ἀδελφῷ καὶ πολεμεῖ ἡ κενοδοξία τοῦ ἡδυνθῆναι, πρόσεχε σεαυτῷ, ὅτι ἐμποδίσαι θέλει ὠφεληθῆναι τὸν ἀδελφόν. Καὶ ἐὰν ἀκούσῃς αὐτῆς, οὐδέποτε ὠφελεῖται διὰ σοῦ ὁ ἀδελφός· ἀλλ' ἐπιτίμησον τῇ κενοδοξίᾳ καὶ καταφρόνησον αὐτῆς· καὶ μεθ' ὃ λέγεις μετανόησον τῷ Θεῷ· λέγε, 'συγχώρησόν μοι, ὅτι κενοδόξως ἐλάλησα'. Καὶ περὶ τοῦ ὑστέρου ὁμοίως.

ΣϛΑ'

Τοῦ αὐτοῦ.

Πῶς, πάτερ, ἐπέτρεψάς μοι, ἐὰν ἴδω πρᾶγμα καὶ πρὶν ἐρωτηθῶ, ἵνα λέγω, τῶν πατέρων λεγόντων, πρὸ ἐρωτήσεως μὴ ἀποκρίνεσθαι; Καὶ τοῦ ἀββᾶ Νισθερῶ διὰ τοῦτο θαυμασθέντος, ὅτι, ἐν κοινοβίῳ ὤν, εἶπεν, 'ἐγὼ καὶ ὁ ὄνος ἕν ἐσμεν'. Εἰπὲ δέ μοι, πάτερ, καὶ τὸ προσέχειν τοῖς λογισμοῖς τί ἐστι; καὶ εἰ καιρῷ δεῖ τακτῷ τοῦτο ποιεῖν καὶ ποίῳ τούτῳ;

66α. Νισθερῶ, Ἀποφθέγματα Γερόντων, τῆς σειρᾶς Φιλοκαλία «Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας», σελ. 498

290

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐπειδὴ μοῦ εἶπες, ἐὰν ἐρωτηθῶ γιὰ κάποιο πρᾶγμα ἢ καὶ δῶ κάτι, νὰ λέγω μὲ ταπείνωση, καὶ ἐὰν δῶ τὴν καρδιά μου νὰ εὐχαριστεῖται στὴν κενοδοξία μὲ τὸ νὰ λέγει, ἢ ἐὰν δὲν νοιώθω εὐχαρίστηση τότε, ἀλλὰ προαισθάνομαι ὅτι πρόκειται νὰ νοιώσω ὕστερα, ἄραγε νὰ σιωπήσω ἢ ὄχι;

Ἀπόκριση

Τὸ νὰ λέγεις κάτι μὲ ταπείνωση, σημαίνει νὰ μὴ ὁμιλεῖς σὰν νὰ διδάσκεις, ἀλλὰ σὰν νὰ ἄκουσες ἀπὸ τὸν ἀββᾶ ἢ τοὺς πατέρες. Ἐὰν ὅμως τὸ πρᾶγμα ἔχει ὠφέλεια μὲ τὸ νὰ πεῖς στὸν ἀδελφὸ καὶ σὲ πολεμεῖ ἡ κενοδοξία τῆς εὐχαριστήσεως, πρόσεχε τὸν ἑαυτό σου, διότι θέλει νὰ ἐμποδίσει νὰ ὠφεληθεῖ ὁ ἀδελφός. Καὶ ἂν ἀκούσεις αὐτήν, ὁ ἀδελφὸς δὲν ὠφελεῖται ποτὲ ἀπὸ σένα. Ἐπιτίμησε λοιπὸν τὴν κενοδοξία καὶ περιφρόνησέ την. Καὶ μετὰ ἀπὸ ἐκεῖνο ποὺ θὰ πεῖς μετανόησε στὸ Θεό, λέγοντας, 'συγχώρεσέ με, διότι μίλησα μὲ κενοδοξία'. Καὶ γιὰ τὸ ἑπόμενο τὸ ἴδιο.

291

Τοῦ ἰδίου.

Πῶς, πάτερ, μοῦ ἐπέτρεψες, ἐὰν δῶ κάτι καὶ πρὶν ἐρωτηθῶ νὰ τὸ πῶ, ἐνῶ οἱ πατέρες λέγουν, νὰ μὴ ἀπαντᾶτε πρὶν ἀπὸ τὴν ἐρώτηση; Ὁ ἀββᾶς Νισθερῶ[66α] θαυμάσθηκε γι' αὐτό, διότι, ἐνῶ ἦταν στὸ κοινόβιο, εἶπε, 'ἐγὼ καὶ ὁ ὄνος εἴμαστε ἕνα'. Πές μου ἐπίσης, πάτερ, τί σημαίνει τὸ 'νὰ προσέχεις τοὺς λογισμούς'; καὶ ἐὰν πρέπει νὰ τὸ κάνω αὐτὸ σὲ καθορισμένη ὥρα καὶ ποιά;

Ἀπόκρισις *Ἰωάννου.*

Αδελφέ, πρὸς τὸ μέτρον τοῦ ἀνθρώπου λέγουσαν οἱ γέροντες. Ἔστιν οὖν καιρός, ἐν ᾧ δύναται ἄνθρωπος ὑπηρετῆσαι καὶ ἐν τούτῳ ἔργα ὀφείλει δεῖξαι διακονίας· καὶ ἔσται καιρὸς ὅταν ὁ αὐτὸς ἔρχηται εἰς τὸ ὑπηρετηθῆναι, καὶ ἄλλα ἐστὶ τὰ μέτρα τούτου. Τὰ γὰρ τέλεια τοῖς τελείοις εἴρηται, τὰ δὲ ἄλλα, τοῖς ὑπὸ τὸν νόμον οὖσιν· ὑπὸ παιδαγωγὸν γὰρ ἀκμὴν ἐξετάζονται. Ὅταν γὰρ νεκροῦσαι ἀπὸ τοῦ κόσμου, κατὰ τὸν ἀββᾶν Νισθερώ, δύνασαι εἰπεῖν ὅτι 'ὄνος εἰμί'· μὴ ὑψηλοφρονήσῃς, ἐπεὶ βλάπτῃ εἰς τοῦτο. Ἔταξαν οἱ πατέρες καιροὺς προσέχειν τοῖς λογισμοῖς, ἐν τῷ λέγειν ἑαυτοῖς κατὰ πρωΐ, 'ποίησον λόγον πρὸς ἑαυτόν, πῶς παρῆλθες τὴν νύκτα' καὶ κατὰ ὀψὲ 'πῶς παρῆλθες τὴν ἡμέραν'· καὶ ἐν τῷ μεταξὺ δὲ ὅτε ὁ λογισμὸς βαρεῖται, πρόσχες.

ΣΧΟΛΙΟΝ

Διὰ τούτων ἐμφαίνει οὑτοσὶν ὁ θεοφόρος πατήρ, ὅτι οὐ τοῦ τυχόντος ἐστὶν εἰπεῖν ὅτι 'ὄνος εἰμί', ταπεινοφρονοῦντος δῆθεν καὶ ἑαυτὸν εὐτελίζοντος· οὐ γάρ ἐστι τοῦτο ἀτιμία τὸ εἰπεῖν 'ὄνος εἰμί', ἀλλὰ μεγίστη τιμή· ὅθεν φησὶν ὁ πατὴρ 'μὴ ὑψηλοφρονήσῃς'. Ὅταν γάρ τις εἰς τὰ τοῦ ὄνου ἔλθῃ μέτρα, δερόμενος κατ' ἐκεῖνον, ὀνειδιζόμενος, βαρούμενος, ἀγόμενος, δεσμούμενος καὶ πᾶν ὅ,τιοῦν πάσχων, οἷα εἰκὸς τοῦτον πάσχειν, καὶ οὐ μόνον οὐκ ἀντιλέγων ἢ μνησικακῶν ἢ ὅλως τινὰ κίνησιν ἔχων ἐν καρδίᾳ κατ' αὐτὸν ἐκεῖνον, ἀλλ' ὡς ἀναισθητῶν εἰς πάντα διακείμενος· ὅπερ σημαίνει τὴν ζητουμένην διττὴν νέκρωσιν, ἢ καὶ τριττήν, τότε ἴσως θαρρήσει εἰπεῖν ὅτι 'ὄνος εἰμί'. Καὶ τοῦτο δὲ μετὰ πολλῆς αἰδοῦς, ἐννοῶν τὸ ὕψος τοῦ κατορθώματος· οἶμαι δὲ οὐδὲ τότε· ἀλλὰ καὶ μᾶλλον τότε

Ἀπόκριση Ἰωάννη.

Ἀδελφέ, οἱ Γέροντες λέγουν σύμφωνα μὲ τὸ μέτρο τοῦ ἀνθρώπου. Ὑπάρχει λοιπὸν καιρὸς κατὰ τὸν ὁποῖο ὁ ἄνθρωπος μπορεῖ νὰ ὑπηρετήσει καὶ μέσα σ' αὐτὸν ὀφείλει νὰ δείξει ἔργα διακονίας· καὶ θὰ ἔρθει καιρὸς κατὰ τὸν ὁποῖο αὐτὸς θὰ ἔρθει νὰ ὑπηρετηθεῖ, καὶ ἄλλα εἶναι τὰ μέτρα αὐτοῦ. Διότι ἔχει λεχθεῖ, τὰ τέλεια γιὰ τοὺς τέλειους καὶ τὰ ἄλλα γιὰ ἐκείνους ποὺ βρίσκονται κάτω ἀπὸ τὸ νόμο, διότι ἐξετάζονται ἀκόμα ἀπὸ παιδαγωγό. Ὅταν δηλαδὴ νεκρώνεσαι ἀπὸ τὸν κόσμο, σύμφωνα μὲ τὸν Ἀββᾶ Νισθερώ, μπορεῖς νὰ πεῖς, 'εἶμαι ὄνος'. Μὴ ὑψηλοφρονήσεις, διότι βλάπτεσαι ἀπ' αὐτό. Οἱ πατέρες κατὰ καιροὺς πρόσταξαν νὰ προσέχουμε τοὺς λογισμούς, μὲ τὸ νὰ μιλᾶμε στοὺς ἑαυτούς μας τὸ πρωί, 'μίλησε μὲ τὸν ἑαυτό σου, πῶς πέρασες τὴ νύχτα', καὶ κατὰ τὸ βράδυ, 'πῶς πέρασες τὴν ἡμέρα'· καὶ κατὰ τὸν ἐνδιάμεσο χρόνο, ὅταν βαρύνεται ὁ λογισμός, πρόσεχε.

ΣΧΟΛΙΟ

Ὁ θεοφόρος αὐτὸς πατέρας δείχνει μ' αὐτά, ὅτι δὲν ἀνήκει στὸν τυχόντα νὰ πεῖ, 'εἶμαι ὄνος', ἀλλὰ στὸν ταπεινόφρονα καὶ σ' ἐκεῖνον ποὺ ἐξευτελίζει τὸν ἑαυτό του· διότι δὲν εἶναι αὐτὸ ἀτιμία, τὸ νὰ πεῖ κανείς, 'εἶμαι ὄνος', ἀλλὰ μέγιστη τιμή· γι' αὐτὸ ὁ πατέρας λέγει νὰ μὴ ὑψηλοφρονήσεις. Διότι, ὅταν κάποιος φθάσει στὰ μέτρα τοῦ ὄνου, νὰ δέρνεται ὅπως ἐκεῖνος, νὰ ὀνειδίζεται, νὰ φορτώνεται μὲ βάρη, νὰ ὁδηγεῖται, νὰ δένεται καὶ νὰ παθαίνει ὁ,τιδήποτε, πράγματα ποὺ παθαίνει αὐτός, καὶ ὄχι μόνο δὲν ἀντιλέγει ἢ δὲν μνησικακεῖ ἢ δὲν ἔχει καμμιὰ ἐντελῶς κίνηση στὴν καρδιά, σὰν ἐκεῖνον, ἀλλὰ τὰ ὑπομένει ὅλα σὰν ἀναίσθητος, πρᾶγμα τὸ ὁποῖο σημαίνει τὴν ἐπιζητούμενη διπλὴ νέκρωση ἢ καὶ τριπλή, τότε ἴσως πάρει θάρρος νὰ πεῖ, 'εἶμαι ὄνος'. Καὶ αὐτὸ μὲ πολλὴ αἰδώ, ἀντιλαμβανόμενος τὸ ὕψος τοῦ κατορθώματος· νομίζω ὅμως οὔτε τότε· ἀλλὰ πολὺ περισσότερο τότε, βλέποντας τὸν ἑαυτό του ὑποδεέστερο αὐτῆς

κατὰ πολὺ ὁρῶν τῆς τοιαύτης ἀπολειπόμενον καταστάσεως ἑαυτόν, οὐκ ἂν θαρρήσῃ οὐ μόνον εἰπεῖν ὅτι 'ὄνος εἰμί', ἀλλ' οὐδὲ ἐννοῆσαι, εἰδὼς τοῦτο ὂν ὑψηλοφροσύνην, ἐν ᾗ ἐστιν ἡ τῆς ψυχῆς πτῶσις καὶ ἀληθῶς παντελὴς ἀπώλεια.

ΣϟΒʹ

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Ἐάν τις τῶν γερόντων ὑπὲρ ἐμὲ ἐρωτήσῃ με περὶ πράγματος, ὀφείλω λέγειν ὅπερ νομίζω συμφέρειν;

***Ἀπόκρισις** Ἰωάνου.*

Σὸν οὐκ ἔστι τίποτε· οὐκ οἶδας γὰρ τὸ θέλημα τοῦ Θεοῦ, εἰ οὕτω συμφέρει· ἀλλ', ἐὰν ἐρωτήσῃ σέ τις αὐτῶν, εἰπὲ αὐτῷ μετὰ ταπεινώσεως· 'συγχώρησον, ὅτι κἀγὼ οὐκ οἶδα'.

ΣϟΓʹ

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Ἐὰν ἀδελφὸς ποιῇ πρᾶγμα μέσον, ἐγὼ δὲ διὰ θέλημα ἐμὸν θλίβωμαι ἐν αὐτῷ, τί ποιήσω; Σιωπήσω καὶ μὴ ἀναπαύσω τὴν καρδίαν μου, ἢ εἴπω ὡς μετὰ ἀγάπης καὶ μὴ μείνω ταρασσόμενος; Ἐὰν δὲ ἄλλους θλίβῃ τὸ πρᾶγμα καὶ οὐκ ἐμέ, εἴπω διὰ τοὺς ἄλλους; ἢ μήπως δοκεῖ τοῦτο ἐργολάβημα;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐὰν ᾖ πρᾶγμα μὴ ἔχον ἁμαρτίαν, ἀλλὰ μέσον καὶ λαλήσῃς διὰ τὸ ἀναπαῦσαί σου τὴν καρδίαν, ἥττημά σοί ἐστιν· ὅτι ἀπὸ ἀσθενείας οὐκ ἠδυνήθης βαστάσαι. Μέμψαι οὖν σεαυτὸν καὶ σιώπα· ἐὰν δὲ ἄλλους θλίβῃ, εἰπὲ τῷ

τῆς καταστάσεως, ὄχι μόνο δὲν θὰ τολμήσει νὰ πεῖ, 'εἶμαι ὄνος', ἀλλὰ οὔτε θὰ σκεφθεῖ, ἐπειδὴ γνωρίζει ὅτι αὐτὸ εἶναι ὑψηλοφροσύνη, μέσα στὴν ὁποία ὑπάρχει ἡ πτώση τῆς ψυχῆς καὶ ὁλοκληρωτικὴ ἀληθινὰ ἀπώλεια.

292

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν κάποιος ἀπὸ τοὺς γέροντες μὲ ἐρωτήσει γιὰ κάποιο πρᾶγμα ποὺ ξεπερνᾶ τὴ δύναμή μου, πρέπει νὰ λέγω ἐκεῖνο ποὺ νομίζω ὅτι συμφέρει;

Ἀπόκριση Ἰωάννη.

Δὲν εἶναι τίποτε δικό σου· διότι δὲν γνωρίζεις τὸ θέλημα τοῦ Θεοῦ, ἐὰν πραγματικὰ συμφέρει αὐτό· ἀλλὰ ἐὰν σὲ ἐρωτήσει κάποιος ἀπὸ αὐτούς, πές του μὲ ταπείνωση· 'συγχώρεσέ με, διότι καὶ ἐγὼ δὲν γνωρίζω'.

293

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν κάποιος ἀδελφὸς κάνει κάτι ἀδιάφορο, ἐγὼ ὅμως ἐξαιτίας τοῦ θελήματός μου θλίβομαι μ' αὐτό, τί νὰ κάνω; Νὰ σιωπήσω καὶ νὰ μὴ ἀναπαύσω τὴν καρδιά μου, ἢ νὰ μιλήσω μὲ ἀγάπη καὶ νὰ μὴ μείνω ταραγμένος; Ἐὰν πάλι τὸ πρᾶγμα θλίβει ἄλλους καὶ ὄχι ἐμένα, νὰ μιλήσω γιὰ τοὺς ἄλλους, ἢ μήπως φανεῖ αὐτὸ κακοήθεια;

Ἀπόκριση Ἰωάννη

Ἐὰν εἶναι κάτι ποὺ δὲν ἔχει ἁμαρτία ἀλλὰ ἀδιάφορο καὶ μιλήσεις γιὰ νὰ ἀναπαύσεις τὴν καρδιά σου, αὐτὸ εἶναι ἧττα γιὰ σένα· διότι ἀπὸ ἀσθένεια δὲν μπόρεσες νὰ τὸ βαστάξεις. Μέμψε λοιπὸν τὸν ἑαυτό σου καὶ σιώπα. Ἐὰν ὅμως

ἀββᾷ σου, καὶ ἢ αὐτὸς λέγει αὐτῷ ἢ λέγει σοι τί εἰπεῖν, καὶ σὺ ἀμεριμνῇς.

ΣϞΔ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Ἐὰν διὰ μὲν τοὺς ἄλλους λέγω τῷ ἀββᾶ, ὑπονοῶ δὲ ὅτι ταράσσεται ὁ ἀδελφός, τί ποιήσω; Ἐὰν δὲ καὶ τοὺς ἄλλους κἀμὲ θλίβῃ, εἴπω διὰ τοὺς ἄλλους ἢ σιωπήσω, διὰ τὸ μὴ πληροφορῆσαι ἐμαυτόν; Ἐὰν δὲ ὑπονοῶ ὅτι οὐ λυπεῖται, εἴπω καὶ δι' ἐμαυτόν, ἢ βιάσομαι τοῦτο;

Ἀπόκρισις *Ἰωάννου.*

Περὶ τῆς ταραχῆς τοῦ ἀδελφοῦ ἐὰν εἴπῃς τῷ ἀββᾷ σὺ πρᾶγμα οὐκ ἔχεις. Ὅταν χρεία ᾖ εἰπεῖν δι' ἄλλους καὶ μέλει σοι, εἰπὲ δι' αὐτούς· διὰ σεαυτὸν δὲ μόνον βιάσαι μὴ εἰπεῖν.

ΣϞΕ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Ἀλλ' ὁ λογισμὸς λέγει μοι, ὅτι, ἐὰν ταραχθῇ ὁ ἀδελφὸς κατ' ἐμοῦ, ἐχθρός μου γίνεται, ἔχων ὅτι κατελάλησα αὐτοῦ πρὸς τὸν ἀββᾶν.

Ἀπόκρισις *Ἰωάννου.*

Οὗτος ὁ λογισμὸς πονηρός ἐστι, θέλων ἐμποδίσαι τῇ διορθώσει τοῦ ἀδελφοῦ. Μὴ οὖν κωλύσῃς τὸ εἰπεῖν κατὰ Θεὸν μέντοι· καὶ γὰρ κατὰ τῶν ἰατρῶν οἱ θεραπευόμενοι ἄρρωστοι φθέγγονται· ἀλλ' ἐκεῖνοι οὐ φροντίζουσιν, εἰδότες ὅτι ὕστερον εὐχαριστοῦσιν αὐτοῖς.

θλίβει ἄλλους, πές το στὸν ἀββᾶ σου· καὶ ἢ αὐτὸς θὰ τοῦ μιλήσει ἢ θὰ πεῖ σὲ σένα τί νὰ πεῖς καὶ σὺ θὰ ἀμεριμνεῖς.

294

Ἐρώτηση τοῦ ἰδίου.

Ἐὰν γιὰ τοὺς ἄλλους ὁμιλῶ στὸν ἀββᾶ, ἀλλὰ ἀντιλαμβάνομαι ὅτι ταράζεται ὁ ἀδελφός, τί νὰ κάνω; Ἐὰν θλίβει καὶ τοὺς ἄλλους καὶ ἐμένα, νὰ μιλήσω γιὰ τους ἄλλους ἢ νὰ σιωπήσω, γιὰ νὰ μὴ πληροφορήσω τὸν ἑαυτό μου; Ἐὰν πάλι ἀντιληφθῶ ὅτι δὲν λυπεῖται, νὰ πῶ καὶ γιὰ τὸν ἑαυτό μου ἢ νὰ τὸ προσπεράσω αὐτό;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν μιλήσεις στὸν ἀββᾶ γιὰ τὴν ταραχὴ τοῦ ἀδελφοῦ, ἐσὺ δὲν ἔχεις εὐθύνη. Ὅταν παρίσταται ἀνάγκη νὰ μιλήσεις γιὰ ἄλλους καὶ τὸ κάνεις ἀπὸ ἐνδιαφέρον, μίλησε γι' αὐτούς· προσπάθησε μόνο νὰ μὴ μιλήσεις γιὰ τὸν ἑαυτό σου.

295

Ἐρώτηση τοῦ ἰδίου.

Ὁ λογισμὸς ὅμως μοῦ λέγει, ὅτι, ἐὰν ὁ ἀδελφὸς ταραχθεῖ ἐναντίον μου, γίνεται ἐχθρός μου, ἔχοντας τὴν αἰτιολογία ὅτι τὸν καταλάλησα στὸν ἀββᾶ.

Ἀπόκριση Ἰωάννη.

Αὐτὸς ὁ λογισμὸς εἶναι πονηρός, ἐπειδὴ θέλει νὰ ἐμποδίσει τὴ διόρθωση τοῦ ἀδελφοῦ. Νὰ μὴ ἐμποδισθεῖς λοιπὸν νὰ μιλήσεις, ἀλλὰ νὰ τὸ κάμεις ὅπως ἀρέσει στὸ Θεό· διότι καὶ οἱ θεραπευόμενοι ἄρρωστοι μιλοῦν κατὰ τῶν γιατρῶν, ἀλλ' ἐκεῖνοι ἀδιαφοροῦν, ἐπειδὴ γνωρίζουν ὅτι ὕστερα τοὺς εὐχαριστοῦν.

ΣϞϚ'

Ἐρώτησις τοῦ αὐτοῦ.

Ἐὰν οὖν βλέπω τὸν λογισμόν μου, ὅτι οὐ διὰ τὴν ὠφέλειαν τοῦ ἀδελφοῦ θέλω εἰπεῖν, ἀλλὰ σκοπῷ τοῦ διαβάλλειν αὐτόν, εἴπω ἢ σιωπήσω;

***Ἀπόκρισις** Ἰωάννου.*

Νουθέτησον τὸν λογισμὸν κατὰ Θεὸν εἰπεῖν, ἀλλὰ μὴ κατὰ πάθος. Ἐὰν δὲ νικᾷ τῇ καταλαλιᾷ, καὶ οὕτως εἰπέ, ὁμολογῶν τῷ ἀββᾷ τὴν σὴν καταλαλιάν, ἵνα ἀμφότεροι θεραπευθῆτε· ὁ μὲν τὸ πταῖσμα, σὺ δὲ τὴν καταλαλιάν.

ΣϞΖ'

Ἐρώτησις

Ἐὰν μὴ συγχωρῇ μοι ὁ λογισμὸς ὁμολογῆσαι τῷ ἀββᾷ, ὅτι σκοπῶ τοῦ καταλαλῆσαι τοῦ ἀδελφοῦ λέγω, τί ποιήσω; εἴπω ἢ οὔ;

Ἀπόκρισις

Μηδὲν εἴπῃς αὐτῷ, καὶ ὁ Κύριος φροντίζει· οὐ χρείαν γάρ σε μετὰ βλάβης ψυχῆς εἰπεῖν, καὶ ὁ Θεὸς ὡς θέλει φροντίζει τῆς διορθώσεως τοῦ ἀδελφοῦ.

ΣϞΗ'

Ἐρώτησις

Ἐπεὶ συμβαίνει ὅτι ποιῶ πρᾶγμα ὡς νομίζω μετὰ λόγου, καὶ διορθοῦται μέν τις αὐτό· ἐγὼ δὲ ὅσα ἂν εἴπω ἀπολογούμενος, λέγω ἀπὸ κενοδοξίαν. Τί ὀφείλω ποιεῖν;

296

Ἐρώτηση τοῦ ἰδίου.

Ἐὰν λοιπὸν βλέπω τὸν λογισμό μου, ὅτι δὲν θέλω νὰ μιλήσω γιὰ ὠφέλεια τοῦ ἀδελφοῦ, ἀλλὰ μὲ σκοπὸ νὰ τὸν διαβάλω, νὰ μιλήσω ἢ νὰ σιωπήσω;

Ἀπόκριση Ἰωάννη.

Νουθέτησε τὸν λογισμὸ νὰ μιλήσει κατὰ Θεόν, ἀλλ᾽ ὄχι πρὸς ἱκανοποίηση τοῦ πάθους. Ἐὰν ὅμως νικιέσαι ἀπὸ τὴν καταλαλιά, τότε μίλησε, ὁμολογώντας στὸν ἀββᾶ τὴ δική σου καταλαλιά, γιὰ νὰ θεραπευτεῖτε καὶ οἱ δύο· αὐτὸς ἀπὸ τὸ πταῖσμα καὶ ἐσὺ ἀπὸ τὴν καταλαλιά.

297

Ἐρώτηση

Ἐὰν ὁ λογισμὸς δὲν μὲ ἀφήνει νὰ ὁμολογήσω στὸν ἀββᾶ, ὅτι τὸ ἀναφέρω μὲ σκοπὸ τὴν καταλαλιὰ τοῦ ἀδελφοῦ, τί νὰ κάνω; Νὰ μιλήσω ἢ ὄχι;

Ἀπόκριση

Νὰ μὴ τοῦ πεῖς τίποτε καὶ ὁ Κύριος θὰ φροντίσει· διότι δὲν εἶναι ἀνάγκη νὰ μιλήσεις βλάπτοντας τὴν ψυχή, καὶ ὁ Θεὸς θὰ φροντίσει, ὅπως θέλει, γιὰ τὴ διόρθωση τοῦ ἀδελφοῦ.

298

Ἐρώτηση

Συμβαίνει κάποτε νὰ κάνω κάτι ὅπως νομίζω σωστό, ἀλλὰ κάποιος τὸ διορθώνει, καὶ ἐγὼ τότε ὅσα πῶ ἀπολογούμενος, τὰ λέγω ἀπὸ κενοδοξία· τί πρέπει νὰ κάνω:

Ἀπόκρισις

Ἐὰν οὐκ ἔχῃ ἀνάγκην ἡ ἀπολογία, σιώπα· ἐὰν δὲ σχῇ λογισμὸν τὸν πρᾶγμα τοῦ ἀδελφοῦ σου, ἀντίλεξον τῇ κενοδοξίᾳ καὶ θεράπευσον αὐτόν.

ΣϞΘʹ

Ἐρώτησις

Ἐὰν πρᾶγμα ποιῶ τῶν μέσων καὶ οἶδα ὅτι, ἂν καταλάβῃ με ἀδελφὸς ποιοῦντα αὐτό, σκανδαλίζεται εἰς ἐμέ, πολεμοῦμαι δὲ ὑπὸ κενοδοξίας κρύψαι αὐτό, αἰσχύνομαι γὰρ ἐὰν ἴδῃ με, ἆρα ὀφείλω διὰ τὴν κενοδοξίαν μὴ κρύψαι, ἢ κρύψαι διὰ τὸ σκάνδαλον; Εἰ δὲ καὶ μὴ οἶδα ἀκριβῶς εἰ σκανδαλίζεται, ἀλλ᾽ ὑπονοῶ, τί ποιήσω;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐὰν καταγινώσκῃ σου ἡ καρδία, ὅτι σκανδαλίζεται ὁ ἀδελφός σου, σκέπασον καὶ μὴ δῷς αὐτῷ λογισμόν. Ἐὰν δὲ ἀκριβῶς οὐκ οἶδας, ἀλλ᾽ ὑπονοεῖς, μὴ φροντίσῃς τούτου.

Τʹ

***Αἴτησις** τοῦ αὐτοῦ.*

Ἐὰν εἴπω τινὶ ῥῆμα κεντοῦν αὐτόν, καὶ μὴ νοήσῃ τὸν λόγον, ἆρα ὀφείλω μετανοῆσαι αὐτῷ; ἢ σιωπῆσαι καὶ μὴ δοῦναι αὐτῷ λογισμόν;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐὰν μὴ νοήσῃ ὁ ἀδελφὸς ὅτι ἐκέντησας αὐτόν, σιώπα, καὶ οὐ ταράσσεις αὐτόν· ἀλλὰ σπούδασον τῷ Θεῷ βαλεῖν μετάνοιαν ὑπὲρ τούτου.

Ἀπόκριση

Ἐὰν ἡ ἀπολογία δὲν εἶναι ἀπαραίτητη, σιώπα· ἐὰν τὸ πράγμα τοῦ ἀδελφοῦ σου ἔχει λογισμό, ἀντίλεξε στὴν κενοδοξία καὶ θεράπευσέ τον.

299

Ἐρώτηση

Ἐὰν κάνω κάτι ἀπὸ τὰ ἀδιάφορα καὶ γνωρίζω ὅτι, ἂν μὲ καταλάβει ὁ ἀδελφὸς νὰ κάμνω αὐτὸ θὰ σκανδαλισθεῖ μὲ μένα, πολεμοῦμαι ὅμως ἀπὸ τὴν κενοδοξία νὰ τὸ κρύψω, διότι ντρέπομαι ποὺ μὲ εἶδε, ἄραγε ἐξαιτίας τῆς κενοδοξίας ὀφείλω νὰ μὴ τὸ κρύψω ἢ νὰ τὸ κρύψω γιὰ ν' ἀποφευχθεῖ ὁ σκανδαλισμός; Ἐὰν πάλι δὲν γνωρίζω ἀκριβῶς ἂν σκανδαλίζεται, ἀλλὰ τὸ ὑποθέτω, τί νὰ κάνω;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν ἡ καρδιά σου γνωρίζει ὅτι σκανδαλίζεται ὁ ἀδελφός σου, σκέπασε τὴν πράξη καὶ μὴ τοῦ δώσεις λογισμό. Ἐὰν ὅμως δὲν ξέρεις ἀκριβῶς, ἀλλὰ ὑποθέτεις, μὴ φροντίσεις γι' αὐτό.

300

Παράκληση τοῦ ἰδίου.

Ἐὰν πῶ σὲ κάποιον ἕνα λόγο ποὺ τὸν κεντᾶ καὶ δὲν καταλάβει τὸν λόγο, ἄραγε ὀφείλω νὰ μετανοήσω σ' αὐτόν, ἢ νὰ σιωπήσω καὶ νὰ μὴ τοῦ δώσω λογισμό;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν ὁ ἀδελφὸς δὲν καταλάβει ὅτι τὸν πλήγωσες, σιώπα, καὶ δὲν θὰ τὸν ταράξεις· ἀλλὰ φρόντισε νὰ μετανοήσεις στὸ Θεὸ γι' αὐτό.

ΤΑ'

Ἐρώτησις

Ἐάν τις ἴδῃ ἀδελφὸν σφαλέντα, καὶ εἴπῃ τῷ ἀββᾷ, αὐτὸς καθ' οὗ ἐρρέθη, πῶς ὀφείλει διακεῖσθαι πρὸς τὸν εἰπόντα κατ' αὐτοῦ.

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐὰν πιστὸς καὶ κατὰ Θεὸν ζῶν ᾖ, εἰ καὶ κατὰ ἔχθραν εἶπεν ὁ εἰπὼν κατ' αὐτοῦ, ὀφείλει λογίσασθαι ὅτι θέλων ὁ ἀδελφὸς ὠφελῆσαί με ταῦτα εἶπε· καὶ πληροῦται εἰς αὐτὸν τὸ εἰρημένον, ὅτι «ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει τὰ ἀγαθά». Καὶ ταῦτα ἐνθυμούμενος πλεῖον ὀφείλει αὐτὸν ἀγαπᾶν, ἤ περ μισεῖν· καὶ ὁ ἐν τούτοις ἀναστρεφόμενος, εὑρίσκεται προκόπτων ἐν Θεῷ.

ΤΒ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Ἐπειδὴ αἰσθάνομαι ἀπὸ κενοδοξίας, ὅτι, ὅταν βάλλω μετάνοιαν ἐπί τινων ἐρυθριῶ μικρόν, ἆρα ὀφείλω ἐπιτηδεύειν ἐπί τινων βαλεῖν μετάνοιαν; ἢ ὡς ἂν φθάσῃ;

***Ἀπόκρισις** Ἰωάννου.*

Τὸ 'ἐπί τινων', ἢ 'κατ' ἰδίαν' βάλλειν μετάνοιαν, οὐκ ὀφείλεις ἐπιτηδεύειν, ἀλλ' ὡς ἂν φθάσῃ ποίησον.

301

Ἐρώτηση

Ἐὰν κανεὶς δεῖ τὸν ἀδελφὸ νὰ ἔχει σφάλει καὶ τὸ πεῖ στὸν ἀββᾶ, αὐτός, ἐναντίον τοῦ ὁποίου ἔγινε ἡ καταλαλιά, πῶς πρέπει νὰ συμπεριφέρεται πρὸς αὐτὸν ποὺ μίλησε ἐναντίον του;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν εἶναι πιστὸς καὶ ζεῖ κατὰ τὸ Θεό, ἀκόμα καὶ ἂν ἀπὸ ἔχθρα μίλησε ἐκεῖνος ἐναντίον του, ὀφείλει νὰ σκεφτεῖ ὅτι ὁ ἀδελφὸς τὰ εἶπε ἐπειδὴ ἤθελε νὰ μὲ ὠφελήσει. Καὶ θὰ πραγματοποιηθεῖ σ' αὐτὸν ἐκεῖνο ποὺ ἔχει λεχθεῖ· «ὁ ἀγαθὸς ἄνθρωπος βγάζει τὰ ἀγαθὰ ἀπὸ τὸν ἀγαθὸ θησαυρό του»[67]. Καὶ ἐνθυμούμενος αὐτά, ὀφείλει νὰ τὸν ἀγαπᾶ περισσότερο παρὰ νὰ τὸν μισεῖ· καὶ ὅποιος συμπεριφέρεται ἔτσι, βρίσκεται νὰ προκόβει ἐν Θεῷ.

302

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ ἀπὸ κενοδοξία αἰσθάνομαι ὅτι, ὅταν βάλλω μετάνοια ἐμπρὸς σὲ κάποιους κοκκινίζω λίγο, ἄραγε πρέπει νὰ κανονίζω νὰ κάνω μετάνοια μπροστὰ σὲ ἄλλους, ἢ ὅπως τύχει;

Ἀπόκριση Ἰωάννη.

Τὸ νὰ μετανοεῖς μπροστὰ σὲ κάποιους ἢ ὅταν εἶσαι μόνος σου, δὲν ὀφείλεις νὰ τὸ κανονίζεις, ἀλλὰ κάνε ὅπως τύχει.

---

67. Ματθ. 12,35.

ΤΓ'

Ἐρώτησις

Ἆρα δὲ καὶ τοῖς μικροτέροις μου ὀφείλω βαλεῖν μετάνοιαν, ἢ λόγῳ θεραπεύειν αὐτούς, ἵνα μὴ ἐκ τοῦ ἐναντίου κενοδοξία ἐπεισέλθῃ;

***Ἀπόκρισις** Ἰωάννου.*

Καθὼς εὑρίσκονται ἄνθρωποι μεγάλοι καὶ ἔντιμοι, χρεωστοῦντες μηδαμινοῖς καὶ ἐλαχίστοις καὶ ἀνάγκην ἔχουσιν ἀποδοῦναι τὸ χρέος μὴ κενοδοξοῦντες, ἐχρεώστουν γάρ, οὕτω καὶ σύ, ἐὰν χρεωστῇς τινι μικροτέρῳ, βάλε αὐτῷ μετάνοιαν ἀκενοδόξως, εἰδὼς ὅτι χρεωστεῖς.

ΤΔ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Ἐὰν εἰσέλθῃ ἐμπαθὴς λογισμὸς εἰς τὴν καρδίαν μου, διὰ τίνος ὀφείλω αὐτὸν ἀποκρούσασθαι; ἆρα διὰ τοῦ ἀντιλέξαι, ἢ διὰ τοῦ ἐπιτιμῆσαι, καὶ ὥσπερ ὀργισθῆναι αὐτῷ; ἢ διὰ τοῦ προσδραμεῖν καὶ ῥίψαι τὴν ἀδυναμίαν μου ἐνώπιον αὐτοῦ;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἀδελφέ, τὰ πάθη θλίψεις εἰσὶ καὶ οὐκ ἀφώρισεν ὁ Κύριος, ἀλλ' εἶπε· «καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με»· ὥστε περὶ παντὸς πάθους, οὐκ ἔστιν ἄλλο ὠφελιμώτερον, εἰ μὴ τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ· τὸ δὲ ἀντιλέξαι οὐκ ἔστι παντὸς ἀνθρώπου, ἀλλὰ τῶν δυνατῶν κατὰ Θεόν, οἷς ὑποτάσσονται οἱ

303

Ἐρώτηση

Ἄραγε ὀφείλω νὰ βάλω μετάνοια καὶ στοὺς μικροτέρους μου, ἢ νὰ τοὺς θεραπεύω μὲ τὸ λόγο, γιὰ νὰ μὴ ἐπεισέλθει ἀπὸ τὸν ἀντίπαλο κενοδοξία;

Ἀπόκριση Ἰωάννη.

Ὅπως ὑπάρχουν ἄνθρωποι μεγάλοι καὶ ἔντιμοι ποὺ χρωστοῦν μηδαμινὰ καὶ ἐλάχιστα καὶ ἔχουν ἀνάγκη νὰ ἀποδώσουν τὸ χρέος χωρὶς νὰ κενοδοξοῦν, ἀφοῦ χρωστοῦσαν, ἔτσι καὶ σὺ ἐὰν χρωστᾶς σὲ κάποιον μικρότερον, βάλε του μετάνοια χωρὶς κενοδοξία, γνωρίζοντας ὅτι χρωστᾶς.

304

Ἐρώτηση τοῦ ἰδίου.

Ἐὰν εἰσέλθει στὴν καρδιά μου ἐμπαθὴς λογισμός, μὲ ποιό τρόπο πρέπει νὰ τὸν ἀποκρούσω; ἄραγε μὲ τὴν ἀντιλογία ἢ μὲ τὴν ἐπιτίμηση καὶ τὴν ἐξόργιση ἐναντίον του, ἢ μὲ τὴν προσφυγὴ στὸ Θεὸ καὶ τὴν ἀπόθεση τῆς ἀδυναμίας μου μπροστά του;

Ἀπόκριση Ἰωάννη.

Ἀδελφέ, τὰ πάθη εἶναι θλίψεις καὶ ὁ Κύριος δὲν τὰ ξεχώρισε, ἀλλ' εἶπε· «ἐπικαλέσου με τὴν ἡμέρα τῆς θλίψεώς σου καὶ θὰ σὲ ἀπαλλάξω καὶ θὰ μὲ δοξάσεις»[68]. Ὥστε γιὰ κάθε πάθος δὲν ὑπάρχει τίποτε ὠφελιμώτερο, παρὰ τὸ νὰ ἐπικαλεσθεῖς τὸ ὄνομα τοῦ Θεοῦ· τὸ νὰ ἀντιλέξεις δὲν ἀνήκει στὸν κάθε ἄνθρωπο, ἀλλὰ στοὺς δυνατοὺς κατὰ Θεό,

---

68. Ψαλμ. 49,15.

δαίμονες· ἐὰν γάρ τις τῶν μὴ δυναμένων ἀντιλέξῃ, μυκτηρίζουσιν αὐτὸν οἱ δαίμονες, ὡς ὄντα ὑπ' αὐτοὺς καὶ ἀντιλέγοντα αὐτοῖς· ὁμοίως καὶ τὸ ἐπιτιμῆσαι τῶν μεγάλων ἐστὶ καὶ τῶν ἐχόντων ἐξουσίαν. Τίνα δὲ εἰς τοὺς ἁγίους εὑρίσκεις, κατὰ τὸν ἅγιον Μιχαήλ, ἐπιτιμήσαντα τῷ διαβόλῳ; καὶ τοῦτο ὅτι εἶχε τὴν ἐξουσίαν. Οὐκ ἔστιν ἡμῶν τῶν ἀσθενούντων, εἰ μὴ φυγεῖν εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ. Οἱ δαίμονες γάρ εἰσι τὰ πάθη, κατὰ τὴν Γραφήν, καὶ ἐξέρχονται· καὶ τί θέλεις πλεῖον τούτου;

Ὁ Θεὸς ἐνισχύσαι καὶ ἐνδυναμώσαι σε εἰς τὸν φόβον αὐτοῦ.

ΤΕ'

***Αἴτησις** τοῦ αὐτοῦ.*

Αἰτῶ σε, πάτερ, δοῦναι μοι λόγον, ὅτι εὔχῃ ὑπὲρ ἐμοῦ, καθὼς καὶ ὁ ἅγιος Γέρων ἔδωκε· καὶ ἐπειδὴ μίαν ἐὰν ἡττηθῶ εἰς πρᾶγμα, λέγει μοι ὁ λογισμός, 'ἐπειδὴ ὑπερηφανίαν ἔχεις, οὐ κατευοδοῖ σε ὁ Θεὸς κρατῆσαι τοῦ πάθους, ἵνα μὴ ἐμπέσῃς εἰς κενοδοξίαν κρατήσας', ἢ ὅτι, 'ἐὰν εὐχερῶς λάβῃς, εὐχερῶς ἀπόλλει', ἢ 'ἵνα, ποθῶν τὸ λαβεῖν, συνεχῶς προστρέχῃς τῷ Θεῷ', ἢ δι' ἄλλο τι, ἢ μᾶλλον ἐκ τῆς χαυνότητός μού ἐστι, τί οὖν δεῖ ποιῆσαί με;

***Ἀπόκρισις** Ἰωάννου.*

Εἰ ἓν ἐσμεν οἱ πάντες, τολμῶ λέγειν, ὁ Γέρων ἐν τῷ Θεῷ, κᾀγὼ ἐν αὐτῷ, εἰ αὐτὸς ἔδωκέ σοι λόγον κᾀγὼ δι' αὐτοῦ. Οἶδα ὅτι ἐγὼ ἀσθενής εἰμι καὶ ἐλάχιστος· ἀλλ' ἀποστῆναι τοῦ Γέροντος οὐ δύναμαι, ἔλεος γὰρ ποιεῖ μετ' ἐμοῦ, τοῦ εἶναι τοὺς δύο ἕν. Τοίνυν, ἀδελφέ, πρόσεχε σεαυτῷ· σπούδασον κοπιᾶν εἰς τὸ φυλάξαι τὰς ἐντολάς. Κᾂν ἡττηθῇς ἐν

στοὺς ὁποίους ὑποτάσσονται οἱ δαίμονες. Διότι, ἐὰν ἀντιλέξει κάποιος ἀπὸ ἐκείνους ποὺ δὲν μποροῦν, τὸν περιγελοῦν οἱ δαίμονες, ἐπειδὴ εἶναι κατώτερος ἀπὸ αὐτοὺς καὶ ἐπειδὴ ἀντιλέγει πρὸς αὐτούς. Παρόμοια καὶ τὸ νὰ ἐπιτιμᾶς εἶναι γνώρισμα τῶν μεγάλων καὶ αὐτῶν ποὺ ἔχουν ἐξουσία. Ποιόν βρίσκεις στοὺς ἁγίους ὅμοιο μὲ τὸν ἅγιο Μιχαήλ, ποὺ ἐπιτίμησε τὸν διάβολο; καὶ αὐτὸ ἐπειδὴ εἶχε τὴν ἐξουσία. Δὲν ἀνήκει αὐτὸ σ' ἐμᾶς τοὺς ἀσθενεῖς, παρὰ νὰ καταφύγουμε στὸ ὄνομα τοῦ Ἰησοῦ. Διότι οἱ δαίμονες εἶναι τὰ πάθη, σύμφωνα μὲ τὴ Γραφή, ποὺ ἐξέρχονται. Τί θέλεις περισότερο ἀπὸ αὐτό;

Ὁ Θεὸς εἴθε νὰ σὲ ἐνιχύσει καὶ νὰ σὲ ἐδυναμώσει στὸ φόβο του.

305

Αἴτηση τοῦ ἰδίου.

Σὲ παρακαλῶ, πάτερ, νὰ μοῦ ὑποσχεθεῖς, ὅτι προσεύχεσαι γιὰ μένα, ὅπως ὑποσχέθηκε καὶ ὁ ἅγιος Γέροντας. Ἐπίσης ἐπειδή, ἐὰν νικηθῶ μία φορὰ σὲ κάτι, ὁ λογισμὸς μοῦ λέγει, ἐπειδὴ ἔχεις ὑπερηφάνεια δὲν σὲ βοηθεῖ ὁ Θεὸς νὰ ὑπερισχύσεις τοῦ πάθους, γιὰ νὰ μὴ πέσεις σὲ κενοδοξία μὲ τὸ νὰ ὑπερισχύσεις, ἢ ὅτι, ἐὰν λάβεις εὔκολα, θὰ τὸ χάσεις εὔκολα, ἢ μὲ σκοπὸ γιὰ νὰ τρέχεις συχνὰ στὸ Θεὸ ποθώντας νὰ λάβεις, ἢ γιὰ κάτι ἄλλο, ἢ μᾶλλον αὐτὸ γίνεται ἀπὸ τὴ χαυνότητά μου, τί πρέπει λοιπὸν νὰ κάνω;

Ἀπόκριση Ἰωάννη.

Εάν ὅλοι εἴμαστε ἕνα, τολμῶ νὰ πῶ, ὁ Γέροντας εἶναι μέσα στὸ Θεὸ καὶ ἐγὼ μέσα σ' αὐτόν, καὶ ἀφοῦ αὐτὸς σοῦ ἔδωσε λόγο καὶ ἐγὼ σοῦ ἔδωσα μέσω αὐτοῦ. Γνωρίζω ὅτι ἐγὼ εἶμαι ἀσθενὴς καὶ ἐλάχιστος, ἀλλὰ δὲν μπορῶ νὰ ἀπομακρυνθῶ ἀπὸ τὸν Γέροντα· διότι δείχνει εὐσπλαχνία σὲ μένα, ὥστε νὰ εἴμαστε οἱ δύο ἕνας. Πρόσεχε λοιπόν, ἀδελφέ,

πράγματι, μὴ χαυνωθῇς μηδὲ ἀπελπίσῃς, ἀλλ' ἐγείρου πάλιν καὶ βοηθεῖ σοι ὁ Θεός. Ἔστι μὲν διὰ τὰ πρῶτα ἃ εἶπας παθεῖν, καὶ διὰ τοῦτο τὸ μὴ κρατῆσαι τοῦ πάθους· ἔστι δὲ καὶ διὰ χαυνότητα παθεῖν αὐτό. Τὸ ἐλευθερωθῆναι δὲ ἐξ ἀμφοτέρων, ἐστὶ τὸ ρίπτειν ἑαυτὸν ἐνώπιον τῆς ἀγαθότητος τοῦ Κυρίου κλαίοντα, ἵνα σε ἐλευθερώσῃ ἀπ' αὐτῶν καὶ τῶν ἄλλων παθῶν, εὐχαῖς ἁγίων. Ἀμήν.

TS'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Αἴτησις συνεργείας εἰς ἃ ἐνετείλατο ὁ μέγας Γέρων.

Ἀπόκρισις

Αδελφέ, ἐν οὐδενὶ ἀφῆκεν ὁ Γέρων ἀπόκρισίν τινα ἐν ταῖς πρὸς σὲ ἀποκρίσεσιν αὐτοῦ, ἀλλ' ἐπεστόμισε πάντας. Μετὰ γὰρ τὸ εἰπεῖν σοι, 'φύλαξόν μου τοὺς λόγους καὶ φυλάττεται ἡ πρὸς σέ μου διαθήκη', τί ἔτι θέλεις; Ποίησον τὴν δύναμίν σου ὅπως φυλαχθῇ σοι ἡ διαθήκη αὐτοῦ· ἐν αὐτῇ γὰρ κεῖται ἡ κληρονομία τῆς βασιλείας μετὰ τοῦ παραδείσου τῆς τρυφῆς «καὶ ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

Ὀφείλεις οὖν καὶ σὺ συνεισενέγκαι σου τὴν δύναμιν καὶ τὴν σπουδὴν καὶ τοῦ Θεοῦ ἐστι τὸ ἔλεος καὶ ἡ σκέπη καὶ ἡ χορηγία τῆς δυνάμεως.

Αὐτῷ ἡ δόξα εἰς τους αἰῶνας. Ἀμήν.

τὸν ἑαυτό σου· φρόντισε νὰ κοπιάζεις στὴ φύλαξη τῶν ἐντολῶν. Καὶ ἂν ἀκόμα νικηθεῖς σὲ κάτι, νὰ μὴ χαυνωθεῖς οὔτε νὰ ἀπελπισθεῖς, ἀλλὰ νὰ σηκωθεῖς πάλι καὶ θὰ σὲ βοηθήσει ὁ Θεός. Εἶναι δυνατὸ νὰ τὸ ἔπαθες γιὰ τὰ πρῶτα ποὺ εἶπες καὶ γι' αὐτὸ δὲν ὑπερίσχυσες τοῦ πάθους. Εἶναι δυνατὸ νὰ τὸ πάθεις καὶ ἀπὸ χαυνότητα. Τὸ νὰ ἐλευθερωθεῖς καὶ ἀπὸ τὰ δύο, πρέπει νὰ ρίξεις τὸν ἑαυτό σου ἐνώπιον τῆς ἀγαθότητας τοῦ Κυρίου κλαίγοντας, γιὰ νὰ σὲ ἐλευθερώσει ἀπὸ αὐτὰ καὶ ἀπὸ τὰ ἄλλα πάθη μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

306

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Παράκληση συμπράξεως σ' ἐκεῖνα ποὺ παρήγγειλε ὁ μεγάλος Γέροντας.

'Απόκριση

Αδελφέ, ὁ Γέροντας δὲν ἄφησε καμμιὰ ἀπάντηση σὲ κανένα στὶς ἀπαντήσεις του πρὸς ἐσένα, ἀλλὰ τοὺς ἀποστόμωσε ὅλους. Διότι μετὰ ἀπὸ ἐκεῖνο ποὺ σοῦ εἶπε, 'φύλαξε τοὺς λόγους μου καὶ θὰ φυλαχθεῖ ἡ ὑπόσχεσή μου πρὸς ἐσένα', τί ἄλλο θέλεις; Κάνε ὅ,τι μπορεῖς γιὰ νὰ φυλαχθεῖ ἀπὸ σένα ἡ ὑπόσχεσή του· διότι σ' αὐτὴν βρίσκεται ἡ κληρονομία τῆς βασιλείας μαζὶ μὲ τὸν παράδεισο τῆς τρυφῆς, «καὶ ἐκεῖνα τὰ ὁποῖα δὲν εἶδε μάτι, οὔτε αὐτὶ ἄκουσε καὶ σὲ καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, ὅσα ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν»[69].

Πρέπει λοιπὸν καὶ σὺ νὰ συνεισφέρεις ἐκεῖνο ποὺ μπορεῖς καὶ τὴν προθυμία, καὶ στὸ Θεὸ ἀνήκει τὸ ἔλεος, ἡ προστασία καὶ ἡ χορηγία τῆς δυνάμεως.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

69. Α' Κορ. 2,9.

ΤΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Τί ποιήσω ὅτι φοβοῦμαι τὴν αἰσχύνην τῆς ἀτιμίας; Καὶ εἰς συντυχίαν δὲ ἐὰν ἐμπέσω μετά τινων πάνυ ἕλκομαι εἰς αὐτὴν καὶ αἰχμαλωτίζομαι, ὡς ἐπιλανθάνεσθαι ἐμαυτοῦ· καὶ ἐὰν ἔλθω εἰς ἐμαυτόν, αἰσχύνομαι ἀφεῖναι τοὺς συντυγχάνοντας καὶ ἀπελθεῖν.

***Ἀπόκρισις** Ἰωάννου.*

Ἵνα μὴ εἰς ταῦτα ἐμπέσῃ ὁ ἀσθενῶν καὶ εἰς τὴν φιλοδοξίαν, ὀξέως ὀφείλει φεύγειν ἀπὸ τῆς μακρολογίας καὶ κόψαι τὴν συντυχίαν, προφασισάμενος τὸν ἀββᾶν, ὡς ὅτι ἐνέταξεν αὐτῷ τί ποτε καὶ σπουδάζει. Τὸ δὲ μὴ βαστάσαι ἀτιμασθῆναι, ἀπιστίας ἐστίν. Ὁ Ἰησοῦς ἄνθρωπος ἐγένετο καὶ ἠτιμάσθη, ὦ ἀδελφέ, μὴ περισσότερος εἶ τοῦ Ἰησοῦ; ἀπιστία ἐστὶν αὕτη καὶ πλάνη δαιμόνων. Εἴ τις θέλει ταπείνωσιν, ὡς λέγει 'ὅτι θέλω', ἐὰν μὴ βαστάσῃ ἀτιμίας, λαβεῖν αὐτὴν οὐ δύναται. Ἰδοὺ ἤκουσας, μὴ καταφρονήσῃς, ἐπεὶ καταφρονηθῆναι ἔχεις ἀπὸ τοῦ ἔργου.

ΤΗ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Ὅτε παραβάλλουσί τινες ἐν τῷ κοινοβίῳ, εἴτε κοσμικοὶ εἴτε πατέρες, λέγει μοι ὁ λογισμὸς περὶ ὠφελείας ψυχῆς ἐρωτῆσαι ἢ περὶ πράγματος. Τί δοκιμάζεις;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἀδελφέ, ὁ μετὰ ἀληθείας Χριστῷ μαθητευόμενος, ἐξουσίαν οὐδεμίαν ἔχει εἰς ἑαυτὸν πρὸ τὸ ποιεῖν ὅ,τι δήποτε ἀφ' ἑαυτοῦ. Κἂν γὰρ δοκῇ ὠφελεῖσθαι ἀπὸ τῆς συντυχίας τῶν παραβαλλόντων, ἀλλ' ἐκπίπτει τῆς ἐντολῆς τῆς λεγού-

307

Τί νὰ κάνω ποὺ φοβᾶμαι τὴ ντροπὴ τῆς ἀτιμίας; Καὶ ἐὰν συμβεῖ νὰ συνατηθῶ μὲ κάποιους, ἕλκομαι πολὺ σ' αὐτὴ τὴ συνάντηση καὶ αἰχμαλωτίζομαι, ὥστε νὰ ξεχνῶ τὸν ἑαυτό μου· καὶ ἐὰν ἔλθω στὸν ἑαυτό μου, ντρέπομαι νὰ ἀφήσω ἐκείνους ποὺ συνάντησα καὶ νὰ φύγω.

Ἀπόκριση Ἰωάννη.

Γιὰ νὰ μὴ πέσει ὁ ἀσθενὴς σ' αὐτὰ καὶ στὴ φιλοδοξία, πρέπει νὰ φεύγει μὲ σφοδρότητα ἀπὸ τὴ μακρολογία καὶ νὰ διακόψει τὴ συνάντηση, προφασιζόμενος τὸν ἀββᾶ, ὅτι τὸν διέταξε κάτι νὰ φροντίσει. Τὸ νὰ μὴ βαστᾶς ὅμως τὴν ἀτιμία, εἶναι δεῖγμα ἀπιστίας. Ὁ Ἰησοῦς ἔγινε ἄνθρωπος καὶ ἀτιμάσθηκε, ἀδελφέ· μήπως ἐσὺ εἶσαι ἀνώτερος ἀπὸ τὸν Ἰησοῦ; Αὐτὴ εἶναι ἀπιστία καὶ πλάνη δαιμόνων. Ἐὰν κανεὶς θέλει ταπείνωση, καὶ λέγει ὅτι θέλω, ἐὰν δὲν βαστάξει τὴν ἀτίμωση, δὲν μπορεῖ νὰ τὴ λάβει. Νά, ἄκουσες, μὴ δείξεις περιφρόνηση, διότι θὰ περιφρονηθεῖς ἀπὸ τὸ ἔργο.

308

Ἐρώτηση τοῦ ἰδίου.

Ὅταν φθάνουν κάποιοι στὸ κοινόβιο, εἴτε εἶναι κοσμικοὶ εἴτε ἱερεῖς, καὶ ὁ λογισμὸς μοῦ λέγει νὰ ἐρωτήσω γιὰ ὠφέλεια ψυχῆς ἢ γιὰ κάποιο πρᾶγμα, τί κρίνεις σωστὸ νὰ κάνω;

Ἀπόκριση Ἰωάννη.

Ἀδελφέ, αὐτὸς ποὺ μαθητεύει ἀληθινὰ στὸ Χριστό, δὲν ἔχει καμμία ἐξουσία νὰ κάνει ὁτιδήποτε ἀπὸ μόνος του. Διότι, καὶ ἂν ἀκόμα νομίσει ὅτι ὠφελεῖται ἀπὸ τὴ συνάντηση τῶν ἐπισκεπτῶν, ὅμως ξεφεύγει ἀπὸ τὴν ἐντολὴ ποὺ

σης, «πάντα μετὰ βουλῆς ποίει». Τί δὲ περισσότερον θέλεις ἀκοῦσαι οὗ οἱ πατέρες εἶπον, ὅτι 'ἐὰν ὦσί τινες καὶ λαλῶσι τὸν λόγον τοῦ Θεοῦ, ἐρώτησον τὸν ἀββᾶν σου μετὰ ταπεινώσεως. ''Αββᾶ, θέλεις μείνω καὶ ἀκούσω ἢ ἀπέλθω;' καὶ ὃ λέγει σοι ποίησον μετὰ ἀναπαύσεως. Ἐὰν δὲ καὶ διὰ χρείαν θέλῃς ἐρωτῆσαί τινα, ἢ μοναχὸν ἢ κοσμικόν, λέγεις τῷ ἀββᾷ, κἂν δοκιμάσῃ, αὐτὸς ἐρωτᾷ ὃ θέλεις. Ἐὰν δὲ εἴπῃ σοι, 'ἐρώτησον σύ', τότε ἐρωτᾷς.

ΤΘ΄

Ἐρώτησις

Εὖξαι μοι, πάτερ, δύναμιν καὶ σύνεσιν παρὰ τοῦ Θεοῦ, ὅτι ἰδιώτης εἰμὶ καὶ ἀσθενής· καὶ ἐπειδὴ συμβαίνει ὅτε ἐξέρχομαι βαστάζων τίποτε ἐκ τοῦ μαγειρείου ἢ τοῦ κελλαρείου, καὶ ἀπαντῶ τισι τῶν πατέρων ἢ λαμπροῖς ἀνθρώποις, τί ποιήσω; Καὶ ἐκ τῶν συμβαινόντων δέ μοι μολυσμῶν, εὖξαι ἵνα λυτρωθῶ.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἐὰν πιστεύσῃς, ὅτι ἐκ τῶν ἀγόνων λίθων δύναται ὁ Θεὸς ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, καὶ ὅτι, ὁ ἀνοίξας τὸ στόμα τῆς ὄνου, δύναται ἀνοῖξαι καὶ σοφίσαι καὶ συνετίσαι καὶ ἐνδυναμῶσαί σε, πάντα δίδωσί σοι ὁ Θεός, ἀδελφέ. Οὐκ οἶδας τὰ πράγματα; Ἡ θύρα τοῦ κοινοβίου, θύρα ἐστὶ τοῦ Θεοῦ· καὶ οἶδεν ὁ Θεός, ὅτι χρήζει σοφίας καὶ συνέσεως, γνώσεώς τε καὶ δυνάμεως, βοηθείας καὶ διακρίσεως ὁ δοῦλος αὐτοῦ ὁ θυρωρός· «οἶδε» γάρ φησιν «ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος

«δὲς τὴν ταπείνωσή μου καὶ τὸν κόπο μου καὶ συγχώρεσε ὅλες τὶς ἁμαρτίες μου»[1α]. Ἐὰν ταπεινωθεῖς λαμβάνεις τὴ χάρη καὶ σὲ βοηθᾶ ἡ χάρη. Διότι ὁ ἅγιος Παῦλος, ἐνῶ κοπίασε περισσότερο ἀπὸ ὅλους, ἔλεγε· «ὄχι ἐγώ, ἀλλὰ ἡ χάρη ποὺ εἶναι μαζὶ μὲ μένα»[2]. Ἐὰν πιστέψεις ἀδίστακτα, θὰ ἐνδυναμωθεῖς καὶ θὰ κάνεις ὄχι μόνο τὴν ἀνάγκη τοῦ θυρωρείου, ἀλλὰ ἀκόμα καὶ ἄλλες ἀνάγκες. Πρόσεχε λοιπὸν μὲ ἐλπίδα τὸ ἔργο τοῦ Θεοῦ· καὶ ὁ Θεὸς οἰκονομεῖ τὸ πρᾶγμα χωρὶς ἐσὺ νὰ γνωρίζεις.

Ὁ Κύριος μαζί σου.

360

Τοῦ ἰδίου.

Πάτερ, προσευχήσου νὰ μοῦ δοθεῖ ἀπὸ τὸ Θεὸ δύναμη καὶ σύνεση, διότι εἶμαι ἀμόρφωτος καὶ ἀσθενής. Συμβαίνει κάποτε ὅταν βγαίνω ἀπὸ τὸ μαγειρεῖο ἢ ἀπὸ τὸ κελλάρι κρατώντας κάτι νὰ συναντῶ κάποιους πατέρες ἢ ἐπισήμους ἀνθρώπους· τί νὰ κάνω; Προσευχήσου ἐπίσης γιὰ νὰ λυτρωθῶ ἀπὸ τοὺς μολυσμοὺς ποὺ ἔχω.

Ἀπόκριση Βαρσανουφίου.

Ἐὰν πιστεύεις ὅτι μπορεῖ ὁ Θεὸς ἀπὸ τὶς ἄγονες πέτρες νὰ ἀναστήσει τέκνα στὸν Ἀβραὰμ καὶ ὅτι αὐτὸς ποὺ ἄνοιξε τὸ στόμα τῆς ὄνου, μπορεῖ νὰ ἀνοίξει καὶ τὸ δικό σου στόμα, νὰ σὲ σοφίσει, νὰ σὲ συνετίσει καὶ νὰ σὲ ἐνδυναμώσει, ὁ Θεὸς θὰ σοῦ τὰ δώσει ὅλα, ἀδελφέ. Δὲν γνωρίζεις τὰ πράγματα; Ἡ θύρα τοῦ κοινοβίου εἶναι θύρα τοῦ Θεοῦ καὶ γνωρίζει ὁ Θεός, ὅτι χρειάζεσαι, ὁ δοῦλος του ὁ θυρωρός, σοφία καὶ σύνεση, γνώση καὶ δύναμη, βοήθεια καὶ διάκριση· «διότι γνωρίζει», λέγει «ὁ οὐράνιος Πατέρας σας αὐτὰ ποὺ

1α. Ψαλμ. 24,18.
2. Α΄ Κορ. 15,10.

ὧν χρείαν ἔχετε, πρὸ τοῦ αἰτῆσαι αὐτόν». Ἐὰν καρτερήσῃς καὶ ὑπομείνῃς, μακαρία ἔσται ἡ ψυχή σου.

Ὅταν δὲ συμβῇ ἐρχόμενον ἢ καὶ βαστάζοντα τίποτε, ἀπαντῆσαί τισι τῶν πατέρων ἢ τῶν μεγάλων τοῦ κόσμου, ἀταράχως θὲς ὃ βαστάζεις, καὶ δέξαι αὐτοὺς μετὰ ταπεινώσεως καὶ φόβου Θεοῦ· καὶ ὁ Θεὸς ποιήσει σου τὴν ἀπάντησιν εἰς δόξαν τοῦ ὀνόματος αὐτοῦ καὶ εἰς οἰκοδομὴν πάντων, εὐχαῖς ἁγίων. Ἀμήν.

Περὶ δὲ τῶν μολυσμῶν, ἐὰν ταπεινωθῇ ἡ καρδία σου, ἡγουμένου σεαυτὸν γῆν καὶ σποδόν, μετὰ Θεὸν σκεπάζει σε ἡ ταπείνωσις.

ΤΞΑ'

Ἀδελφὸς ἠρώτησε τὸν ἄλλον γέροντα λέγων.

Εἰπέ μοι, πάτερ, τίνα δεῖ ἐρωτᾶν περὶ τῶν λογισμῶν· καὶ εἰ χρὴ περὶ τῶν αὐτῶν ἄλλῳ προσάγειν τὴν ἐρώτησιν.

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐρωτᾶν δεῖ, εἰς ὃν ἔχεις πίστιν καὶ ἔμαθες ὅτι δύναται βαστάσαι λογισμοὺς καὶ πιστεῦσαι αὐτῷ ὡς τῷ Θεῷ. Τὸ δὲ ἐρωτῆσαι ἄλλον τὸν αὐτὸν λογισμόν, ἀπιστίας ἐστὶ καὶ πειρασμοῦ· ἐὰν γὰρ ἔχῃς ὅτι ὁ Θεὸς ἐλάλησε τῷ ἁγίῳ αὐτοῦ, τίς χρεία πειρασμοῦ; ἢ τίς χρεία πειρᾶσαι τὸν Θεόν, τὸ αὐτὸ ἄλλον ἐρωτῶντα;

ΤΞΒ'

Ἐρώτησις

Καὶ ἐὰν ἐπιμείνῃ ὁ λογισμὸς θλίβων τινὰ μετὰ τὴν ἀπόκρισιν τῶν πατέρων;

---

3. Ματθ. 6,8.

χρειάζεσθε, πρὶν τοῦ τὰ ζητήσετε»[3]. Ἐὰν δείξεις καρτερία καὶ ὑπομονή, θὰ εἶναι μακάρια ἡ ψυχή σου.

Ὅταν συμβεῖ, ἐνῶ βαδίζεις ἢ ἐνῶ βαστάζεις κάτι, νὰ συναντήσεις κάποιους ἀπὸ τοὺς πατέρες ἢ ἀπὸ τοὺς μεγάλους τοῦ κόσμου, ἄφησε κάτω ἀτάραχα αὐτὸ ποὺ κρατᾶς καὶ ὑποδέξου τους μὲ ταπείνωση καὶ φόβο Θεοῦ. Καὶ ὁ Θεὸς θὰ κάνει τὴ συνάντηση πρὸς δόξα τοῦ ὀνόματός του καὶ πρὸς οἰκοδομὴ ὅλων μὲ τὶς εὐχὲς τῶν ἁγίων. Γένοιτο.

Ὅσο γιὰ τοὺς μολυσμούς, ἐὰν ταπεινωθεῖ ἡ καρδιά σου, θεωρώντας τὸν ἑαυτό σου γῆ καὶ στάχτη, ἡ ταπείνωση θὰ σὲ σκεπάσει μαζὶ μὲ τὴ βοήθεια τοῦ Θεοῦ.

361

Ἀδελφὸς ἐρώτησε τὸν ἄλλο γέροντα, λέγοντας.

Πές μου, πάτερ, ποιόν πρέπει νὰ ἐρωτῶ γιὰ τοὺς λογισμοὺς καὶ ἐὰν πρέπει νὰ ὑποβάλλω σὲ ἄλλον τὴν ἐρώτηση γιὰ τὰ ἴδια.

Ἀπόκριση Ἰωάννη.

Πρέπει νὰ ἐρωτᾶς ὅποιον ἔχεις ἐμπιστοσύνη καὶ ἔμαθες ὅτι μπορεῖ νὰ βαστάξει τοὺς λογισμοὺς καὶ νὰ τὸν πιστέψεις ὅπως τὸ Θεό. Τὸ νὰ ἐρωτήσεις ἄλλον γιὰ τὸν τὸν ἴδιο λογισμό, εἶναι γνώρισμα ἀπιστίας καὶ πειρασμοῦ· διότι, ἐὰν γνωρίζεις ὅτι ὁ Θεὸς μίλησε στὸν ἅγιό του, ποιά ἡ ἀνάγκη πειρασμοῦ; ἢ γιατί πρέπει νὰ πειράξεις τὸ Θεό, ἐρωτώντας ἄλλον γιὰ τὸ ἴδιο πρᾶγμα;

362

Ἐρώτηση

Καὶ ἂν ἐπιμείνει ὁ λογισμὸς νὰ θλίβει κάποιον μετὰ τὴν ἀπόκριση τῶν πατέρων;

Ἀπόκρισις Ἰωάννου.

Αργὸς ἔμεινεν ὅτι ἀκούσας οὐ καθαρῶς οὐδὲ ἐπιμελῶς ἐποίησε τὸ προσταχθὲν αὐτῷ· καὶ ὀφείλει ἀνακαλέσασθαι τὸ σφάλμα καὶ ποιήσει καθαρῶς, εἴ τι ἤκουσεν· ἐὰν γὰρ ὁ Θεὸς ᾖ ὁ λαλῶν ἐν τοῖς ἁγίοις, οὐ ψεύδεται.

ΤΞΓ'

Ἐρώτησις

Ἆρα δὲ τὸν αὐτὸν χρὴ περὶ αὐτοῦ ἐκ δευτέρου ἐρωτᾶν ἢ οὔ; Οἶδα, πάτερ, ὅτι ἐρρέθη μοι μὴ ποιῆσαι πρᾶγμα· καὶ ἠρώτησα, πάτερ, τὸν αὐτὸν περὶ τοῦ αὐτοῦ καὶ ἐρρέθη μοι ποιῆσαι τὸ πρᾶγμα· καὶ τί ἐστι τοῦτο;

Ἀπόκρισις Ἰωάννου.

Αδελφέ, «τὰ κρίματα τοῦ Θεοῦ ἄβυσσος πολλή»· πρὸς τὴν καρδίαν τοῦ ἐρωτῶντος, ὁ Θεὸς ἐμβάλλει εἰς τὸ στόμα τοῦ λαλοῦντος αὐτῷ ἢ πρὸς δοκιμὴν ἢ ὅτι ἡ καρδία αὐτοῦ ἠλλάγη καὶ ἀξιοῦται ἀκοῦσαι ἄλλως· ἢ γοῦν ἄλλοι τινὲς ἀλλάσονται ὄντες ἐν τῷ αὐτῷ πράγματι καὶ δι' αὐτοὺς ἄλλως ὁ Θεὸς λαλεῖ ἐν τῷ ἁγίῳ αὐτοῦ. Καθὼς διὰ Ἡσαΐου ἐλάλησε πρὸς Ἐζεκίαν τὸν βασιλέα· μεθ' ὃ γὰρ εἶπεν αὐτῷ, «διάθου τὰ κατὰ σέ, ὅτι ἀποθνήσκει», ἠλλάγη ἡ καρδία τοῦ βασιλέως καὶ ἐλυπήθη. Καὶ διὰ τούτου πάλιν τοῦ Ἡσαΐου εἶπεν αὐτῷ· «ἰδοὺ προσέθηκεν ὁ Θεὸς εἰς τὴν ζωήν σου ἄλλα ἔτη δεκαπέντε». Εἰ οὖν ἐλάλησε δι' ἄλλου, εἶχεν ἂν τὸ πρᾶγμα σκάνδαλον, ὅτι ἄλλως λαλοῦσιν οἱ ἅγιοι.

Καὶ πάλιν πρὸς τὴν καρδίαν τῶν Νινευϊτῶν ἐλάλησε διὰ Ἰωνᾶ καὶ εἶπεν· ὅτι «μετὰ τρεῖς ἡμέρας καταστρέφω τὴν πό-

Ἀπόκριση Ἰωάννη.

Ἔμεινε ἀργός, διότι, ἂν καὶ ἄκουσε, δὲν ἔκανε οὔτε μὲ καθαρότητα οὔτε μὲ ἐπιμέλεια ἐκεῖνο ποὺ τοῦ προστάχθηκε. Ὀφείλει ν' ἀνακαλέσει τὸ σφάλμα καὶ νὰ κάνει καθαρά, ὅ,τι ἄκουσε, διότι, ἐὰν αὐτὸς ποὺ ὁμιλεῖ στοὺς ἁγίους εἶναι ὁ Θεός, δὲν λέγει ψέματα.

363

Ἐρώτηση

Ἄραγε πρέπει νὰ ἐρωτᾶ κανεὶς τὸν ἴδιο γιὰ τὸ ἴδιο πρᾶγμα δεύτερη φορὰ ἢ ὄχι; Γνωρίζω, πάτερ, ὅτι μοῦ λέχθηκε νὰ μὴ κάνω κάτι· καὶ ἐρώτησα, πάτερ, τὸν ἴδιο γιὰ τὸ ἴδιο πρᾶγμα καὶ μοῦ λέχθηκε νὰ τὸ κάνω. Τί σημαίνει αὐτό;

Ἀπόκριση Ἰωάννη.

Ἀδελφέ, «τὰ κρίματα τοῦ Θεοῦ εἶναι μεγάλη ἄβυσσος»[4]· ὁ Θεὸς βάζει στὸ στόμα ἐκείνου ποὺ τοῦ ὁμιλεῖ λόγια ἀνάλογα μὲ τὴν καρδιὰ αὐτοῦ ποὺ ἐρωτᾶ ἢ γιὰ δοκιμὴ ἢ διότι ἡ καρδιά του ἄλλαξε καὶ ἀξιώνεται ν' ἀκούσει διαφορετικά· μερικοὶ ἄλλοι δηλαδὴ ἀλλάζουν, ἐνῶ εἶναι στὸ ἴδιο πρᾶγμα, καὶ γι' αὐτὸ ὁ Θεὸς ὁμιλεῖ διαφορετικὰ στὸν ἅγιό του. Ὅπως μίλησε μὲ τὸν Ἠσαΐα πρὸς τὸν βασιλιὰ Ἐζεκία· διότι μ' αὐτὸ ποὺ τοῦ εἶπε, «ρύθμισε τὶς ὑποθέσεις σου, διότι πεθαίνεις», ἄλλαξε ἡ καρδιὰ τοῦ βασιλιᾶ καὶ λυπήθηκε. Καὶ μ' αὐτὸν πάλι τὸν Ἠσαΐα τοῦ εἶπε· «νά, ὁ Θεὸς πρόσθεσε στὴ ζωή σου ἄλλα δεκαπέντε χρόνια»[5]. Ἐὰν λοιπὸν μιλοῦσε μὲ ἄλλον, θὰ σκανδάλιζε τὸ πρᾶγμα, ὅτι οἱ ἅγιοι μιλοῦν διαφορετικά.

Καὶ πάλι μὲ τὸν Ἰωνᾶ μίλησε στὴν καρδιὰ τῶν Νινευϊτῶν καὶ εἶπε· «μετὰ ἀπὸ τρεῖς μέρες θὰ καταστρέψω τὴν πόλη»· καὶ

---

4. Ψαλμ. 35,7.
5. Ἠσ. 38,5.

λιν»· καὶ ὅτε ἠλλάγη εἰς μετάνοιαν ἡ καρδία αὐτῶν, ἔδειξεν ὁ Θεὸς τὴν πολλὴν αὐτοῦ μακροθυμίαν καὶ ἀφῆκε τὴν πόλιν, ὅτι ἠλλάγη εἰς ἀγαθόν. Καὶ διὰ τοῦτο οὐκ ὀφείλει τις ποτὲ ἀλλάξαι τὸν ἐρωτώμενον ἅγιον, ἀλλ᾽ αὐτὸν πάλιν ἐρωτᾶν· μήποτε χρεία γένηται, ἵνα ἀλλάξῃ ὁ Θεὸς τὴν ἀπόκρισιν προφάσεως γινομένης καὶ γίνεται δι᾽ αὐτοῦ, ἵνα μὴ εὑρεθῇ σκάνδαλον.

ΤΞΔ'

Ἐρώτησις *αὐτοῦ.*

Δέσποτα, εἶχον πρᾶγμα μετά τινος καὶ ἦν ἀνάγκη, ἵνα ἀπέλθω μετ᾽ αὐτοῦ πρὸς τὸν ἄρχοντα· καὶ ἔλαβον γνώμην τῶν πατέρων περὶ τοῦ πράγματος καὶ ἐρρέθη μοι, τί ἀπερχόμενος ὀφείλω ποιῆσαι. Καὶ ἐποίησα, ὡς νομίζω, τὴν δύναμίν μου, μὴ παρεξελθεῖν τὰ ῥηθέντα μοι παρ᾽ αὐτῶν· καὶ μὴ εὑρίσκων ὅτι ἀπαντᾷ μοι τὸ πρᾶγμα, κατὰ τὴν ἀπόκρισιν ἐθλιβόμην πάνυ καὶ οὐκ ᾔδειν, τί ποιήσω. Παρεξελθεῖν; ἐφοβούμην τὴν παρακοήν· ἐπιμεῖναι; οὐχ εὕρισκον τὴν ἔκβασιν ὁμοίαν τῇ ἀποκρίσει. Τί ἐστι τοῦτο, πάτερ; καὶ τί ἐχρῆν με ποιῆσαι ἢ λογίσασθαι εἰς τοσαύτην ἀπορίαν ἐμπεσόντα καὶ ἀνάγκην; μή τι δὴ τὸ ἁμάρτημα ἐξ ἐμοῦ ἦν καὶ ἐλάνθανέ με;

Ἀπόκρισις *Ἰωάννου.*

Πλησιάζει αὕτη ἡ ἀπόκρισις τῇ πρώτῃ. Πῶς; ἄκουσον. Ἔλαβες ἀπόκρισιν περὶ πράγματος, ὅτι 'τάδε ποίησον', καὶ εὗρες ἐναντίωσιν. Πρῶτον μὲν μέμψασθαι σεαυτὸν ὀφείλεις, μήποτε ἡδύνθη ἡ καρδία σου ἐν τῷ πράγματι καὶ διὰ τοῦτο οὐκ ἀφῆκας τὸ πᾶν τῷ Θεῷ· καὶ διὰ τοῦτο οὐκ ἀφῆκεν ὁ Θεὸς γενέσθαι τὸ πρᾶγμα κατὰ τὴν ἀπόκρισιν τῶν πατέρων· καὶ παρὰ σοῦ γίνεται ἡ αἰτία, σὺ δὲ ἐπιγράφεις τῇ ἀποκρίσει αὐτῶν. Ἐλισσαῖος γὰρ ἔπεμψε τὸν μαθητὴν αὐτοῦ

ὅταν ἡ καρδιά τους ἄλλαξε καὶ μετανόησαν, ὁ Θεὸς ἔδειξε τὴ μεγάλη του μακροθυμία καὶ ἄφησε τὴν πόλη, διότι ἄλλαξε πρὸς τὸ ἀγαθό. Γι' αὐτὸ δὲν πρέπει κανεὶς νὰ ἀλλάξει ποτὲ τὸν ἐρωτώμενο ἅγιο, ἀλλὰ νὰ ἐρωτᾶ πάλι τὸν ἴδιο, μὴ τυχὸν χρειασθεῖ νὰ ἀλλάξει ὁ Θεὸς τὴν ἀπόκριση, ἂν ὑπάρξει πρόφαση, καὶ γίνεται μ' αὐτόν, γιὰ νὰ μὴ δημιουργηθεῖ σκάνδαλο.

364

Ἐρώτηση τοῦ ἰδίου.

Δέσποτα, εἶχα μὲ κάποιον μιὰ ὑπόθεση καὶ ἦταν ἀνάγκη νὰ πάω μ' αὐτὸν στὸν ἄρχοντα· καὶ πῆρα τὴ γνώμη τῶν πατέρων γιὰ τὸ πρᾶγμα καὶ ὅταν ἔφυγα μοῦ λέχθηκε τί πρέπει νὰ κάνω. Καὶ ἔβαλα, ὅπως νομίζω, τὴ δύναμή μου νὰ μὴ παραβῶ αὐτὰ ποὺ μοῦ εἰπώθηκαν ἀπὸ αὐτούς. Ἐπειδὴ ὅμως δὲν ἔβρισκα νὰ μὲ ἱκανοποιεῖ τὸ πρᾶγμα, κατὰ τὴν ἀπόκριση θλιβόμουν πολὺ καὶ δὲν ἤξερα τί νὰ κάνω. Νὰ παρεκκλίνω; φοβόμουν τὴν παρακοή. Νὰ ἐπιμείνω; δὲν ἔβρισκα τὸ ἀποτέλεσμα ὅμοιο μὲ τὴν ἀπόκριση. Τί σημαίνει αὐτό, πάτερ, καὶ τί ἔπρεπε να κάνω ἢ νὰ σκεφτῶ πέφτοντας σὲ τόση ἀπορία καὶ ἀνάγκη; Μήπως ἡ ἁμαρτία ἦταν ἀπὸ μένα καὶ μοῦ διέφευγε;

Ἀπόκριση Ἰωάννη.

Αὐτὴ ἡ ἀπόκριση μοιάζει μὲ τὴν πρώτη. Πῶς; ἄκουσε. Πῆρες ἀπάντηση γιὰ ἕνα πρᾶγμα ποὺ σοῦ ἔλεγε, 'κάνε αὐτό', καὶ βρῆκες ἐμπόδιο. Πρῶτον ὀφείλεις νὰ κατηγορήσεις τὸν ἑαυτό σου, μήπως ἡ καρδιά σου εὐχαριστήθηκε μὲ τὸ πρᾶγμα καὶ γι' αὐτὸ δὲν ἐμπιστεύθηκες τὸ πᾶν στὸ Θεο· καὶ γι' αὐτὸ δὲν ἄφησε ὁ Θεὸς νὰ γίνει τὸ πρᾶγμα σύμφωνα μὲ τὴν ἀπόκριση τῶν πατέρων. Ἔτσι ἡ αἰτία δημιουργεῖται ἀπὸ σένα, κι ἐσὺ τὴν ἀποδίδεις στὴν ἀπόκριση αὐτῶν. Διότι ὁ Ἐλισσαῖος ἔστειλε τὸν μαθητή του ν' ἀναστήσει νεκρὸ καὶ δὲν

ἐγεῖραι νεκρὸν καὶ οὐκ ἠγέρθη· ἀλλ' οὐχ ἡ αἰτία τοῦ πέμψαντος, ἀλλὰ τοῦ πεμφθέντος· ἐπεί, πῶς αὐτὸς ὕστερον ἤγειρεν αὐτόν; Ὀφείλεις οὖν ποιῆσαι τὴν δύναμίν σου φυλάξαι γενέσθαι κατὰ τὴν ἀπόκρισιν· ἐὰν δὲ μὴ ἀπαντήσῃ γενέσθαι κατ' αὐτήν, μάθε ὅτι ἀλλαγὴ ἐγένετο εἰς ἓν τῶν μερῶν, καὶ διὰ τοῦτο ὁ Θεὸς ἀλλάσσει τὰ τῆς ἀποκρίσεως.

Οἷόν τι λέγω. Χρεωστεῖ σοί τις δέκα νομίσματα καὶ οὐκ εὐπορεῖ πάντα δοῦναι. Καὶ ἠρώτησας γέροντα, 'τί ἀπαιτήσω αὐτῷ;' καὶ εἶπε, 'κατὰ δίκαιον τὰ δέκα'· καὶ τοῦτο ἐπληροφορήθη ὁ γέρων εἰπεῖν σοι τὸ μὴ συγχωρῆσαι αὐτῷ, ἐπειδὴ ἦν σκληροκάρδιος. Ἀκούσας δὲ ὅτι μέλλει ἀπαιτεῖσθαι αὐτά, μετεμελήθη, καὶ ἐδεήθη τοῦ Θεοῦ λέγων, 'Δεσπότα, οὐκ ἔχω δύναμιν ἀποδοῦναι τὰ δέκα, ἀλλὰ πληροφόρησον τὸν ἄρχοντα μὴ ἀναγκάσαι με ἀποδοῦναι εἰς τὸ πλῆρες, καὶ σπουδάζω ἀρέσαι σοι τὸ λοιπὸν τῆς ζωῆς μου'. Καὶ ὁ εὔσπλαγχνος Θεὸς ἀλλάσσει τὸ κρῖμα, καὶ σὺ οὐκ οἶδας. Λοιπὸν τότε, ἐπειδὴ οὐκ ἔστιν ἐγγύς σου τῇ σαρκὶ ὁ ἐρωτηθεὶς παρὰ σοῦ, δεήθητι τοῦ Θεοῦ ὀνομάζων τὸν αὐτὸν γέροντα καὶ λέγων· 'ὁ Θεὸς τοῦδε, μὴ ἐάσῃς με πλανηθῆναι τοῦ θελήματός σου, μηδὲ τῆς ἀποκρίσεως τοῦ δούλου σου, ἀλλὰ πληροφόρησόν με τί ποιήσω'· καὶ εἴ τι πληροφορεῖ σε, ποίησον, πιστεύων ὅτι ὁ Θεὸς διὰ τοῦ ἁγίου αὐτοῦ ἐλάλησέ σοι καὶ ὁδηγεῖ σε, εἰδὼς ὅτι πάντως ἐναλλαγή τις ἐγένετο, καὶ διὰ τοῦτο ὁ Θεὸς ἤλλαξε τὰ τῆς ἀποκρίσεως.

ΤΞΕ'

Ἐρώτησις

Δέσποτά μου, ποσάκις δεῖ προσεύξασθαι, ἵνα πληροφορηθῇ ὁ λογισμὸς περὶ τούτου;

ἀναστήθηκε· ἀλλὰ ἡ αἰτία δὲν ἦταν αὐτοῦ ποὺ ἔστειλε, ἀλλὰ ἐκείνου ποὺ στάλθηκε· διότι ἀλλιῶς, πῶς ὁ ἴδιος τὸν ἀνέστησε ὕστερα; Ὀφείλεις λοιπὸν νὰ καταβάλεις ὅλη τὴ δύναμή σου νὰ φυλάξεις τὴν ἀπόκριση, ὥστε νὰ γίνει σύμφωνα μ' αὐτή· ἐὰν ὅμως συμβεῖ νὰ μὴ γίνει σύμφωνα μ' αὐτή, μάθε ὅτι ἔγινε ἀλλαγὴ σὲ ἕνα ἀπὸ τὰ μέρη καὶ γι' αὐτὸ ὁ Θεὸς ἀλλάζει τὰ σχετικὰ μὲ τὴν ἀπόκριση.

Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Σοῦ χρωστᾶ κάποιος δέκα νομίσματα καὶ δὲν ἔχει νὰ σοῦ τὰ δώσει ὅλα. Ἐρώτησες κάποιο γέροντα, 'τί νὰ τοῦ ζητήσω;' καὶ σοῦ εἶπε, 'τὰ δέκα, σύμφωνα μὲ τὸ δίκαιο'. Καὶ αὐτὸ πληροφορήθηκε ὁ γέροντας νὰ σοῦ πεῖ, γιὰ νὰ μὴ τὸν συγχωρήσεις, ἐπειδὴ ἦταν σκληρόκαρδος. Ὅταν ὅμως ἐκεῖνος ἄκουσε ὅτι πρόκειται νὰ τοῦ τὰ ἀπαιτήσεις αὐτά, μεταμελήθηκε, καὶ παρακάλεσε τὸ Θεὸ λέγοντας· 'Δέσποτα, δὲν ἔχω δύναμη νὰ δώσω τὰ δέκα, ἀλλὰ πληροφόρησε τὸν ἄρχοντα νὰ μὴ μὲ ἀναγκάσει νὰ τὰ δώσω ὅλα, καὶ θὰ φροντίσω τὴν ὑπόλοιπη ζωή μου νὰ σοῦ γίνω ἀρεστός'. Καὶ ὁ εὔσπλαγχνος Θεὸς ἀλλάζει τὸ κρῖμα, καὶ ἐσὺ δὲν τὸ γνωρίζεις. Τότε λοιπόν, ἐπειδὴ αὐτὸς ποὺ ἐρωτήθηκε ἀπὸ σένα δὲν εἶναι κοντά σου σωματικῶς, παρακάλεσε τὸ Θεὸ ὀνομάζοντας τὸν ἴδιο γέροντα καὶ λέγοντας· 'ὁ Θεὸς τοῦ τάδε, μὴ μὲ ἀφήσεις νὰ πλανηθῶ ἀπὸ τὸ θέλημά σου, οὔτε ἀπὸ τὴν ἀπόκριση τοῦ δούλου σου, ἀλλὰ πληροφόρησέ με τί νὰ κάνω'· καὶ ὅ,τι σὲ πληροφορήσει, νὰ τὸ κάνεις, πιστεύοντας ὅτι ὁ Θεὸς σοῦ μίλησε μὲ τὸν ἅγιό του καὶ σὲ ὁδηγεῖ, γνωρίζοντας ὅτι ὁπωσδήποτε ἔγινε κάποια ἀλλαγή, καὶ γι' αὐτὸ ὁ Θεὸς ἄλλαξε τὰ σχετικὰ μὲ τὴν ἀπάντηση.

365

Ἐρώτηση

Δέσποτά μου, πόσες φορὲς πρέπει νὰ προσεύχομαι, γιὰ νὰ πληροφορηθεῖ ὁ λογισμὸς γι' αὐτό.

Ἀπόκρισις

Οταν οὐ δύνασαι ἐρωτῆσαι τὸν γέροντα, τρίτον δεῖ εὔξασθαι περὶ παντὸς πράγματος· καὶ μετὰ ταῦτα θεωρῆσαι ποῦ ῥέπει ἡ καρδία, κἂν ἕως τριχός, καὶ τοῦτο ποιῆσαι. Δήλη γάρ ἐστιν ἡ πληροφορία, καὶ πάντως φαίνεται τῇ καρδίᾳ.

ΤΞS'

Ἐρώτησις τοῦ αὐτοῦ.

Τὸ εὔξασθαι τρίτον πῶς χρή, ἐν διαφόροις καιροῖς, ἢ ἐν τῇ αὐτῇ ὥρᾳ; ἐπειδὴ συμβαίνει μηδὲ ὑπέρθεσιν ἔχειν τὸ πρᾶγμα.

Ἀπόκρισις Ἰωάννου.

Εὰν ἔχῃς ἄνεσιν καιροῦ, εἰς τρεῖς ἡμέρας τὸ τρίτον εὖξαι· ἐὰν δὲ ἔπειξις ᾖ, κατὰ τὴν ὥραν τῆς παραδόσεως τοῦ Σωτῆρος, ὃ δυσχερῶς γίνεται, ἔχε αὐτὸν τύπον, ὅτι ἀπελθὼν τρίτον, τὸν αὐτὸν εἶπε λόγον εὐχόμενος, καὶ εἰ κατὰ τὸ φαινόμενον οὐκ εἰσηκούσθη, ἐπειδὴ ἔδει γενέσθαι πάντως τὴν οἰκονομίαν· διδάσκει γὰρ ἡμᾶς ἐκ τούτου μὴ λυπῆσθαι ὅταν εὐχώμεθα, καὶ πρὸς τὸ παρὸν μὴ εἰσακουώμεθα. Αὐτὸς γὰρ περισσότερον ἡμῶν οἶδε τὸ συμφέρον· τῆς δὲ εὐχαριστίας μὴ ἀποστῶμεν.

ΤΞΖ'

Τοῦ αὐτοῦ.

Ἐὰν μετὰ τὴν προσευχὴν χρονίσῃ ἐλθεῖν ἡ πληροφορία, τί δεῖ ποιῆσαί με; ἐὰν δὲ καὶ παρὰ τὴν ἐμὴν αἰτίαν ᾖ καὶ κέκρυπται ἀπ' ἐμοῦ τοῦτο, πόθεν καταλάβω;

Ἀπόκριση

Όταν δὲν μπορεῖς νὰ ἐρωτήσεις τὸν γέροντα, πρέπει νὰ προσεύχεσαι τρεῖς φορὲς γιὰ κάθε πρᾶγμα· καὶ μετὰ ἀπὸ αὐτὸ νὰ δεῖς πρὸς τὰ ποῦ ρέπει ἡ καρδιά, ἔστω καὶ μία τρίχα, καὶ αὐτὸ νὰ κάνεις. Διότι εἶναι φανερὴ ἡ πληροφορία, καὶ ὁπωσδήποτε φαίνεται στὴν καρδιά.

366

Ἐρώτηση τοῦ ἰδίου.

Τὸ νὰ προσεύχομαι τρεῖς φορές, πῶς πρέπει, σὲ διάφορους καιροὺς ἢ τὴν ἴδια ὥρα; Ἐπειδὴ συμβαίνει νὰ μὴ μπορεῖ νὰ νὰ γίνει μετάθεση τοῦ πράγματος.

Ἀπόκριση Ἰωάννη.

Ἐὰν ἔχεις ἄνεση χρόνου, σὲ τρεῖς μέρες νὰ προσεύχεσαι τρεῖς φορές· ἐὰν εἶναι βιαστικό, κατὰ τὴν ὥρα τῆς παραδόσεως τοῦ Σωτῆρος, πρᾶγμα τὸ ὁποῖο γίνεται δύσκολα, ἔχε αὐτὸν τὸν ἴδιο ὡς τύπο· διότι, ἀφοῦ ἀπομακρύνθηκε τρεῖς φορὲς καὶ προσευχήθηκε, εἶπε τὸν ἴδιο λόγο, ἔστω κι ἂν φαινομενικὰ δὲν εἰσακούσθηκε, ἐπειδὴ ἔπρεπε νὰ γίνει ὁπωσδήποτε ἡ θεία οἰκονομία· μᾶς διδάσκει δηλαδὴ μ' αὐτὸ νὰ μὴ λυπόμαστε, ὅταν προσευχόμαστε, καὶ δὲν εἰσακουόμαστε πρὸς τὸ παρόν. Διότι αὐτὸς γνωρίζει τὸ συμφέρον περισσότερο ἀπὸ μᾶς. Ὁπωσδήποτε ὅμως νὰ μὴ ἀπομακρυνθοῦμε ἀπὸ τὴν εὐχαριστία.

367

Τοῦ ἰδίου.

Ἐὰν μετὰ τὴν προσευχὴ ἀργήσει νὰ ἔλθει ἡ πληροφορία, τί πρέπει νὰ κάνω; Ἐὰν πάλι εἶναι ἀπὸ δική μου αἰτία, καὶ αὐτὸ ἔχει κρυφτεῖ ἀπὸ μένα, ἀπὸ ποῦ θὰ τὸ καταλάβω;

Ἀπόκρισις

Ἐὰν μετὰ τὴν τρίτην προσευχὴν μὴ ἔλθῃ σοι ἡ πληροφορία, γίνωσκε, ὅτι παρὰ σέ ἐστιν ἡ αἰτία· καὶ εἰ μὴ φανερωθῇ σοι τὸ σφάλμα, μέμψαι σεαυτόν, καὶ ἐλεεῖ σε ὁ Θεός.

ΤΞΗ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Πῶς ὀφείλει τις διακεῖσθαι ἐρωτῶν τοὺς πατέρας; ἆρα τὰς ἐρωτήσεις, ἃς ἐρωτᾷ, ἀπαραβάτως χρεωστεῖ ἐπιτελέσαι;

Ἀπόκρισις *Ἰωάννου.*

Οὐ πάσας, ἀλλὰ τὰς κατ' ἐντολὴν αὐτῷ παρεχομένας· ἄλλο γάρ ἐστιν 'ἁπλῆ κατὰ Θεὸν συμβουλή', καὶ ἄλλο 'ἐντολή'. Ἡ συμβουλὴ νουθεσία ἐστὶ χωρὶς ἀνάγκης, δεικνύουσα τῷ ἀνθρώπῳ τὴν εὐθεῖαν ὁδὸν τῆς ζωῆς· ἡ δὲ ἐντολὴ ἀπαράβατον ἔχει ζυγόν.

ΤΞΘ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Εἶπας μοι, πάτερ, τὴν διαφορὰν τῆς ἐντολῆς καὶ τῆς κατὰ Θεὸν συμβουλῆς· εἰπέ μοι καὶ τὰ ἑκάστης σύμβολα, καὶ πόθεν γνωρίζονται· καὶ τίς ἑκατέρας αὐτῶν ἡ δύναμις.

Ἀπόκρισις *Ἰωάννου.*

Ἐὰν αὐτὸς προσέρχῃ πατρὶ πνευματικῷ ἐρωτῶν περὶ πράγματος, οὐχ ὡς θέλων ἐντολὴν λαβεῖν, ἀλλὰ κατὰ Θεὸν ἀπόκρισιν ἀκοῦσαι, καὶ ἐρρέθη σοι, τί δεῖ ποιῆσαι, ὀφείλεις καὶ οὕτω πάντως φυλάξαι· κἂν ποιήσας δὲ πει-

Ἀπόκριση

Ἐὰν δὲ σοῦ ἔλθει ἡ πληροφορία μετὰ τὴν τρίτη προσευχή, κατάλαβε ὅτι ἡ αἰτία εἶναι ἀπὸ σένα· καὶ ἐὰν δὲν σοῦ φανερωθεῖ τὸ σφάλμα, κατάκρινε τὸν ἑαυτό σου, καὶ ὁ Θεὸς θὰ σὲ ἐλεήσει.

368

Ἐρώτηση τοῦ ἰδίου.

Πῶς πρέπει κανεὶς νὰ ἐνεργεῖ ὅταν ἐρωτᾶ τοὺς πατέρες; ἄραγε τὶς ἀπαντήσεις στὶς ἐρωτήσεις ποὺ κάνει πρέπει νὰ τὶς ἐκτελεῖ ἀπαράβατα;

Ἀπόκριση Ἰωάννη.

Ὄχι ὅλες, ἀλλὰ ἐκεῖνες ποὺ τοῦ δίνονται μὲ ἐντολή· διότι ἄλλο εἶναι ἁπλὴ κατὰ Θεὸν συμβουλή, καὶ ἄλλο ἐντολή. Ἡ συμβουλὴ εἶναι νουθεσία χωρὶς ἀναγκασμό, ποὺ δείχνει στὸν ἄνθρωπο τὸν εὐθὺ δρόμο τῆς ζωῆς, ἐνῶ ἡ ἐντολὴ ἔχει ἀπαράβατο ζυγό.

369

Ἐρώτηση τοῦ ἰδίου.

Πάτερ, μοῦ εἶπες τὴ διαφορὰ τῆς ἐντολῆς καὶ τῆς κατὰ Θεὸν συμβουλῆς· πές μου καὶ τὰ σύμβολα τῆς καθεμιᾶς, καὶ ἀπὸ ποῦ καταλαβαίνονται· ἐπίσης ποιά εἶναι ἡ σημασία καὶ τῶν δύο.

Ἀπόκριση Ἰωάννη.

Ἐὰν σὺ πηγαίνεις σὲ πνευματικὸ πατέρα νὰ ἐρωτήσεις γιὰ κάποιο πρᾶγμα, ὄχι θέλοντας νὰ πάρεις ἐντολή, ἀλλὰ μὲ σκοπὸ ν' ἀκούσεις ἀπόκριση κατὰ Θεόν, καὶ σοῦ λέχθηκε τί πρέπει νὰ κάνεις, ὀφείλεις καὶ τότε ὁπωσδήπο-

ραθῇς ἐκ τούτου θλίψεως, μὴ ταραχθῇς, πρὸς τὸ συμφέρον γάρ σου γίνεται. Ἐὰν δὲ μὴ θελήσῃς ποιῆσαι, οὐκ ἔδοξας μὲν παραβαίνειν ἐντολήν, οὐ κατ' ἐντολὴν γὰρ ἔλαβες, ἀλλ' ἔδοξέ σοι παριδεῖν τὸ συμφέρον, καὶ καταγινώσκειν σεαυτοῦ ὀφείλεις ἐν τούτῳ.›

Χρὴ γὰρ ἔχειν, ὅτι πάντα τὰ ἐκπορευόμενα ἐκ στόματος τῶν ἁγίων πρὸς τὸ συμφέρον τῶν ἀκουόντων ἐστί· τὸ δ' αὐτό ἐστι κἄν, σοῦ μηδὲν ὅλως ἐρωτήσαντος, ἀφ' ἑαυτοῦ σοι εἶπε, τῷ κατὰ Θεὸν κινούμενος λογισμῷ, ὅπερ καί ποτε συνέβη. Τίς ποτε γὰρ τῶν γερόντων ἐζήτει εἰσελθεῖν ἐν τῇ πόλει, καὶ ἄλλος γέρων ἀφ' ἑαυτοῦ εἶπεν αὐτῷ, ὅτι, 'ἐὰν εἰσέλθῃς, πίπτεις εἰς πορνείαν'· καὶ παρακούσας εἰσῆλθε καὶ ἔπεσεν. Ἐὰν δὲ ἐρωτᾷς περὶ πράγματος εἰδικῶς, ἐντολὴν θέλω λαβεῖν, ὀφείλεις βαλεῖν μετάνοιαν καὶ παρακαλέσαι, ἵνα δοθῇ σοι ἐντολή· καὶ δοθείσης πάλιν βαλεῖν μετάνοιαν, ἵνα εὐλογήσῃ ὁ ταύτην σοι δούς, λέγων αὐτῷ· 'εὐλόγησόν με, πάτερ, ἐπάνω τῆς ἐντολῆς, καὶ εὖξαι ἵνα αὐτὴν φυλάξω'.

Τοῦτο δὲ μάθε, ἀδελφέ, ὅτι οὐκ ἀργῶς παρέχει ὁ παρέχων ἐντολήν, ἀλλὰ βοηθεῖ τῇ δεήσει καὶ ταῖς προσευχαῖς, ὅπως δυνηθῇς φυλάξαι. Ἐὰν δὲ κατὰ συναρπαγὴν μὴ βάλῃς αὐτῷ μετάνοιαν, ἵνα λάβῃς τὴν εὐλογίαν, μὴ νομίσῃς ἀργὴν εἶναι τὴν ἐντολήν· ἔρρωται γὰρ καὶ οὕτως, ἀλλ' ἀμόρφως καὶ ἀνακολούθως ἐδέξω αὐτήν. Καὶ ἐὰν δυνηθῇς κοπιάσαι, μὴ ὀκνήσῃς ἀπελθεῖν καὶ ἀνακαλέσασθαι τὴν μετάνοιαν καὶ τὴν εὐλογίαν· εἰ δὲ μὴ δύνῃ τοῦτο ποιῆσαι, ἔχε σεαυτὸν ὡς ἐν παραλείψει δεξάμενον τὴν ἐντολήν.

τε νὰ τὴ φυλάξεις. Καὶ ἂν τὴν ἐκτελέσεις καὶ δοκιμασθεῖς γι' αὐτὸ μὲ θλίψη, μὴ ταραχθεῖς, διότι γίνεται γιὰ τὸ συμφέρον σου. Ἐὰν ὅμως δὲ θελήσεις νὰ τὴν ἐκτελέσεις, δὲν φάνηκες βέβαια ὅτι παραβαίνεις τὴν ἐντολή, διότι δὲν ἔλαβες ἐντολή, ἀλλὰ φάνηκε ὅτι παραβλέπεις τὸ συμφέρον σου καὶ ὀφείλεις νὰ ἐπικρίνεις τὸν ἑαυτό σου γι' αὐτό.

Πρέπει δηλαδὴ νὰ γνωρίζεις ὅτι ὅλα αὐτὰ ποὺ βγαίνουν ἀπὸ τὸ στόμα τῶν ἁγίων εἶναι γιὰ τὸ συμφέρον αὐτῶν ποὺ τὰ ἀκοῦνε· τὸ ἴδιο συμβαίνει ἀκόμα καὶ ἄν, χωρὶς νὰ ἐρωτήσεις τίποτε, σοῦ εἶπε κάποιος γέροντας ἀπὸ μόνος του κάτι, κινούμενος ἀπὸ τὸν κατὰ Θεὸ λογισμό, πρᾶγμα ποὺ συνέβηκε κάποτε. Κάποιος δηλαδὴ ἀπὸ τοὺς γέροντες ζητοῦσε νὰ μπεῖ στὴν πόλη, καὶ ἄλλος γέροντας ἀπὸ μόνος του τοῦ εἶπε, 'ἐὰν μπεῖς, θὰ πέσεις σὲ πορνεία'· παρακούοντας αὐτὸς μπῆκε καὶ ἔπεσε σὲ πορνεία. Ἐὰν ὅμως ἐρωτᾶς εἰδικὰ γιὰ ἕνα πρᾶγμα, λέγοντας, 'θέλω νὰ πάρω ἐντολή', ὀφείλεις νὰ βάλεις μετάνοια καὶ νὰ παρακαλέσεις γιὰ νὰ σοῦ δοθεῖ ἐντολή· καὶ ἀφοῦ σοῦ δοθεῖ, πάλι νὰ βάλεις μετάνοια, γιὰ νὰ σὲ εὐλογήσει αὐτὸς ποὺ σοῦ τὴν ἔδωσε, λέγοντας σ' αὐτόν· 'εὐλόγησέ με, πάτερ, πάνω ἀπὸ τὴν ἐντολὴ καὶ προσευχήσου γιὰ νὰ τὴν φυλάξω'.

Ἀδελφέ, μάθε αὐτό, ὅτι αὐτὸς ποὺ δίνει ἐντολὴ δὲν σοῦ τὴν δίνει μένοντας αὐτὸς στὴ συνέχεια ἀργός, ἀλλὰ βοηθᾶ μὲ τὴ δέηση καὶ μὲ τὶς προσευχές, γιὰ νὰ μπορέσεις νὰ τὴ φυλάξεις. Ἐὰν ὅμως ἀπὸ συναρπαγὴ δὲν βάλεις μετάνοια σ' αὐτὸν γιὰ νὰ πάρεις τὴν εὐλογία, μὴ νομίσεις ὅτι ἡ ἐντολὴ εἶναι ἀργή· ἔχει ἀκόμα κι' ἔτσι δύναμη, ἀλλὰ ἐσὺ τὴ δέχθηκες ἀνάρμοστα καὶ ἀνακόλουθα. Καὶ ἂν μπορέσεις νὰ κοπιάσεις, μὴ διστάσεις νὰ μεταβεῖς καὶ νὰ ζητήσεις ἐκ τῶν ὑστέρων τὴ μετάνοια καὶ τὴν εὐλογία· ἐὰν ὅμως δὲν μπορέσεις νὰ τὸ κάνεις αὐτό, πίστευε μέσα σου, ὅτι δέχθηκες τὴν ἐντολὴ μὲ κάποια παράλειψη.

ΤΟ΄

Ἐρώτησις

Ἐὰν ἐγὼ μὲν ἐρωτήσω λαβεῖν ἐντολήν, ὁ δὲ γέρων οὐκ ἔχει σκοπὸν τοῦ δοῦναι· ἢ τὸ ἐναντίον, ἐγὼ μὲν οὐκ αἰτῶ λαβεῖν, αὐτὸς δὲ ἐντολὴν δίδωσιν, ἆρα λογίζεται εἰς ἐντολήν, καὶ δεῖ πάντως φυλάξαι; ἢ ἐπειδή εἰσι κανόνες ἐκκλησιαστικοὶ καὶ ῥήματα τῶν πατέρων ἐγγράφως κείμενα, ἆρα καὶ ταῦτα ὥσπερ τὴν ἐντολὴν ἀνάγκην ἔχομεν φυλάξαι;

Ἀπόκρισις *Ἰωάννου.*

Ἐὰν ἐρωτηθεὶς οὐκ ἔσχε σκοπὸν τοῦ δοῦναι ἐντολήν, οὐ λογίζεταί σοι εἰς ἐντολήν, εἰ καὶ σὺ τοῦτο ᾔτησας. Εἰ δὲ αὐτὸς ἐδοκίμασε δοῦναί σοι ἐντολήν, κἂν σὺ τοῦτο μὴ ᾔτησας, ἐντολή ἐστι καὶ χρεία φυλάξαι. Κἀκεῖνο δὲ ὡς ἐντολὴν δεῖ δέχεσθαι, ὅταν οἱ δογματικοὶ κανόνες τι ἀποφαίνονται ἢ πατέρων ἀπόκρισις ᾖ, ὡς ἐν ἀποφάσει ῥηθεῖσα, ἀλλὰ ταῦτα κατὰ ἐρώτησιν πατέρων βεβαίωσον τῷ σῷ λογισμῷ· οὐ πάντως γὰρ ὅτι ὀρθῶς νοεῖς τὴν τῶν ῥημάτων δύναμιν. Τῇ οὖν ἀποκρίσει αὐτῶν, καὶ ἐν τούτῳ μᾶλλον πείθου, καὶ φύλαξον ἀπαραβάτως, βοηθοῦντός σοι τοῦ φιλανθρώπου Θεοῦ, εὐχαῖς ἁγίων. Ἀμήν.

ΤΟΑ΄

Ἐρώτησις *αὐτοῦ.*

Ἐὰν πειρασθεὶς παραβῶ τὴν ἐντολήν, τί ποιήσω;

Ἀπόκρισις *Ἰωάννου.*

Ἐάν, λαβὼν τὴν ἐντολὴν παρὰ τῶν ἁγίων, παραβῇς αὐτήν, μὴ θορυβηθῇς μηδὲ ἀπελπίσῃς εἰς τὸ καταργῆσαι αὐτήν· ἀλλὰ μιμνήσκου τοῦ λέγοντος περὶ τοῦ δικαίου· ὅτι «ἑπτάκις τῆς ἡμέρας πίπτει καὶ ἐγείρεται»· καὶ τοῦ Κυρίου

6. Ἐδῶ ὁ ἅγιος ἐννοεῖ τοὺς κανόνες τῶν οἰκουμενικῶν καὶ τοπικῶν συνόδων καὶ κατὰ μέρος τῶν πατέρων.

7. Παρμ. 24,16.

370

Ἐρώτηση

Ἂν ἐγὼ ζητήσω νὰ πάρω ἐντολή, ὁ γέροντας ὅμως δὲν ἔχει σκοπὸ νὰ μοῦ δώσει, ἢ τὸ ἀντίθετο, ἐγὼ δὲν ζητήσω νὰ πάρω, καὶ αὐτὸς μοῦ δώσει ἐντολή, ἄραγε θεωρεῖται ἐντολή, καὶ πρέπει νὰ τὴν φυλάξω ὁπωσδήποτε; ἢ ὅταν εἶναι ἐκκλησιαστικοὶ κανόνες καὶ λόγια τῶν πατέρων ποὺ ὑπάρχουν ἐγγράφως, ἄραγε πρέπει νὰ τὰ φυλάξουμε καὶ αὐτὰ ὅπως τὴν ἐντολή;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν ἐρωτώμενος δὲν εἶχε σκοπὸ νὰ δώσει ἐντολή, δὲν θεωρεῖται γιὰ σένα ἐντολή, κι ἂν ἀκόμα τὸ ζήτησες ἐσύ. Ἐὰν ὅμως αὐτὸς ἔκρινε καλὸ νὰ σοῦ δώσει ἐντολή, κι ἂν ἀκόμα ἐσὺ δὲν τὸ ζήτησες, εἶναι ἐντολὴ καὶ πρέπει νὰ τὴ φυλάξεις. Καὶ πρέπει νὰ δέχεσαι σὰν ἐντολὴ καὶ ἐκεῖνο, ὅταν δηλαδὴ οἱ δογματικοὶ κανόνες[6] λέγουν κάτι ἢ εἶναι ἀπόκριση πατέρων ποὺ εἰπώθηκε σὰν ἀπόφαση· ἀλλὰ γι' αὐτὰ βεβαίωσε τὸν λογισμό σου μὲ ἐρώτηση πρὸς τοὺς πατέρες· διότι ὁπωσδήποτε δὲν καταλαβαίνεις ὀρθὰ τὸ νόημα τῶν λόγων. Δεῖχνε λοιπὸν ὑπακοὴ στὴν ἀπόκριση αὐτῶν, καὶ πρὸ πάντων σ' αὐτήν, καὶ φύλαγέ την ἀπαράβατα, καὶ ὁ φιλάνθρωπος Θεὸς σὲ βοηθᾶ μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

371

Ἐρώτηση τοῦ ἰδίου.

Ἐὰν παραβῶ τὴν ἐντολή, ἐπειδὴ πειράχθηκα, τί νὰ κάνω;

Ἀπόκριση Ἰωάννη.

Ἐάν, ἀφοῦ λάβεις ἐντολὴ ἀπὸ τοὺς ἁγίους, τὴν παραβεῖς, μὴ θορυβηθεῖς οὔτε ν' ἀπελπισθεῖς, ὥστε νὰ τὴν καταργήσεις· ἀλλὰ θυμήσου αὐτὸν ποὺ λέγει γιὰ τὸν δίκαιο, ὅτι «ἑπτὰ φορὲς τὴν ἡμέρα πέφτει καὶ σηκώνεται»[7], καὶ

λέγοντος τῷ Πέτρῳ, «ὅτι ἕως ἑβδομηκοντάκις ἑπτὰ συγχωρήσεις τῷ ἀδελφῷ σου». Εἰ οὖν ἀνθρώποις ἐνετείλατο οὕτω συγχωρεῖν, πόσῳ μᾶλλον αὐτὸς πλούσιος ὢν ἐν ἐλέει καὶ οἰκτιρμοῖς ὑπερνικῶν τὰ πάντα; ὁ διὰ τοῦ προφήτου καθ' ἑκάστην βοῶν, «ἐπιστρέψατε πρός με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς· ἐλεήμων γάρ εἰμι»; καὶ πάλιν, «καὶ νῦν, Ἰσραήλ»;

Βλέπε δέ, μή, ἀκούσας 'ὅτι οὐ καταργεῖται', ρᾳθυμήσῃς καὶ ἔλθῃς εἰς ἀμέλειαν, βαρὺ γὰρ τὸ πρᾶγμα τοῦτο· ἀλλὰ μηδὲ ἐπὶ τοῖς δοκοῦσι μικροῖς πράγμασι καταφρόνει τῆς ἐντολῆς, ἀλλὰ κἂν γένηται ἐν αὐτοῖς ἀμέλεια, σπούδασον διορθώσασθαι· ἀπὸ γὰρ τῆς τοιαύτης ρᾳθυμίας ἔρχεταί τις ἐπὶ τὰ μείζονα σφάλματα.

ΤΟΒ'

Τοῦ αὐτοῦ.

Ὑποβάλλει μοι ὁ λογισμὸς μὴ ἐρωτᾶν τοὺς ἁγίους, μήποτε, μαθὼν καὶ καταφρονήσας διὰ τὴν ἐμαυτοῦ ἀσθένειαν, ἁμάρτω.

***Ἀπόκρισις** Ἰωάννου.*

Οὗτος ὁ λογισμὸς δεινότατός ἐστι, μὴ ἀνάσχῃ αὐτοῦ· ἐὰν γὰρ μαθών τις ἁμάρτῃ, καταγινώσκει ἑαυτοῦ πάντως· ἐὰν δὲ μὴ μαθών τις ἁμάρτῃ, οὐδέποτε καταγινώσκει ἑαυτοῦ καὶ ἀνίατα εὑρίσκεται τὰ ἑαυτοῦ πάθη. Διὰ τοῦτο τοιαῦτά τινι ὑποβάλλει ὁ διάβολος, πρὸς τὸ μεῖναι ἀνίατα τὰ πάθη αὐτοῦ. Ὅταν δὲ ὑποβάλῃ σοι τοῦτο ὁ λογισμός, ὅτι 'οὐ δύνασαι πληρῶσαι τὴν ἀπόκρισιν διὰ τὴν ἀσθένειαν', τότε οὕτως ἐρώτα.

τὸν Κύριο ποὺ λέγει στὸν Πέτρο, «νὰ συγχωρήσεις τὸν ἀδελφό σου μέχρι ἑβδομήντα φορὲς τὸ ἑπτά»[8]. Ἐὰν λοιπὸν δόθηκε ἐντολὴ στοὺς ἀνθρώπους νὰ συγχωροῦν ἔτσι, πόσο μᾶλλον αὐτὸς ποὺ εἶναι πλούσιος σὲ ἔλεος καὶ ὑπερνικᾶ τὰ πάντα μὲ τοὺς οἰκτιρμούς; Αὐτὸς ποὺ φωνάζει μὲ τὸν προφήτη κάθε μέρα, «ἐπιστρέψτε σὲ μένα καὶ θὰ ἐπιστρέψω σὲ σᾶς· διότι εἶμαι ἐλεήμονας»[9]; καὶ πάλι, «καὶ τώρα, Ἰσραήλ»[10];

Πρόσεχε ὅμως μήπως, ἀκούοντας ὅτι δὲν καταργεῖται, ραθυμήσεις καὶ φθάσεις σὲ ἀμέλεια, διότι εἶναι βαρὺ αὐτὸ τὸ πρᾶγμα. Ἀλλὰ νὰ μὴ περιφρονεῖς τὴν ἐντολὴ οὔτε γιὰ πράγματα ποὺ φαίνονται μικρά, ἀλλὰ καὶ ἂν ἀκόμα δείξεις ἀμέλεια σ' αὐτά, φρόντισε νὰ τὰ διορθώσεις· διότι ἀπὸ αὐτὴ τὴ ραθυμία προχωρεῖ κανεὶς στὰ μεγαλύτερα σφάλματα.

372

Τοῦ ἰδίου.

Ὁ λογισμός μου ὑποβάλλει νὰ μὴ ἐρωτῶ τοὺς ἁγίους, μήπως, μαθαίνοντας ἀπὸ αὐτοὺς καὶ πρειφρονώντας τὰ λόγια τους ἐξαιτίας τῆς ἀδυναμίας μου, ἁμαρτήσω.

Ἀπόκριση Ἰωάννη.

Αὐτὸς ὁ λογισμὸς εἶναι φοβερώτατος καὶ μὴ τὸν ἀνέχεσαι· διότι, ἐὰν κάποιος ἁμαρτήσει καὶ τὸ μάθει, κατακρίνει ὁπωσδήποτε τὸν ἑαυτό του, ἐὰν ὅμως ἁμαρτήσει κάποιος καὶ δὲν τὸ μάθει, ποτὲ δὲν κατακρίνει τὸν ἑαυτό του καὶ μένουν ἀνίατα τὰ πάθη του. Γι' αὐτὸ ὁ διάβολος ὑποβάλλει σὲ κάποιον τέτοια σκέψη, γιὰ νὰ μείνουν ἀνίατα τὰ πάθη του. Ὅταν ὁ λογισμὸς σοῦ ὑποβάλλει αὐτό, ὅτι δηλαδὴ δὲν μπορεῖς νὰ πραγματοποιήσεις τὴν ἀπόφαση ἐξαιτίας τῆς

8. Ματθ. 18,22.
9. Ζαχ. 1,3.
10. Δευτ. 10,12.

'Επειδὴ θέλω τοῦτο ποιῆσαι, εἰπέ μοι, πάτερ, τί ἐστι τὸ συμφέρον· καὶ οἶδα μὲν ὅτι κἂν εἴπῃς μοι, οὐ δύναμαι ποιῆσαι καὶ φυλάξαι τὸ λεγόμενον, ἀλλὰ διὰ τοῦτο καὶ μόνον θέλω μαθεῖν, εἰς τὸ καταγινώσκειν ἐμαυτοῦ, ὅτι παρεῖδον τὸ συμφέρον'. Τοῦτο δὲ καὶ ταπείνωσίς σού ἐστίν.

Ὁ Κύριος φυλάξοι τὴν καρδίαν σου, εὐχαῖς ἁγίων. Ἀμήν.

ΤΟΓ'

Ἑτέρου.

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα λέγων, 'τί ἐστι ψευδώνυμος γνῶσις;'

***Ἀπόκρισις** Ἰωάννου.*

Ψευδώνυμος γνῶσίς ἐστι τὸ πιστεῦσαι τῷ ἰδίῳ λογισμῷ, ὅτι οὕτως ἔχει τὸ πρᾶγμα. Καὶ εἴ τις θέλει ἀπαλλαγῆναι τούτου, μὴ πιστευέτω τῷ ἰδίῳ λογισμῷ, ἀλλ' ἐρωτάτω γέροντα καί, ἐὰν ἀποκριθῇ ὁ γέρων καὶ εὑρεθῇ ἡ ἀπόκρισις αὐτοῦ ὡς ἐλογίζετο ὁ ἀδελφός, οὐδὲ τότε ὀφείλει πιστεῦσαι τῷ ἰδίῳ λογισμῷ, λέγων, 'ἐγὼ ὑπὸ δαιμόνων ἐχλευάσθην, ἵνα πεισθῶ τῷ λογισμῷ, ὅτι ἀληθινὴν ἔχω γνῶσιν καὶ πιστεύσαντά με καὶ εἰς ἄλλα φέρουσι κατακέφαλα. Ὁ γέρων γὰρ εἶπε τὴν ἀλήθειαν, ὅτι ἀπὸ Θεοῦ λαλεῖ· καὶ αὐτὸς οὐ χλευάζεται ὅλως ὑπὸ τῶν δαιμόνων'.

Ὡς εἶχον εἶπον τῷ ἀδελφῷ μου· λοιπὸν οὐκ οἶδα εἰ οὕτως ἔχει. Εὖξαι ὑπὲρ ἐμοῦ.

ΤΟΔ'

***Ἐρώτησις** ἑτέρου.*

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα, ὅτε βαροῦμαι ὑπὸ

ἀδυναμίας σου, τότε ἐρῶτα ὡς ἑξῆς. 'Ἐπειδὴ θέλω νὰ κάνω αὐτό, πές μου, πάτερ, ποιό εἶναι τὸ συμφέρον· καὶ γνωρίζω βέβαια ὅτι, κι ἂν ἀκόμα μοῦ πεῖς, δὲν μπορῶ νὰ κάνω καὶ νὰ φυλάξω τὸ λεγόμενο· ἀλλὰ θέλω νὰ μάθω γι' αὐτὸ καὶ μόνο, γιὰ νὰ κατακρίνω τὸν ἑαυτό μου, διότι παρέβλεψα τὸ συμφέρον'. Καὶ αὐτὸ εἶναι καὶ ταπείνωσή σου.

Εἴθε ὁ Κύριος νὰ φυλάξει τὴν καρδιά σου μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

373

Ἄλλου.

Ἀδελφὸς ἐρώτησε τὸν ἴδιο γέροντα, λέγοντας, τί εἶναι ψευδώνυμη γνώση;

Ἀπόκριση Ἰωάννη.

Ψευδώνυμη γνώση εἶναι τὸ νὰ πιστέψεις στὸ λογισμό σου, ὅτι ἔτσι ἔχει τὸ πρᾶγμα. Ἂν κανεὶς θέλει νὰ ἀπαλλαγεῖ ἀπὸ αὐτό, νὰ μὴ πιστεύει στὸ λογισμό του, ἀλλὰ νὰ ἐρωτᾶ τὸν γέροντα, καὶ ἂν ἀποκριθεῖ ὁ γέροντας καὶ συμβεῖ ἡ ἀπόκρισή του νὰ εἶναι ὅπως σκεπτόταν ὁ ἀδελφός, οὔτε τότε πρέπει νὰ πιστέψει στὸ λογισμό του, λέγοντας, 'ἐγὼ χλευάσθηκα ἀπὸ τοὺς δαίμονες, γιὰ νὰ ὑπακούσω στὸ λογισμό, ὅτι ἔχω ἀληθινὴ γνώση, καὶ ἀφοῦ πιστέψω νὰ μὲ ὁδηγήσουν κατακέφαλα καὶ σὲ ἄλλα'. Ὁ γέροντας εἶπε τὴν ἀλήθεια, διότι ὁμιλεῖ ἀπὸ τὸ Θεό· καὶ αὐτὸς δὲν χλευάζεται καθόλου ἀπὸ τοὺς δαίμονες.

Ἀπάντησα στὸν ἀδελφό μου ὅπως μποροῦσα· δὲν γνωρίζω ὅμως ἂν εἶναι ἔτσι. Προσευχήσου γιὰ μένα.

374

Ἐρώτηση ἄλλου.

Κάποιος ἀδελφὸς ἐρώτησε τὸν ἴδιο γέροντα· ὅταν βαρύ-

τῶν λογισμῶν καὶ παρακαλῶ τοὺς γέροντας εὔξασθαι ὑπὲρ ἐμοῦ καὶ ἀκούω τὰ παρ' αὐτῶν λεγόμενα, εὐθέως ἀναπαύεται ἡ ψυχή μου.

***Ἀπόκρισις** Ἰωάννου.*

Οταν χειμάζηται τὸ πλοῖον ὑπὸ τῶν κυμάτων, ἂν ἔχῃ κυβερνήτην, αὐτὸς διὰ τῆς δοθείσης αὐτῷ σοφίας ὑπὸ τοῦ Θεοῦ, σώζει τὸ πλοῖον καὶ εὐφραίνεται ὁ ἐπιβάτης σωζομένου τοῦ πλοίου· καὶ τὸν ἄρρωστον οὐ μετρίως εὐφραίνει ἡ μνήμη τοῦ ἰατροῦ, μάλιστα δὲ τὸ ἐπιτήδευμα. Καὶ τὸν κινδυνεύοντα ἐν τῇ ὁδῷ ὑπὸ τῶν ἐπερχομένων αὐτῷ ληστῶν, ἐνδυναμοῖ ἡ φωνὴ τῶν τηρητῶν, πόσῳ μᾶλλον ἡ παρουσία αὐτῶν. Καὶ εἰ ταῦτα οὕτως ἔχει, πόσον ὀφείλει παρέχειν εὐφροσύνην ἡ ἀπόκρισις τῶν πατέρων παντὶ τῷ ἀκούοντι; Μάλιστα ὅταν συγκεκέρασται τῇ ἐκτενεῖ προσευχῇ πρὸς τὸν εἰπόντα Θεόν, «εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε». Καὶ ὅταν οἰκειούμενοι τὸ πάθος τοῦ ἰδίου αὐτῶν μέλους, κράζουσι πρὸς τὸν Ἰησοῦν τὸν ἴδιον αὐτῶν Δεσπότην, λέγοντες μετὰ γλυκυτάτων δακρύων, «ἐπιστάτα, σῶσον ἡμᾶς, ἀπολλύμεθα», πῶς οὐκ ἀνύει εὐφροσύνην τῷ ἀκούοντι, εἰ «πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη»;

Μὴ οὖν ὀκνήσωμεν παρακαλέσαι αὐτούς, εὔξασθαι ὑπὲρ ἡμῶν· κἂν γὰρ ἡμεῖς ἀνάξιοι ὦμεν, ἀλλὰ λαμβάνει πρόσωπον τῶν δούλων αὐτοῦ, ὡς καὶ ἤδη ἐποίησε· «θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιήσει» καὶ τὰ λοιπά. Πολλάκις, ἀδελφέ, ἀκούσαντες λησταὶ τῶν ἀποκρίσεων καὶ τῆς φωνῆς τῶν δυνατωτέρων ἔφυγον· οὕτως, ὅταν ἀκούσωσιν οἱ νοητοὶ λησταὶ τῶν ἀποκρίσεων καὶ τῆς φωνῆς τῶν δυνατωτέρων, τῶν ἀκουσάντων παρὰ τοῦ Δεσπότου καὶ προστάτου αὐτῶν Ἰησοῦ, «θαρσεῖ-

---

11. Ἰακ. 5,16.
12. Ματθ. 8,25.

νομαι ἀπὸ τοὺς λογισμοὺς καὶ παρακαλῶ τοὺς γέροντες νὰ προσευχηθοῦν γιὰ μένα καὶ ἀκούω αὐτὰ ποὺ λέγουν ἀμέσως ἀναπαύεται ἡ ψυχή μου.

Ἀπόκριση Ἰωάννη.

Όταν τὸ πλοῖο χτυπιέται ἀπὸ τὰ κύματα, ἂν ἔχει κυβερνήτη, αὐτός, μὲ τὴ σοφία ποὺ τοῦ δόθηκε ἀπὸ τὸ Θεό, σώζει τὸ πλοῖο καὶ ὁ ἐπιβάτης, ὅταν σώζεται τὸ πλοῖο, εὐφραίνεται· καὶ τὸν ἄρρωστο δὲν τὸν εὐφραίνει καὶ λίγο ἡ μνήμη τοῦ γιατροῦ, καὶ μάλιστα τὸ φάρμακο. Καὶ αὐτὸν ποὺ κινδυνεύει στὸ δρόμο ἀπὸ τοὺς ληστὲς ποὺ ἔρχονται ἐναντίον του, τὸν ἐνδυναμώνει ἡ φωνὴ τῶν φυλάκων, καὶ πολὺ περισσότερο ἡ παρουσία αὐτῶν. Καὶ ἐὰν αὐτὰ ἔχουν ἔτσι, πόση εὐφροσύνη ὀφείλει νὰ παρέχει ἡ ἀπόκριση τῶν πατέρων στὸν καθένα ποὺ ἀκούει; Πρὸ πάντων ὅταν ἀναμιγνύεται μὲ τὴν ἐκτενῆ προσευχὴ πρὸς τὸ Θεὸ ποὺ εἶπε, «προσεύχεσθε ὁ ἕνας γιὰ τὸν ἄλλον γιὰ νὰ θεραπευθεῖτε»[11]. Καὶ ὅταν οἰκειούμενοι τὸ πάθος τοῦ δικοῦ τους μέλους, φωνάζουν πρὸς τὸν Ἰησοῦ τὸν Δεσπότη τους, λέγοντας μὲ γλυκύτατα δάκρυα, «ἐπιστάτη, σῶσε μας, χανόμαστε»[12], πῶς δὲν προξενεῖ εὐφροσύνη σ' ἐκεῖνον ποὺ ἀκούει, ὅτι «ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο ἔχει πολλὴ δύναμη»[13];

Ἂς μὴ ἀδιαφορήσουμε λοιπὸν νὰ τοὺς παρακαλέσουμε νὰ προσευχηθοῦν γιὰ μᾶς· διότι κι ἂν ἀκόμα ἐμεῖς εἴμαστε ἀνάξιοι, ὅμως παίρνει τὸ πρόσωπο τῶν δούλων του, ὅπως καὶ ἤδη ἔκαμε· διότι «θὰ κάνει τὸ θέλημα ἐκείνων ποὺ τὸν φοβοῦνται»[14] καὶ τὰ λοιπά. Πολλὲς φορές, ἀδελφέ, ἔφυγαν οἱ ληστὲς ἀκούοντας τὶς ἀπαντήσεις καὶ τὴ φωνὴ τῶν δυνατωτέρων. Ἔτσι καὶ οἱ νοητοὶ ληστές, ὅταν ἀκούσουν τὶς ἀποκρίσεις καὶ τὴ φωνὴ τῶν δυνατωτέρων, αὐτῶν ποὺ ἄκουσαν ἀπὸ τὸν Δεσπότη καὶ

---

13. Ἰακ. 5,16.
14. Ψαλμ. 144,19.

τε, ἐγὼ νενίκηκα τὸν κόσμον», καὶ πάλιν, «ἰδού, δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει», φεύγουσι μετὰ τρόμου αἰσχυνόμενοι.

Παρακαλέσωμεν οὖν τοὺς ἁγίους εὔξασθαι ὑπὲρ ἡμῶν, καὶ οἰκειοῦμεν αὐτοὺς ἑαυτοῖς· οὐ γὰρ μετρίως ὠφελούμεθα ἐκ τούτων. Εὖξαι οὖν καὶ ὑπὲρ ἐμοῦ, ἵνα κἀγὼ ποιήσω τοῦτο, ἐὰν μή μου κατακυριεύσῃ ἡ τῆς ἀριστερᾶς ἐργασία.

Ὁ Κύριος μετὰ σοῦ. Ἀμήν.

ΤΟΕ'

Τοῦ αὐτοῦ.

Ἐπειδὴ εἶπάς μοί ποτε, ὅτι καὶ ἐπὶ τῆς ἐρωτήσεως τῶν λογισμῶν, καὶ ἐπ' αὐτῶν δὲ τῶν πραγμάτων, ἡ ἐλευθερία καλή ἐστιν, εἰπέ μοι, πῶς γίνεται ἡ τῆς ἐρωτήσεως ἐλευθερία;

***Ἀπόκρισις** Ἰωάννου.*

Η ἐλευθερία ἐπὶ τῶν λογισμῶν ἐστι, τὸ τὸν ἐρωτῶντα γυμνῶσαι τελείως τὸν λογισμὸν τῷ ἐρωτωμένῳ, καὶ μὴ κρύψαι τι ἐξ αὐτοῦ, μήτε μὴν σχηματίσασθαί τι ἐντροπῆς ἕνεκα· μήτε ἐκ προσώπου ἄλλου εἰπεῖν αὐτόν, ἀλλ' ἐξ ἰδίου προσώπου καθὼς καί ἐστι· βλάπτει γὰρ μᾶλλον τὸ σχηματίσασθαι.

ΤΟΣ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Εἰπέ μοι, δέσποτα, ποταπή ἐστιν ἡ ἐν τοῖς πράγμασιν ἐλευθερία; καὶ πῶς δεῖ αὐτὴν κεχρῆσθαι;

---

15. Ἰω. 16,33.

προστάτη τους Ἰησοῦ, «ἔχετε θάρρος, ἐγὼ ἔχω νικήσει τὸν κόσμο»[15], καὶ πάλι, «νά, σᾶς ἔχω δώσει τὴν ἐξουσία νὰ πατᾶτε ἐπάνω σὲ φίδια καὶ σὲ σκορπιοὺς καὶ σὲ κάθε δύναμη τοῦ ἐχθροῦ καὶ τίποτε δὲ θὰ σᾶς βλάψει»[16], φεύγουν ντροπιασμένοι μὲ τρόμο.

Ἂς παρακαλέσουμε λοιπὸν τοὺς ἁγίους νὰ προσεύχονται γιὰ μᾶς καὶ ἂς τοὺς πλησιάζουμε, διότι ὠφελούμαστε πολὺ ἀπὸ αὐτούς. Προσευχήσου λοιπὸν καὶ γιὰ μένα, γιὰ νὰ τὸ κάνω καὶ ἐγὼ αὐτό, ἐὰν δὲν μὲ κατακυριεύσει ἡ ἐργασία τῆς ἀριστερᾶς.

Ὁ Κύριος νὰ εἶναι μαζί σου. Γένοιτο.

375

Τοῦ ἰδίου.

Ἐπειδὴ μοῦ εἶπες κάποτε, ὅτι ἡ ἐλευθερία εἶναι καλὴ καὶ στὴν ἐρώτηση τῶν λογισμῶν καὶ στὴν περίπτωση τῶν ἴδιων τῶν πραγμάτων, πές μου πῶς κατορθώνεται ἡ ἐλευθερία τῆς ἐρωτήσεως;

Ἀπόκριση Ἰωάννη.

Η ἐλευθερία στοὺς λογισμοὺς εἶναι τὸ νὰ γυμνώσει αὐτὸς ποὺ ἐρωτᾶ τὸν λογισμό του σ' ἐκεῖνον ποὺ κάνει τὴν ἐρώτηση καὶ νὰ μὴ κρύψει τίποτε ἀπὸ αὐτόν, οὔτε νὰ παραποιήσει κάτι ἀπὸ ντροπή· οὔτε νὰ τοῦ τὰ πεῖ τάχα ἐκ μέρους ἄλλου προσώπου, ἀλλὰ μὲ τὸ δικό του πρόσωπο, ὅπως καὶ εἶναι· διότι βλάπτει περισσότερο ἡ παραποίηση.

376

Ἐρώτηση τοῦ ἰδίου.

Πές μου, δέσποτα, τί λογῆς εἶναι ἡ ἐλευθερία στὰ πράγματα καὶ πῶς πρέπει νὰ τὴ χρησιμοποιοῦμε;

16. Λουκᾶ 10,19.

Ἀπόκρισις *Ἰωάννου.*

Ἐλευθερία ἐστὶν ἡ φανερῶς λεγομένη ἀλήθεια· τυχὸν γὰρ χρήζει τις τροφῆς, ἐνδύματος, ἢ καθόλου οἱουδήποτε πράγματος καὶ ὀφείλει λέγειν τῷ δυναμένῳ παρασχεῖν· δεῖ δὲ ταύτην τὴν ἐλευθερίαν γίνεσθαι πρὸς πρόσωπον μὴ σκανδαλιζόμενον εἰς αὐτήν· οὐ γὰρ πάντες οἰκοδομοῦνται ἐν αὐτῇ· ὁ γὰρ ἔχων διάκρισιν, οἰκοδομεῖται καὶ χαίρει· ὁ δὲ μὴ ὢν τοιοῦτος, σκανδαλίζεται. Ὀφείλει δὲ ὁ κεχρημένος αὐτῇ μὴ ἐμπαθῶς κεχρῆσθαι, πρὸς τὸ θεραπεῦσαι τὸ διενοχλοῦν αὐτῷ πάθος, ἀλλὰ πρὸς τὴν τῆς χρείας συμπλήρωσιν. Ἐὰν δὲ οὔτε τὸ πρόσωπον σκανδαλίζεται, οὔτε ὑποκέηται πάθος, καλὴ ἡ ἐλευθερία· προσέχειν δέ ἐστι μὴ ἐπί τινος ἑτέρου εὐχερῶς ἐν αὐτῇ σκανδαλιζομένου, κέχρηταί τις αὐτῇ, δυαντὸν ἰδίᾳ μᾶλλον ῥηθῆναι περὶ τοῦ ζητουμένου τῷ δυναμένῳ παρασχεῖν καὶ φυλάξαι τὸν λογισμὸν τοῦ ἀδελφοῦ ἀβλαβῆ. Ποτὲ γὰρ τυχὸν ὢν ἀπὸ κόπου χρήζεις τοῦ ταχύτερον γεύσασθαι καὶ ἀκούων τις σκανδαλίζεται ἢ καὶ περὶ πράγματος αἰτεῖς, καὶ οὐκ οἰκοδομεῖται ὁ ἀδελφός.

Καθὼς οὖν εἴρηται, καλή ἐστιν ἡ ἐλευθερία, ἐν φόβῳ Θεοῦ γενομένη. Ἐὰν γὰρ χρήζων πράγματος μὴ εἴπῃς, περιμένων ἐκεῖνον ἀφ᾽ ἑαυτοῦ ποιῆσαι, συμβαίνει ὅτι ἀγνοεῖ, ὅτι χρήζεις, ἢ εἰδὼς ἐπελάθετο ἢ καὶ δοκιμάσαι σε θέλων, τοῦτο ποιεῖ, εἰ ἔχεις ὑπομονήν, καὶ εὑρίσκῃ σκανδαλιζόμενος εἰς αὐτὸν καὶ ἁμαρτάνεις. Ἐὰν οὖν φανερῶς αὐτῷ εἴπῃς, οὐδὲν τούτων γίνεται. Προευτρέπισον δέ σου τὸν λογισμόν, ἵνα, ἐὰν αἰτήσας ὅπερ ζητεῖς μὴ λάβῃς, μὴ θλιβῇς ἢ σκανδαλισθῇς ἢ γογγύσῃς· ἀλλ᾽ εἰπὲ τῷ λογισμῷ, ‛ἢ οὐ δύναταί μοι παρασχεῖν ἢ οὐκ εἰμὶ ἄξιος ἐγώ, καὶ διὰ τοῦτο ὁ Θεὸς οὐ συνεχώρησεν αὐτῷ δοῦναι’. Καὶ βλέπε μὴ ἀποβλέπων εἰς τὴν γενομένην ἀποτυχίαν, διὰ τοῦτο

Ἀπόκριση Ἰωάννη.

Ελευθερία εἶναι ἡ ἀλήθεια ποὺ λέγεται φανερά. Ἐνδεχομένως δηλαδὴ νὰ χρειάζεται κάποιος τροφή, ἔνδυμα ἢ ὁποιοδήποτε ἄλλο πρᾶγμα καὶ ὀφείλει νὰ τὸ λέγει σ' ἐκεῖνον ποὺ μπορεῖ νὰ τοῦ δώσει. Καὶ πρέπει ἡ ἐλευθερία αὐτὴ νὰ γίνεται σὲ πρόσωπο ποὺ δὲν σκανδαλίζεται μ' αὐτή, διότι δὲν οἰκοδομοῦνται ὅλοι μ' αὐτή· ὅποιος ἔχει διάκριση οἰκοδομεῖται καὶ χαίρεται, ὅποιος ὅμως δὲν ἔχει σκανδαλίζεται. Καὶ πρέπει αὐτὸς ποὺ τὴ χρησιμοποιεῖ, νὰ μὴ τὴ χρησιμοποιεῖ ἐμπαθῶς γιὰ νὰ θεραπεύσει τὸ πάθος ποὺ τὸν ἐνοχλεῖ, ἀλλὰ γιὰ νὰ ἱκανοποιήσει τὴν ἀνάγκη. Ἐὰν ὅμως οὔτε τὸ πρόσωπο σκανδαλίζεται, οὔτε ὑφίσταται πάθος, ἡ ἐλευθερία εἶναι καλή. Πρέπει νὰ προσέχει κανεὶς νὰ μὴ τὴ χρησιμοποιεῖ μπροστὰ σὲ κάποιον ἄλλον ποὺ σκανδαλίζεται εὔκολα μ' αὐτήν, ἀλλὰ μᾶλλον ἂν εἶναι δυνατὸ νὰ λεχθεῖ γιὰ τὸ ζητούμενο πρᾶγμα ἰδιαιτέρως σ' ἐκεῖνον ποὺ μπορεῖ νὰ προστατεύσει καὶ νὰ φυλάξει ἀβλαβὴ τὸν λογισμὸ τοῦ ἀδελφοῦ. Διότι ἐνδεχομένως κάποτε ἀπὸ τὸν πολὺ κόπο χρειάζεσαι νὰ γευθεῖς τὸ γρηγορώτερο, καὶ ἀκούοντας κανεὶς σκανδαλίζεται, ἢ ζητᾶς κάποιο πρᾶγμα καὶ δὲν οἰκοδομεῖται ὁ ἀδελφός.

Ὅπως λοιπὸν ἔχει λεχθεῖ, ἡ ἐλευθερία εἶναι καλὴ ὅταν γίνεται μὲ φόβο Θεοῦ. Ἐὰν δηλαδή, ἐνῶ χρειάζεσαι ἕνα πρᾶγμα, δὲν τὸ ζητήσεις, περιμένοντας ἀπὸ ἐκεῖνον νὰ τὸ κάνει μόνος του, συμβαίνει ὅμως ἐκεῖνος ν' ἀγνοεῖ ὅ,τι χρειάζεσαι, ἢ κι ἂν τὸ γνωρίζει τὸ ξέχασε ἢ ἀδιαφορεῖ, θέλοντας νὰ σὲ δοκιμάσει, ἐὰν ἔχεις ὑπομονή, γίνεσαι αἰτία σκανδαλισμοῦ γι' αὐτὸν καὶ ἁμαρτάνεις. Ἐὰν λοιπὸν τοῦ τὸ πεῖς φανερά, τίποτα ἀπὸ αὐτὰ δὲν γίνεται. Προετοίμασε ὅμως τὸν λογισμό σου γιὰ νὰ μὴ θλιβεῖς ἢ σκανδαλισθεῖς ἢ δυσανασχετίσεις ἐὰν μετὰ τὴν αἴτησή σου δὲν πάρεις αὐτὸ ποὺ ζητᾶς· ἀλλὰ πὲς στὸ λογισμό, 'ἢ δὲν μπορεῖ νὰ μοῦ δώσει, ἢ ἐγὼ δὲν εἶμα ἄξιος, καὶ γι' αὐτὸ ὁ Θεὸς δὲν τοῦ ἐπέτρεψε νὰ μοῦ δώσει'. Καὶ πρόσεχε μήπως, ἀποβλέποντας στὴ γενόμενη ἀποτυχία, σταματήσεις γι' αὐτὸ

κόψῃς τὴν πρὸς αὐτὸν ἐλευθερίαν τοῦ μὴ ὅτε δήποτε ἡ χρεία σε ἀπαιτεῖ, πάλιν αἰτῆσαί τι παρ' αὐτοῦ, πανταχοῦ φυλάττων σαυτὸν ἐπὶ τῇ ἀποτυχίᾳ ἀτάραχον. Ἐὰν δὲ καὶ ἀφ' ἑαυτοῦ τις ἐρωτήσῃ σε περὶ οὗ χρῄζεις πράγματος καὶ οὕτως εἰπὲ τὴν ἀλήθειαν· κἂν συναρπαγεὶς εἴπῃς, 'οὐ χρῄζω', ἀνάλαβε σεαυτὸν καὶ εἰπέ· 'συγχώρησόν μοι, ὅτι ἠκοντίσθην, ἐπεὶ χρῄζω λαβεῖν'.

ΤΟΖ'

Τοῦ αὐτοῦ.

Τί οὖν ποιήσω, εἰ ἀμφιβάλλω, εἴ ἐστι πρόσωπον τῶν σκανδαλιζομένων ἐπὶ τῇ τοιαύτῃ ἐλευθερίᾳ;

***Ἀπόκρισις** Ἰωάννου.*

Δύνασαι δοκιμάσαι αὐτόν, εἰ σκανδαλίζεται ἢ μή. Ἐὰν γὰρ τυχὸν χρῄζῃς φαγεῖν, μὴ εἴπῃς αὐτῷ δός μοι, ἀλλὰ ὅτι βλέπω ἐμαυτὸν πεινῶντα διὰ τήνδε τὴν αἰτίαν· καὶ ἀκούων ἐκεῖνος φανερὸς γίνεται· καὶ ἐκ τούτου μανθάνεις αὐτοῦ τὴν προαίρεσιν, εἰ σκανδαλίζεται ἢ μή.

ΤΟΗ'

Ἐρώτησις

Καὶ πῶς ἐρωτηθεὶς ὁ μέγας Γέρων παρὰ τοῦ ἀδελφοῦ Ἰωάννου, εἰ ὀφείλει κόψαι τὰς ὀπώρας, τρώγειν ἐπέτρεψεν αὐτὸν μεταλαμβάνειν τῶν παρεχομένων αὐτῷ, οὐ μέντοι αἰτεῖν ἵνα λάβῃ; Δοκεῖ οὖν ἐνταῦθα κωλύειν αὐτὸν τῆς ἐλευθερίας.

Ἀπόκρισις

Ὁ λογισμὸς ὑποτίθεται τῷ ἀδελφῷ Ἰωάννῃ παντελῶς μὴ φαγεῖν. Καὶ ἐρωτηθεὶς ὁ μέγας Γέρων εἶπεν· ὅτι τοῦτο ἐκ τῶν δαιμόνων ὑπεβλήθη· καὶ βουλόμενος διελέγξαι

τὴν ἐλευθερία πρὸς αὐτόν, ὥστε νὰ μὴ ζητήσεις κάτι ἀπὸ αὐτὸν ὅταν κάποτε τὸ ἀπαιτεῖ ἡ ἀνάγκη, διατηρώντας πάντοτε τὸν ἑαυτό σου ἀτάραχο στὴν ἀποτυχία. Ἐὰν ὅμως καὶ ἀπὸ μόνος του σὲ ἐρωτήσει κάποιος γιὰ τὸ πρᾶγμα ποὺ χρειάζεσαι, πὲς τὴν ἀλήθεια καὶ τότε· καὶ ἂν αἰφνιδιασθεῖς καὶ πεῖς, 'δὲν χρειάζομαι', συγκέντρωσε τὸν ἑαυτό σου καὶ πές, 'συγχώρησέ με ποὺ μοῦ ξέφυγε· διότι ἔχω ἀνάγκη νὰ τὸ πάρω.

377

Τοῦ ἰδίου.

Τί νὰ κάνω λοιπόν, ἐὰν ἀμφιβάλλω, ὅτι εἶναι προσποιητὸς ὁ σκανδαλισμὸς γι' αὐτὴν τὴν ἐλευθερία;

Ἀπόκριση Ἰωάννη.

Μπορεῖς νὰ τὸν δοκιμάσεις, ἂν σκανδαλίζεται ἢ ὄχι. Διότι, ἐὰν τυχὸν χρειάζεσαι νὰ φᾶς, μὴ τοῦ πεῖς, 'δός μου', ἀλλὰ ὅτι 'βλέπω τὸν ἑαυτό μου νὰ πεινᾶ γιὰ αὐτὴ ἐδῶ τὴν αἰτία'· καὶ ἀκούοντας αὐτὸ ἐκεῖνος, γίνεται φανερός. Καὶ ἀπὸ αὐτὸ μαθαίνεις τὴν προαίρεσή του, ἐὰν σκανδαλίζεται ἢ ὄχι.

378

Ἐρώτηση

Πῶς ὁ μεγάλος Γέροντας, ὅταν ἐρωτήθηκε ἀπὸ τὸν ἀδελφὸ Ἰωάννη, ἐὰν ὀφείλει νὰ σταματήσει νὰ δέχεται τὰ ὀπωρικά, τοῦ ἐπέτρεψε νὰ τρώγει αὐτὰ ποὺ τοῦ δίνονται, ἀλλ' ὅμως νὰ μὴ ζητᾶ νὰ τοῦ δώσουν; Φαίνεται λοιπὸν ἐδῶ ὅτι τὸν ἐμποδίζει ἀπὸ τὴν ἐλευθερία.

Ἀπόκριση Ἰωάννη.

Ο λογισμὸς ὑπέβαλλε στὸν ἀδελφὸ Ἰωάννη νὰ μὴ τρώγει καθόλου. Ὅταν ἐρωτήθηκε ὁ μεγάλος Γέροντας εἶπε, ὅτι αὐτὸ ὑποβλήθηκε ἀπὸ τοὺς δαίμονες· θέλοντας λοι-

αὐτοὺς εἶπεν, ἀπὸ σαυτοῦ μὴ ζητήσῃς καὶ νοεῖς τὴν κακίαν τοῦ ἐχθροῦ· ὁ γὰρ λέγων σοι μηδὲ ὅλως φάγῃς, αὐτὸς ἔχει σοι ὑποθέσθαι γογγύζειν, ἐὰν μικρόν τί σοι δοθῇ, ἢ μηδὲ ὅλως δοθῇ. Τούτου οὖν χάριν οὕτως αὐτῷ ἀπεκρίνατο· ἄλλως τε δὲ ἐντολὴν ταύτην δέδωκεν· ὅπου δὲ οὐκ ἔστιν ἐντολή, τότε συμφέρει ἡ ἐλευθερία.

ΤΟΘ'

***Ἐρώτησις** πρὸς τὸν μέγαν.*

Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Γέροντα λέγων.

Δέομαί σου, κύριε ἀββᾶ, ἐπειδὴ πεπλησμένη ἐστὶν ἡ ψυχή μου καὶ ἀεὶ ἤθελόν σε παρακαλέσαι περὶ τούτου καὶ ἐφοβούμην λέγων, μήποτε οὐ ποιῶ καὶ πειράσω τὸ Πνεῦμα Κυρίου καὶ εἶπέ μοι ὁ ἀββᾶς, ὅτι πτῶσις μεγάλη ἐστὶ τῇ ψυχῇ τὸ μὴ ἐρωτῆσαι, δέομαί σου, ἵνα διὰ τὸν Κύριον εὔξῃ ὑπὲρ ἐμοῦ, καὶ δηλώσῃς μοι πῶς σωθῶ, καὶ συγχώρησόν μοι.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἀδελφέ, ὀψέποτε ἐξυπνίσθης, μεθ' ὃ προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές σου. Εἰ τοίνυν σωθῆναι θέλεις, μετανόησον καὶ κόψον τὰ θανάσιμα ἐκεῖνα· καὶ εἰπὲ μετὰ τοῦ Δαβίδ, «νῦν ἠρξάμην». Λοιπὸν ἀπὸ τῆς ἄρτι κόψον πάντα τὰ θελήματά σου καὶ τὰ δικαιώματά σου, τὴν καταφρόνησίν τε καὶ ἀμέλειαν, καὶ ἀντ' αὐτῶν κράτει ταπείνωσιν, ὑπακοήν, ὑποταγήν. Ἔχε δὲ σεαυτὸν ἐξουδενωμένον ἐν πᾶσι, καὶ σώζῃ.

Ἐὰν φυλάξῃς ταῦτα, ἔχεις φυλαχθῆναι ἀπὸ παντὸς κακοῦ, ἐὰν δὲ μή, σὺ ὄψει· ἀπαιτηθῆναι γὰρ ἔχεις ἐν τῇ ἡμέρᾳ τῇ φο-

πὸν νὰ τοὺς ἐλέγξει εἶπε, 'νὰ μὴ ζητήσεις ἀπὸ μόνος σου καὶ θὰ καταλάβεις τὴν κακία τοῦ ἐχθροῦ'· διότι, αὐτὸς ποὺ σοῦ λέγει νὰ μὴ φᾶς τίποτε, αὐτὸς μπορεῖ νὰ σὲ ὑποκινήσει νὰ γογγύζεις, ἐὰν σοῦ δοθεῖ λίγο, ἢ δὲν σοῦ δοθεῖ τίποτε. Γι' αὐτὸ λοιπὸν τοῦ ἀποκρίθηκε ἔτσι· ἀλλιῶς θὰ τοῦ ἔδινε σχετικὴ ἐντολή· καὶ ὅπου δὲν ὑπάρχει ἐντολή, τότε συμφέρει ἡ ἐλευθερία.

379

Ἐρώτηση πρὸς τὸν μεγάλο.

Ἀδελφὸς ἐρώτησε τὸν μεγάλο Γέροντα λέγοντας.

Σὲ παρακαλῶ, κύριε ἀββᾶ, ἐπειδὴ ἡ ψυχή μου εἶναι γεμάτη καὶ πάντα ἤθελα νὰ σὲ παρακαλέσω γι' αὐτὸ καὶ φοβόμουν, λέγοντας, μήπως δὲν ἐπιτελέσω τὴν παραγγελία καὶ πειράξω τὸ Πνεῦμα τοῦ Κυρίου, καὶ μοῦ εἶπε ὁ ἀββᾶς, 'τὸ νὰ μὴ ἐρωτῶ εἶναι μεγάλη πτώση γιὰ τὴν ψυχή', σὲ παρακαλῶ στὸ ὄνομα τοῦ Κυρίου νὰ προσευχηθεῖς γιὰ μένα καὶ νὰ μοῦ δηλώσεις πῶς θὰ σωθῶ, καὶ συγχώρεσέ με.

Απόκριση Βαρσανουφίου.

Αδελφέ, ἀργὰ ξύπνησες, ἀφοῦ βρώμησαν καὶ σάπησαν τὰ τραύματά σου[17]. Ἐὰν λοιπὸν θέλεις νὰ σωθεῖς, μετανόησε καὶ κόψε ἐκεῖνα τὰ θανάσιμα, καὶ πὲς μαζὶ μὲ τὸν Δαβίδ· «τώρα ἄρχισα»[18]. Λοιπόν, κόψε ἀπὸ τώρα ὅλα τὰ θελήματά σου καὶ τὰ δικαιώματά σου, τὴν καταφρόνηση καὶ τὴν ἀμέλεια, καὶ κράτησε ἀντὶ γι' αὐτὰ τὴν ταπείνωση, τὴν ὑπακοή, τὴν ὑποταγή. Νὰ ἔχεις τὸν ἑαυτό σου ἐξουθενωμένο σὲ ὅλα καὶ θὰ σωθεῖς.

Ἐὰν φυλάξεις αὐτά, μπορεῖς νὰ φυλαχθεῖς ἀπὸ κάθε κακό· ἐὰν ὄχι, ἐσὺ εἶσαι ὑπεύθυνος· διότι πρόκειται νὰ σοῦ απαιτη-

17. Ψαλμ. 37,6.
18. Ψαλμ. 76,11.

βερᾷ. Οὐκ ἄρτι μόνον ὅτε ἠρώτησας διὰ τὴν καταφρόνησιν κατακριθῆναι ἔχεις καὶ ἀπαιτηθῆναι ταῦτα πάντα, ἀλλὰ καὶ εἰς τὸ μέλλον. Λοιπὸν πρόσεχε σεαυτῷ καὶ μὴ ἀπολέσῃς τὸν μισθόν· μᾶλλον δὲ τὸν καιρόν, ἀμελῶν τῆς σεαυτοῦ σωτηρίας, ἣν ἀγαπᾷ Κύριος.

ΤΠ'

Τοῦ αὐτοῦ.

Τὸ κόψαι τὸ θέλημα, τί ἐστιν;

***Ἀπόκρισις** Ἰωάννου.*

Τοῦτο προκοπή ἐστι κατὰ Θεόν· τὸ δὲ κόψαι τὸ θέλημα τοῦτό ἐστιν, ἵνα ἐν μὲν τοῖς καλοῖς τὸ ἴδιον κόπτῃ τις θέλημα, τὸ δὲ τῶν ἁγίων ποιῇ· ἐν δὲ τοῖς κακοῖς καὶ ἀφ' ἑαυτοῦ φεύγῃ τὸ ἄτοπον.

ΤΠΑ'

Ἐρώτησις

Ὅταν περὶ λεπτῶν λογισμῶν ἐρωτῶ, ὑψηλοφρονεῖ μου ὁ λογισμός, ὡς ἀκριβευόμενος περὶ τῶν τοιούτων.

Ἀπόκρισις

Εὰν θέλῃς περὶ λεπτῶν λογισμῶν ἐρωτᾶν τινας τῶν πατέρων καὶ μὴ ὑψηλοφρονεῖν, μιμνήσκου, ὅτι ἀπαιτεῖ πρῶτον ὁ ἄνθρωπος τὴν διόρθωσιν τῶν μεγάλων λογισμῶν, τῶν ἀπαγορευθέντων παρὰ τοῦ Ἀποστόλου, πορνείας, ἀσελγείας, φθόνου καὶ τῶν τοιούτων, καὶ λοιπὸν τῶν λεπτῶν μὴ καταφρονεῖν. Ὁ γὰρ περὶ τῶν λεπτῶν σπουδάζων καὶ ἀμελῶν τῶν μεγάλων, ὅμοιός ἐστιν ἀνθρώπῳ ἔχοντι οἰκίαν ρερυπωμένην καὶ μεστὴν λοιπῶν ἀτίμων ὑλῶν, εἰς δὲ τὸ μέσον

θοῦν κατὰ τὴ φοβερὴ ἡμέρα· ὄχι δηλαδὴ μόνο τώρα ποὺ ἐρώτησες γιὰ τὴν καταφρόνηση μπορεῖ νὰ κατακριθεῖς καὶ νὰ σοῦ ἀπαιτηθοῦν ὅλα αὐτά, ἀλλὰ καὶ στὸ μέλλον. Πρόσεχε λοιπὸν τὸν ἑαυτό σου καὶ μὴ χάσεις τὴν ἀμοιβή, ἢ καλύτερα τὸν καιρό, ἀμελώντας τὴ σωτηρία σου, τὴν ὁποία ἀγαπᾶ ὁ Κύριος.

380

Τοῦ ἰδίου.

Τί σημαίνει τὸ ‘νὰ κόψεις τὸ θέλημα’;

Ἀπόκριση Ἰωάννη.

Αὐτὸ εἶναι προκοπὴ κατὰ Θεό· τὸ νὰ κόψεις τὸ θέλημα σημαίνει αὐτό, νὰ κόβει κανεὶς τὸ θέλημά του στὰ καλά, καὶ νὰ κάνει τὸ θέλημα τῶν ἁγίων· καὶ στὰ κακὰ νὰ ἀποφεύγει μόνος του τὸ ἄτοπο.

381

Ἐρώτηση

Ὅταν ἐρωτῶ γιὰ λεπτοὺς λογισμούς, ὑψηλοφρονεῖ ὁ λογισμός μου, ἐπειδὴ λεπτολογῶ γιὰ τέτοια πράγματα.

Ἀπόκριση

Ἐὰν θέλεις νὰ ἐρωτᾶς μερικοὺς ἀπὸ τοὺς πατέρες γιὰ τοὺς λεπτοὺς λογισμοὺς καὶ νὰ μὴ ὑψηλοφρονεῖς, θυμήσου ὅτι ἀπὸ τὸν ἄνθρωπο ἀπαιτεῖται πρῶτα ἡ διόρθωση τῶν μεγάλων λογισμῶν, ποὺ ἀπαγορεύθηκαν ἀπὸ τὸν Ἀπόστολο, τῆς πορνείας, τῆς ἀσέλγειας, τοῦ φθόνου καὶ τῶν παρόμοιων λογισμῶν· καὶ ἔπειτα νὰ μὴ περιφρονεῖς τοὺς λεπτούς. Διότι ἐκεῖνος ποὺ φροντίζει γιὰ τοὺς λεπτοὺς καὶ ἀμελεῖ τοὺς μεγάλους εἶναι ὅμοιος μὲ ἄνθρωπο ποὺ ἔχει τὸ σπίτι του

αὐτῶν ἔχουσαν λεπτὰ ἄχυρα· καὶ δοκῶν καθαρίζειν αὐτήν, ἤρξατο ἐπαίρειν τὰ ἄχυρα ἀπὸ τῆς οἰκίας καὶ ἀφῆκε τοὺς λίθους καὶ τὰς ἄλλας ὕλας, εἰς ἃς προσκόπτει.

Ἐὰν οὖν ἐπάρῃ τὰ ἄχυρα, οὐδεμίαν εὐμορφίαν λαμβάνει ἡ οἰκία· ἐὰν δὲ ἐπάρῃ τοὺς λίθους καὶ τὰς ὕλας, τότε οὐδὲ τὰ ἄχυρα δύναται ἐᾶσαι, ἀμορφίαν γὰρ ποιοῦσι τῇ οἰκίᾳ. Καὶ τοῦτο ὁ Σωτὴρ ἡμῶν ὠνείδισε τοὺς Φαρισαίους καὶ Σαδδουκαίους, λέγων αὐτοῖς· «οὐαὶ ὑμῖν, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, ἅπερ ἦν ἀναγκαῖον ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι».

ΤΠΒ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐὰν ἐρωτήσῃ τις γέροντα περὶ πράγματος καὶ εἴπῃ ὁ γέρων, ὅτι 'τόδε γίνεται'· εἶτα ὑπὸ τῆς φαινομένης τῶν πραγμάτων δυσκολίας καὶ ἐναντιότητος διστάζει, ἆρα ἐκ τούτου κατακρίνεται ὡς ἄπιστος;

Ἀπόκρισις

Ἐὰν ᾖ ὁ ἐρωτήσας ἀγωνιστής, ἀνακαλεῖται τὴν ἑαυτοῦ ἀπιστίαν· πιστεύων ὅτι οὐ ψεύδεται τὸ Πνεῦμα τὸ ἅγιον τὸ λαλοῦν ἐν τῷ στόματι τῶν ἁγίων αὐτοῦ, ὡς θέλει. Φησὶ γάρ· «ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ»· ἐὰν γὰρ οὐ πιστεύῃ, ὅτι ὁ Θεός ἐστιν ὁ λαλῶν ἐν τῷ στόματι τοῦ ἐρωτηθέντος, ὁ τοιοῦτος ἄπιστός ἐστι, καὶ ἐξ ἀρχῆς κατακέκριται· εἰ δὲ πιστεύων διστάζει, ἔστι διορθωθῆναι αὐτόν, ἀκούσαντα τοῦ Ἐκλησιαστοῦ λέγοντος· «ἑπτάκις τῆς ἡμέρας πίπτει ὁ δίκαιος καὶ ἐγείρεται».

---

19. Ματθ. 23,23.
20. Ψαλμ. 59,8.

ἀκάθαρτο καὶ γεμᾶτο ἀπὸ ἄχρηστα ὑλικά, καὶ στὴ μέση τους ἔχει λεπτὰ ἄχυρα· καὶ θελοντας νὰ τὸ καθαρίζει, ἄρχισε νὰ ἀπομακρύνει τὰ ἄχυρα ἀπὸ τὸ σπίτι καὶ ἄφησε τὶς πέτρες καὶ τὰ ἄλλα ὑλικά, στὰ ὁποῖα σκοντάφτει.

Ἐὰν λοιπὸν ἀπομακρύνει τὰ ἄχυρα, τὸ σπίτι δὲν ἀποκτᾶ καμμιὰ ὀμορφιά· ἐὰν ὅμως ἀπομακρύνει τὶς πέτρες καὶ τὰ ὑλικά, τότε δὲν μπορεῖ νὰ ἀφήσει οὔτε τὰ ἄχυρα, διότι δημιουργοῦν ἀμορφία στὸ σπίτι. Γι' αὐτὸ ὁ Σωτήρας μας κατηγόρησε τοὺς Φαρισαίους καὶ Σαδδουκαίους, λέγοντάς τους· «ἀλλοίμονό σας, διότι δίνετε τὸ δέκατο ἀπὸ τὸ δυόσμο, τὸν ἄνηθο καὶ τὸ κύμινο, καὶ ἀφήσατε τὰ βαρύτερα τοῦ νόμου· καὶ αὐτὰ ἔπρεπε νὰ τὰ κάμνετε, καὶ ἐκεῖνα νὰ μὴ τὰ παραμελεῖτε»[19].

382

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν κάποιος ἐρωτήσει τὸν γέροντα γιὰ κάτι καὶ πεῖ ὁ γέροντας νὰ γίνει αὐτό, ἔπειτα ἐκεῖνος διστάζει ἀπὸ τὴν φαινομενικὴ δυσκολία καὶ ἐναντιότητα τῶν πραγμάτων, ἄραγε ἀπὸ αὐτὸ κατακρίνεται σὰν ἄπιστος;

Ἀπόκριση

Ἐὰν αὐτὸς ποὺ ἐρώτησε εἶναι ἀγωνιστής, ἀπομακρύνει τὴν ἀπιστία του, πιστεύοντας ὅτι δὲν ψεύδεται τὸ ἅγιο Πνεῦμα ποὺ ὁμιλεῖ μὲ τὸ στόμα τῶν ἁγίων του, ὅπως θέλει. Διότι λέγει· «ὁ Θεὸς μίλησε στὸν ἅγιό του»[20]. Ἐὰν δηλαδὴ δὲν πιστεύει ὅτι ὁ Θεὸς εἶναι αὐτὸς ποὺ ὁμιλεῖ μὲ τὸ στόμα τοῦ ἐρωτηθέντος, αὐτὸς εἶναι ἄπιστος καὶ ἀπὸ τὴν ἀρχὴ ἔχει κατακριθεῖ· ἂν ὅμως, ἐνῶ πιστεύει, διστάζει, εἶναι δυνατὸν νὰ διορθωθεῖ, ἀκούοντας τὸν Ἐκκλησιαστὴ ποὺ λέγει· «ἑπτὰ φορὲς τὴν ἡμέρα πέφτει καὶ σηκώνεται ὁ δίκαιος»[21].

---

21. Παρμ. 24,16.

Καὶ πάλιν προσέχειν δεῖ, ὅτι πολλάκις ὁ Θεὸς διὰ τῶν θείων Γραφῶν ἐλάλησε περὶ τῶν δούλων αὐτοῦ· καὶ κατὰ τὸ φαινόμενον, τὰ ἐναντία ἀπέβη αὐτοῖς. Οἷον, εἶπεν ὁ Θεός, «τοὺς δοξάζοντάς με, δοξάσω». Καὶ εὑρίσκομέν τινας τῶν ἁγίων ἕως τῆς τελευτῆς ἐν ἀτιμίαις καὶ θλίψεσι πολλαῖς διατελέσαντας· δυνάμεθα οὖν εἰπεῖν, ὅτι τούτους οὐκ ἐδόξασεν ὁ Θεός; Καὶ μὴν σφόδρα ὑπερεδόξασεν αὐτούς, ἀλλ' οἱ μὴ βλέποντες τοῖς ὀφθαλμοῖς τῆς καρδίας, οὐχ ὁρῶσιν αὐτῶν τὴν δόξαν.

Διὰ ταύτης γὰρ τῆς ὑπομονῆς ὁ Ἰὼβ ὑπερεδοξάσθη, καίτοι τοῖς ἀνθρωπίνοις τῶν φίλων αὐτοῦ ὀφθαλμοῖς ἐνομίσθη κατ' ἀξίαν ταῦτα πάσχειν· ἀλλ' ὕστερον ἤκουσε παρὰ τῆς θείας φωνῆς, «οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος;».

Καὶ Λάζαρος δὲ ὁ πένης, ὁ ἐν τῷ πυλῶνι τοῦ πλουσίου κείμενος ἐν καταφρονήσει πολλῇ καὶ θλίψει σώματος, πάνυ ἐδόξασε τὸν Θεὸν διὰ τῆς ὑπομονῆς. Καὶ ἐπειδὴ εἴπομεν, ὅτι ὁ Θεὸς τοὺς δοξάζοντας αὐτὸν δοξάζει, τὰ ἐναντία ἐδόκει ἀποβαίνειν τῷ Λαζάρῳ, μείναντι ἐν πολλαῖς θλίψεσιν ἕως θανάτου· ἀλλ' ὕστερον ἐφανερώθη πῶς ἐδόξασεν αὐτὸν ὁ Θεός, βαλὼν ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ.

Τί δὲ ἔχομεν εἰπεῖν περὶ τοῦ ἁγίου Παύλου, τοῦ ἀξιωθέντος τῆς θεωρίας αὐτοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἀκούσαντος τὴν θείαν αὐτοῦ φωνὴν (περὶ οὗ ἐμαρτύρησεν ὁ Θεός, ὅτι «ἔσται σκεῦος ἐκλογῆς»), καὶ ἁρπαγέντος εἰς τοὺς οὐρανούς, καὶ ἀκούσαντος τὴν θείαν αὐτοῦ φωνήν, καὶ τὰ ἄρρητα ῥήματα, ἃ οὐδεὶς ἤκουσε; Καὶ ὅμως ὁ τοιοῦτος ἐχαλάσθη δεύτερον διὰ σπυρίδος καὶ σαργάνης. Ἆρα οὐκ ἦν τοῦτο τοῖς ἀπίστοις καὶ ἀδιακρίτοις ὡς ἄξιον σκανδάλου; Καίτοι ὁ αὐτὸς Παῦλος ἦν ὁ τῆς θείας χάριτος ἀξιωθείς. Τοῦτο δὲ ἐγένετο εἰς δοκιμὴν πολλῶν, εἰ μένουσι τὴν τοιαύτην πίστιν ἔχοντες ἐν τῷ Ἀποστόλῳ. Οὕτω καὶ

---

22. Α' Βασ. 2,30.
23. Ἰὼβ 40,8.

Καὶ πάλι πρέπει νὰ προσέχει, διότι ὁ Θεὸς πολλὲς φορὲς μίλησε διὰ τῶν θείων Γραφῶν γιὰ τοὺς δούλους του, καὶ φαινομενικὰ συνέβηκαν τὰ ἀντιθετα σ' αὐτούς. Γιὰ παράδειγμα, ὁ Θεὸς εἶπε, «θὰ δοξάσω αὐτοὺς ποὺ μὲ δοξάζουν»[22]. Βρίσκουμε ὅμως μερικοὺς ἀπὸ τοὺς ἁγίους νὰ ζοῦν μέχρι τὸ θάνατο μέσα σὲ πολλὲς ἀτιμώσεις καὶ θλίψεις· μποροῦμε λοιπὸν νὰ ποῦμε, ὅτι αὐτοὺς δὲν τοὺς δόξασε ὁ Θεός· καὶ ὅμως τοὺς δόξασε πάρα πολύ, ἀλλὰ αὐτοὶ ποὺ δὲν βλέπουν μὲ τὰ μάτια τῆς καρδιᾶς, δὲν βλέπουν τὴ δόξα τους.

Πράγματι μ' αὐτὴν τὴν ὑπομονὴ ὑπερδοξάσθηκε ὁ Ἰώβ, ἂν καὶ στὰ ἀνθρώπινα μάτια τῶν φίλων του θεωρήθηκε ὅτι ἀντάξια τὰ παθαίνει αὐτά· ἀλλὰ ὕστερα ἄκουσε ἀπὸ τὴ θεία φωνή, «νομίζεις ὅτι γι' ἄλλον λόγο σὲ ὑπέβαλα σὲ δοκιμασίες, καὶ ὄχι γιὰ νὰ ἀποδειχθεῖ ὅτι εἶσαι δίκαιος;»[23].

Καὶ ὁ φτωχὸς Λάζαρος ὅταν καθόταν στὴν πύλη τοῦ πλουσίου πολὺ περιφρονημένος καὶ θλιμμένος σωματικά, μὲ τὴν ὑπομονή του πολὺ δόξασε τὸ Θεό. Καὶ ἐπειδὴ εἴπαμε, ὅτι ὁ Θεὸς δοξάζει αὐτοὺς ποὺ τὸν δοξάζουν, φαινόταν ὅτι θὰ συμβοῦν τὰ ἀντίθετα στὸν Λάζαρο, ποὺ ἔζησε μὲ πολλὲς θλίψεις μέχρι τὸ θάνατο· ἀλλ' ὕστερα φανερώθηκε πῶς τὸν ἐδόξασε ὁ Θεός, τοποθετώντάς τον στοὺς κόλπους τοῦ Ἀβραάμ.

Τί μποροῦμε νὰ ποῦμε ἐπίσης γιὰ τὸν ἅγιο Παῦλο, ποὺ ἀξιώθηκε νὰ δεῖ τὸν ἴδιο τὸν Υἱὸ τοῦ Θεοῦ καὶ ἄκουσε τὴ θεία φωνή του[24] (γιὰ τὸν ὁποῖο ἔδωσε ὁ Θεὸς τὴ διαβεβαίωση, ὅτι εἶναι σκεῦος ἐκλογῆς[25]), καὶ ἁρπάχθηκε στοὺς οὐρανοὺς καὶ ἄκουσε ἐκεῖ τὴ θεία φωνή του καὶ τὰ ἀνείπωτα λόγια, τὰ ὁποῖα δὲν ἄκουσε κανένας; Καὶ ὅμως αὐτὸς κατεβάσθηκε δύο φορὲς μὲ καλάθι καὶ δίχτυ ἀπὸ τὸ τεῖχος. Ἄραγε αὐτὸ δὲν εἶναι ἄξιο σκανδάλου γιὰ τοὺς ἄπιστους καὶ ἀδιάκριτους; Καὶ ὅμως ὁ ἴδιος ὁ Παῦλος ἦταν αὐτὸς ποὺ ἀξιώθηκε τὴ θεία χάρη. Αὐτὸ γινόταν γιὰ δοκιμὴ πολλῶν, ἐὰν ἐπιμένουν νὰ ἔχουν τὴν ἴδια πί-

---

24. Πράξ. 9,3. Α' Κορ. 15,8.
25. Πράξ. 9,15.

εἰς τοὺς λοιποὺς ἁγίους γίνεται πρὸς τὸ συμφέρον τῶν προσερχομένων.

Τί δὲ λέγομεν περὶ ἀνθρώπων, αὐτοῦ τοῦ Σωτῆρος προσευχομένου καὶ λέγοντος, «Πάτερ, εἰ δυνατόν ἐστι παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο», ὃ οἱ Ἀπόστολοι ἀκούσαντες ἐσκανδαλίζοντο, μὴ εἰδότες, ὅτι κατ' οἰκονομίαν πρὸς τὸ συμφέρον τῶν ἀνθρώπων πάντων ἐγίνετο;

Ὥστε οὖν καὶ τὰ ἐνταῦθα οὕτω γινόμενα, οὐ γίνεται δι' ἀσθένειαν τοῦ ἐρωτωμένου ἢ τοῦ προσευχομένου, ἀλλὰ διὰ τὴν δοκιμὴν καὶ βεβαίωσιν τῆς πίστεως τῶν προσερχομένων, εἴ γε ἕως τέλους μενοῦσιν ἐστηριγμένοι τῇ πίστει· ἐν αὐτῇ γὰρ μένοντες, εἰς τὰ ἔσχατα τῆς ἀποβάσεως τοῦ πράγματος βλέπουσι τὴν δόξαν τοῦ Θεοῦ τὴν εἰς αὐτοὺς γινομένην.

Εἰσὶ δέ τινες ἐρωτῶντες ἐπ' ἐλπίδι τοῦ ἐπιτυχεῖν τινος σαρκικοῦ πράγματος, οὐκ ἔτι διὰ τὴν τῆς ψυχῆς ὠφέλειαν, καὶ οὗτοι διὰ τάχους ἐπιτυγχάνουσι. Διατί δὲ οὐ μᾶλλον προσέχομεν τοῖς περὶ τὸν Ἀζαρίαν καὶ Ἀνανίαν, οἵτινες, ἔχοντες τὴν πεποίθησιν εἰς τὸν Θεόν, ὅτι δύναται αὐτοὺς σῶσαι ἀπὸ τῆς καμίνου, ἔλεγον τῷ βασιλεῖ, «ὅτι Θεὸν ἔχομεν ἐν οὐρανοῖς, δυνάμενον ἡμᾶς ρύσασθαι ἐκ τῶν χειρῶν σου καὶ ἐκ τῆς καμίνου τοῦ πυρός, ἐὰν δὲ καὶ μή, ἡμεῖς τοῖς θεοῖς σου οὐ λατρεύομεν», καὶ οὐ παραχρῆμα ἐδόξασεν αὐτοὺς ὁ Θεός, ἀλλ' ἀφῆκεν αὐτούς, ἕως οὗ καὶ εἰς αὐτὴν τὴν κάμινον ἑαυτοὺς παρέδωκαν; Καὶ ὡς ἐφανερώθη πᾶσιν ἡ τελεία αὐτῶν εἰς Θεὸν πεποίθησις, ἐρρύσατο αὐτοὺς καὶ ἐδόξασεν αὐτούς, ἐάσας δι' αὐτῶν ὑπόδειγμα τοῖς ὀλιγώρως διακειμένοις πρὸς τὴν ἀνοχὴν τοῦ Θεοῦ, τοῦ εἰπόντος, «ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».

Ἐάσαντες οὖν τῷ Θεῷ τὸ πᾶν, τῷ εἰδότι περισσότερον

στη στὸν Ἀπόστολο. Τὸ ἴδιο γίνεται καὶ στοὺς ὑπόλοιπους ἁγίους γιὰ τὸ συμφέρον αὐτῶν ποὺ προσέρχονται πρὸς αὐτούς.

Γιατί ὅμως ὁμιλοῦμε γιὰ ἀνθρώπους, ἀφοῦ ὁ ἴδιος ὁ Σωτήρας προσευχόταν καὶ ἔλεγε, «Πάτερ, ἐὰν εἶναι δυνατόν, ἂς ἀπομακρυνθεῖ ἀπὸ μένα αὐτὸ τὸ ποτήρι»[26], πρᾶγμα ποὺ ὅταν ἄκουσαν οἱ Ἀπόστολοι σκανδαλίσθηκαν χωρὶς νὰ ξέρουν ὅτι αὐτὸ γινόταν κατ' οἰκονομία γιὰ τὸ συμφέρον ὅλων τῶν ἀνθρώπων;

Ὥστε λοιπὸν καὶ αὐτὰ ποὺ γίνονται ἐδῶ ἔτσι, δὲν γίνονται ἐξαιτίας τῆς ἀδυναμίας αὐτοῦ ποὺ ἐρωτᾶται ἢ αὐτοῦ ποὺ προσεύχεται, ἀλλὰ γιὰ τὴ δοκιμασία καὶ βεβαίωση τῆς πίστεως τῶν προσερχομένων σ' αὐτόν, ἐὰν βέβαια μείνουν μέχρι τὸ τέλος στηριγμένοι στὴν πίστη· διότι μένοντας σ' αὐτήν, στὸ τέλος τῆς ἐκβάσεως τοῦ πράγματος βλέπουν τὴ δόξα τοῦ Θεοῦ ποὺ παρέχεται σ' αὐτούς.

Ὑπάρχουν ἄνθρωποι ποὺ ἐρωτοῦν μὲ τὴν ἐλπίδα νὰ ἐπιτύχουν κάποιο σαρκικὸ πρᾶγμα, καὶ ὄχι ἀκόμα γιὰ τὴν ὠφέλεια τῆς ψυχῆς· καὶ τὸ πετυχαίνουν γρήγορα. Γιατί δὲν προσέχουμε μᾶλλον τοὺς συντρόφους τοῦ Ἀζαρία καὶ Ἀνανία, οἱ ὁποῖοι, ἔχοντας τὴν πεποίθηση στὸ Θεό, ὅτι μπορεῖ νὰ τοὺς σώσει ἀπὸ τὴν κάμινο, ἔλεγαν στὸ βασιλιά, «ἔχουμε Θεὸ στοὺς οὐρανοὺς ποὺ μπορεῖ νὰ μᾶς σώσει ἀπὸ τὰ χέρια σου καὶ ἀπὸ τὴν κάμινο τῆς φωτιᾶς, ἀλλὰ καὶ ἂν δὲν μᾶς σώσει, ἐμεῖς δὲν λατρεύουμε τοὺς θεούς σου»[27], καὶ δὲν τοὺς ἐδόξασε ἀμέσως ὁ Θεός, ἀλλὰ τοὺς ἄφησε, ὡς ποὺ παρέδωσαν καὶ τοὺς ἑαυτούς τους σ' αὐτὴν τὴν κάμινο; Καὶ μόλις φανερώθηκε σὲ ὅλους ἡ τέλεια πεποίθησή τους στὸ Θεό, τοὺς ἔσωσε καὶ τοὺς ἐδόξασε, ἀφήνοντας δι' αὐτῶν ὑπόδειγμα σὲ ἐκείνους ποὺ διάκεινται μὲ ἀδιαφορία πρὸς τὴν ἀνοχὴ τοῦ Θεοῦ ποὺ εἶπε· «αὐτὸς ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[28].

Ἀναθέτοντας λοιπὸν τὰ πάντα στὸ Θεό, ποὺ γνωρίζει πε-

26. Ματθ. 26,39.
27. Δαν. 3,17
28. Ματθ. 10,22.

ἡμῶν, τί συμφέρει ἡμῖν πνευματικῶς καὶ σαρκικῶς, μὴ ἀπιστήσωμεν τοῖς παρὰ τῶν ἁγίων Πατέρων λεγομένοις, ἀλλ' ἐν τῇ ὑπομονῇ τὴν χρηστὴν καὶ ψυχωφελῆ ἐκδεξώμεθα παρὰ τοῦ Θεοῦ ἔκβασιν, μιμνησκόμενοι τοῦ προφήτου λέγοντος, «τὰ κρίματά σου ἄβυσσος πολλή». Καὶ ὅτι ἀνεξιχνίαστά ἐστιν αὐτοῦ τὰ κρίματα, φανεροῦται ἐκ τῶν ἀποβάντων τοῖς Ἰσραηλίταις. Ἀκούσαντες γὰρ εἰσέρχεσθαι εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ πρὸς τὰ σαρκικὰ ταῦτα ἀποβλέψαντες, πολλὰ ἐπείρασαν τὸν Θεὸν διὰ τῆς ἀπιστίας, ὅτι μὴ τούτων ἔτυχον· οὐκ ἐνόουν γὰρ ὅτι μέλι καὶ γάλα ἔλεγε τὰ μέλλοντα πνευματικὰ ἀγαθά, ὧν ὁ νόμος σκιὰ ὑπῆρχε, καθὼς καὶ ὁ Ἀπόστολος ἡμῖν ἡρμήνευσεν.

Ὑπὲρ δὲ πάντων τούτων πιστεύσωμεν τῷ φιλανθρώπῳ Θεῷ καὶ ἀγαθῷ ἡμῶν Δεσπότῃ, τῷ ἀεὶ προνοοῦντι τῆς ἡμῶν ζωῆς, ὑπὲρ ἃ φρονοῦμεν καὶ νοοῦμεν· ὅτι αὐτῷ ἡ δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΠΓ'

***Ἐρώτησις** πάλιν τοῦ αὐτοῦ.*

Πάτερ, παρακαλῶ σαφήνισόν μοι τὸ ἐρώτημα· ἐὰν γὰρ τυχὸν ἐρωτήσω τοὺς πατέρας περὶ καρπῶν ἐμοῦ χωρίου, εἰ καλοὶ γένωνται, ἢ καὶ ἐχθρὸν ἔχω καὶ ἐρωτήσω περὶ αὐτοῦ, εἰ δύναταί με βλάψαι, καὶ εἴπωσί μοι περὶ μὲν τῶν καρπῶν ὅτι γίνονται, περὶ δὲ τοῦ ἐχθροῦ, ὅτι οὐ βλάπτει με, καὶ οἱ μὲν καρποὶ ἀπέτυχον, ὁ δὲ ἐχθρὸς προσδοκᾶται βλάπτειν, πῶς ὀφείλω πιστεύειν; Κἂν εὕρω τὸν λογισμὸν χαυνούμενον ἐν τῇ πίστει διὰ τὰ ἐναντίως φαινόμενα, πῶς δεῖ αὐτὸν ἀνακαλεῖσθαι καὶ στηρίζειν; Ποίησον, πάτερ,

ρισσότερο ἀπὸ μᾶς τί μᾶς συμφέρει πνευματικὰ καὶ σαρκικά, ἂς μὴ ἀπιστήσουμε στὰ λεγόμενα ἀπὸ τοὺς ἅγιους πατέρες, ἀλλὰ μὲ τὴν ὑπομονὴ νὰ δεχθοῦμε τὴ χρηστὴ καὶ ψυχωφελῆ ἔκβαση ἀπὸ τὸ Θεό, ἐνθυμούμενοι τὸν προφήτη ποὺ λέγει, «τὰ κρίματά σου εἶναι μεγάλη ἄβυσσος»[29]. Καὶ ὅτι τὰ κρίματά του εἶναι ἀνεξερεύνητα, φανερώνεται ἀπὸ τὰ ὅσα συνέβηκαν στοὺς Ἰσραηλίτες. Διότι ἐκεῖνοι, ἀκούοντας ὅτι θὰ μποῦν σὲ χώρα ποὺ ρέει γάλα καὶ μέλι καὶ ἀποβλέποντας σ' αὐτὰ τὰ σαρκικά, πείραξαν πολὺ τὸ Θεὸ μὲ τὴν ἀπιστία, ὅταν δὲν τὰ βρῆκαν αὐτά· διότι δὲν κατάλαβαν ὅτι ὡς 'μέλι καὶ γάλα' ἐννοοῦσε τὰ μελλοντικὰ πνευματικὰ ἀγαθά, τῶν ὁποίων ὁ νόμος ἦταν σκιά, ὅπως μᾶς ἑρμήνευσε καὶ ὁ Ἀπόστολος.

Γιὰ ὅλα αὐτὰ λοιπὸν ἂς πιστέψουμε στὸν φιλάνθρωπο Θεὸ καὶ ἀγαθὸ Δεσπότη μας, ποὺ προνοεῖ πάντα γιὰ τὴ ζωή μας, περισσότερο ἀπὸ ὅσο σκεπτόμαστε καὶ κατανοοῦμε· διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα, στὸν Πατέρα καὶ τὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα, τώρα καὶ στοὺς αἰῶνες. Γένοιτο.

383

Ἐρώτηση πάλι τοῦ ἰδίου.

Πάτερ, σὲ παρακαλῶ, διασαφίνησέ μου τὴν ἐρώτηση. Ἐὰν δηλαδὴ συμβεῖ νὰ ἐρωτήσω τοὺς πατέρες γιὰ τοὺς καρποὺς τοῦ δικοῦ μου χωραφιοῦ, ἐὰν γίνονται καλοί, ἢ ἂν ἔχω ἐχθρὸ καὶ ἐρωτήσω γι' αὐτόν, ἐὰν μπορεῖ νὰ μὲ βλάψει, καὶ μοῦ ποῦν γιὰ τοὺς καρποὺς ὅτι γίνονται, ἐνῶ γιὰ τὸν ἐχθρὸ ὅτι δὲ μὲ βλάπτει, καὶ συμβεῖ οἱ καρποὶ ν' ἀποτύχουν, καὶ ὁ ἐχθρὸς νὰ περιμένει νὰ μὲ βλάψει, πῶς πρέπει νὰ πιστέψω; Καὶ ἂν βρῶ χαυνωμένο τὸν λογισμὸ στὴν πίστη γι' αὐτὰ ποὺ φαίνονται ἀντίθετα, πῶς πρέπει νὰ τὸν ἀνακαλέσω καὶ νὰ τὸν στηρίξω; Δεῖξε, πάτερ, καὶ

29. Ψαλμ. 35,7.

καὶ νῦν τὸ ἔλεός σου μετ' ἐμοῦ, καὶ φώτισόν με εἰς τὴν εὐθεῖαν ὁδόν, καὶ εὖξαι ὑπὲρ τῆς ἀσθενείας μου.

Ἀπόκρισις Ἰωάννου.

Τὰ ῥήματα τῶν ἁγίων οὐκ ὀφείλομεν ἀργὰ νομίζειν· ἐνεργῆ γάρ εἰσι καὶ κατὰ Θεὸν εἰρημένα. Ἀλλ' ἐπειδὴ ἡμεῖς εἰς τὰ σαρκικὰ καὶ χρηματικὰ ἠλούμεθα, κατανοῆσαι τὰ λεγόμενα παρὰ τῶν ἁγίων οὐ δυνάμεθα. Καὶ γὰρ καθὼς τῷ Θεῷ μέλλει περὶ σωτηρίας ψυχῶν, οὕτω καὶ τοῖς ἁγίοις αὐτοῦ. Ὅταν οὖν λαλῶσι πρὸς ἡμᾶς οἱ ἅγιοι, πρῶτον κατανοήσωμεν περὶ τοῦ ἔσω ἀνθρώπου, καὶ εὑρίσκομεν ὅτι, ἐὰν φθάσῃ ἡ θλῖψις ἀπὸ τῶν ἀνθρώπων, ἢ ζημία προσόδων, πρὸς ὠφέλειαν ἡμῶν γίνεται. Καὶ διὰ τοῦτο φανεροῦται ἡ δύναμις τῶν προρρήσεων, εἰπόντων 'καλὴν εἶναι τὴν πρόσοδον'. Διὰ γὰρ τῆς ἀτυχίας, τὴν ὠφέλειαν ἐγέννησε τῇ ψυχῇ, καὶ ἐγένετο ἐντεῦθεν ἡμῖν καλή. Καὶ περὶ τοῦ ἐχθροῦ, ὅτι βλάπτει· ἐγένετο γὰρ ἡ αὐτοῦ ἔχθρα πρόφασις τῆς ψυχικῆς ἡμῶν ὠφελείας, ἐὰν εὐχαρίστως ἐνέγκωμεν, μεμνημένοι τοῦ εἰπόντος, «ἐν παντὶ εὐχαριστεῖτε, καὶ εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν καὶ τῶν ἐπηρεαζόντων ὑμᾶς· καὶ μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι» καὶ τὰ λοιπά. Ἄν τε γὰρ ὦμεν δίκαιοι, εἰς προκοπὴν ἡμῖν γίνεται ὁ ἐξ αὐτῶν πειρασμός· ἄν τε ἁμαρτωλοί, εἰς συγχώρησιν ἁμαρτιῶν καὶ διόρθωσιν, καὶ εἰς γυμνασίαν καὶ διδασκαλίαν ὑπομονῆς εὑρίσκεται.

Ἐὰν δὲ συμβῇ, ἵνα καὶ ἐν αὐτῷ τῷ σαρκικῷ εὖ πάθωμεν, εἴτε ἐν ταῖς προσόδοις, εἴτε εἰς εἰρήνην τὴν παρὰ τῶν ἐχθρῶν ἡμῶν, πάλιν εἰς αὐτὸν τὸν ἔσω ἄνθρωπον κατανοήσωμεν· ὅτι πρὸς ὠφέλειαν αὐτῷ ἐνήργησεν ἡ τῶν δικαίων εὐχή.

τώρα τὸ ἔλεός σου σὲ μένα καὶ φώτισέ με στὴν εὐθεία ὁδό, καὶ προσευχήσου γιὰ τὴν ἀσθένειά μου.

Ἀπόκριση Ἰωάννη.

Τὰ λόγια τῶν ἁγίων δὲν πρέπει νὰ τὰ θεωροῦμε ἀνώφελα· διότι εἶναι ἐνεργὰ καὶ ἔχουν λεχθεῖ μὲ γνώμη τοῦ Θεοῦ. Ἀλλ' ἐπειδὴ ἐμεῖς αἰχμαλωτιζόμαστε στὰ σαρκικὰ καὶ τὰ χρηματικά, δὲν μποροῦμε νὰ κατανοήσουμε αὐτὰ ποὺ λέγονται ἀπὸ τοὺς ἁγίους. Διότι, ὅπως ὁ Θεὸς ἐνδιαφέρεται γιὰ τὴ σωτηρία τῶν ψυχῶν, ἔτσι καὶ οἱ ἅγιοί του. Ὅταν λοιπὸν οἱ ἅγιοι μιλοῦν σὲ μᾶς, πρῶτα πρέπει νὰ κατανοήσουμε γιὰ τὸν ἐσωτερικὸ ἄνθρωπο καὶ θὰ βροῦμε ὅτι, ἂν φθάσει ἡ θλίψη ἀπὸ τοὺς ἀνθρώπους ἢ ἔλθει ζημία εἰσοδημάτων, αὐτὸ γίνεται γιὰ ὠφέλειά μας. Γι' αὐτὸ φανερώνεται ἡ ἔννοια τῶν προρρήσεων ποὺ εἶπαν ὅτι ἡ ἐσοδειὰ εἶναι καλή· διότι μὲ τὴν ἀτυχία, γέννησε τὴν ὠφέλεια στὴν ψυχὴ καὶ ἔτσι ἔγινε γιὰ μᾶς καλή. Τὰ ἴδια καὶ γιὰ τὸν ἐχθρὸ ποὺ εἶπαν ὅτι βλάπτει· ἡ ἔχθρα του ἔγινε ἀφορμὴ τῆς ψυχικῆς μας ὠφέλειας, ἂν τὴν ὑποφέρουμε μὲ εὐχαρίστηση, ἔχοντας ὑπόψη μας αὐτὸν ποὺ εἶπε, «νὰ εὐχαριστεῖτε τὸ Θεὸ γιὰ τὸ κάθε τι»[30] καὶ νὰ προσεύχεσθε[31] γιὰ τοὺς ἐχθρούς σας, καὶ γι' αὐτοὺς ποὺ σᾶς πειράζουν καὶ «θὰ εἶστε μακάριοι ὅταν θὰ σᾶς ὀνειδίσουν καὶ θὰ σᾶς καταδιώξουν»[32] καὶ τὰ λοιπά. Διότι, ἂν εἴμαστε δίκαιοι, ὁ πειρασμὸς ἀπὸ αὐτοὺς ἀποβαίνει πρὸς προκοπή μας· καὶ ἂν εἴμαστε ἁμαρτωλοὶ συμβάλλει στὴ συγχώρηση ἁμαρτιῶν καὶ διόρθωση καὶ ἀποβαίνει γυμνασία καὶ διδασκαλία ὑπομονῆς.

Ἐὰν πάλι συμβεῖ νὰ εὐημερήσουμε καὶ στὰ σαρκικά, εἴτε στὶς ἐσοδειὲς εἴτε στὴν εἰρήνη ποὺ προέρχεται ἀπὸ τοὺς ἐχθρούς, πάλι θὰ κατανοήσουμε τὰ πράγματα σὲ σχέση μὲ τὸν ἐσωτερικὸ ἄνθρωπο· διότι ἡ εὐχὴ τῶν δικαίων ἐνέργησε γιὰ ὠφέλειά του.

---

30. Α' Θεσ. 5,18.
31. Α' Θεσ. 5,17.
32. Ματθ. 5,11.

Τούτων οὖν οὕτως ἐχόντων, οὐ δύναται ὁ μισόκαλος σαθρῶσαι ἡμῶν τὴν πίστιν· ἐξ ἀμφοτέρων γὰρ τὰ πρὸς ὠφέλειαν τοῦ ἔσω ἡμῶν ἀνθρώπου ἀποβαίνει. Καὶ ἐὰν εἰρηνεύσῃ τις, εὑρίσκει τὴν ἀπόβασιν τῆς προρρήσεως τῶν ἁγίων, ὅτι πρὸς ὠφέλειαν προερρέθη.

Ὁ Κύριος συνετίσοι σε καὶ φωτίσοι τὴν καρδίαν σου.

ΤΠΔʹ

Ἐρώτησις

Ἐὰν αἰτήσω τοὺς ἁγίους περὶ πάθους ψυχῆς ἢ σώματος, καὶ πιστεύω ὅτι παραχρῆμα θεραπεία ἐστίν, ἆρα οὕτω γίνεται, κἂν μὴ συμφέρει μοι ἡ παραχρῆμα θεραπεία;

Ἀπόκρισις *Ἰωάννου.*

Οὐ καλόν ἐστι τέως τὸ ἐξ αὐθεντίας εὔξασθαι, ἰαθῆναι ἀπὸ τοῦ πάθους μὴ γινώσκοντα, εἰ συμφέρει σοι· ἀλλὰ ἀφεῖναι τῷ εἰπόντι, «οἶδεν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχετε πρὸ τοῦ αἰτῆσαι αὐτόν». Οὕτως οὖν εὖξαι τῷ Θεῷ λέγων· ‘Δέσποτα, εἰς τὰς χεῖράς σού εἰμι, ἐλέησόν με κατὰ τὸ θέλημά σου· καὶ εἰ συμφέρει μοι, διὰ τάχους θεράπευσόν με’. Τὸ αὐτὸ δὲ καὶ τοὺς ἁγίους αἴτησον εὔξασθαι καὶ ἀδιστάκτως πίστευσον, ὅτι τὸ ὠφελοῦν σε ποιεῖ. Καὶ εὐχαρίστησον αὐτῷ ἐν πᾶσι, μνημονεύων τοῦ, «ἐν παντὶ εὐχαριστεῖτε», καὶ ὠφελῇ ψυχῇ καὶ σώματι.

Ἀφοῦ λοιπὸν ἔτσι ἔχουν αὐτά, ὁ μισόκαλος δὲν μπορεῖ νὰ σαθρώσει τὴν πίστη μας· διότι καὶ ἀπὸ τὰ δύο προκαλεῖται ὠφέλεια τοῦ ἐσωτερικοῦ μας ἀνθρώπου. Καὶ ἂν εἰρηνεύσει κανείς, βρίσκει τὸ ἀποτέλεσμα τῆς προρρήσεως τῶν ἁγίων ὅτι προλέχθηκε γιὰ ὠφέλεια.

Εἴθε ὁ Κύριος νὰ σὲ συνετίσει καὶ νὰ φωτίσει τὴν καρδιά σου.

384

Ερώτηση

Ἐὰν παρακαλέσω τοὺς ἁγίους γιὰ τὸ πάθος τῆς ψυχῆς ἢ τοῦ σώματος, καὶ πιστεύω ὅτι ὑπάρχει ἄμεση θεραπεία, ἄραγε θὰ γίνει ἔτσι, κι ἂν ἀκόμα δὲ μὲ συμφέρει ἡ ἄμεση θεραπεία;

Ἀπόκριση Ἰωάννη.

Δὲν εἶναι καλὸ ἀπὸ τώρα νὰ προσεύχεσαι μὲ αὐθεντία, χωρὶς νὰ γνωρίζεις ἂν σὲ συμφέρει νὰ γιατρευθεῖς ἀπὸ τὸ πάθος, ἀλλὰ νὰ τὸ ἀφήσεις σ' ἐκεῖνον ποὺ εἶπε· «ὁ οὐράνιος Πατέρας σας γνωρίζει τί χρειάζεσθε, προτοῦ νὰ τοῦ τὸ ζητήσετε»[33]. Ἔτσι λοιπὸν προσευχήσου στὸ Θεό, λέγοντας· 'Δέσποτα, εἶμαι στὰ χέρια σου, ἐλέησέ με σύμφωνα μὲ τὸ θέλημά σου· καὶ ἂν μὲ συμφέρει, θεράπευσέ με γρήγορα'. Παρακάλεσε τοὺς ἁγίους νὰ προσευχηθοῦν τὸ ἴδιο καὶ πίστεψε ἀδίστακτα, ὅτι θὰ κάνει αὐτὸ ποὺ σὲ ὠφελεῖ. Καὶ εὐχαρίστησέ τον σὲ κάθε περίπτωση, ἐνθυμούμενος τό, «νὰ τὸν εὐχαριστεῖτε γιὰ τὸ κάθε τι»[34], καὶ θὰ ὠφεληθεῖς στὴν ψυχὴ καὶ στὸ σῶμα.

---

33. Ματθ. 6,8.
34. Α΄ Θεσ. 5,18.

ΤΠΕ'

Ἐρώτησις τοῦ αὐτοῦ.

Οἱ δὲ πατέρες αἰτούμενοι εὔξασθαι ὑπέρ τινος πειρασμοῦ, τί αἰτοῦσιν; ἀπαλλαγὴν τοῦ πάθους ἢ τὸ συμφέρον αἰτοῦσι; Καὶ πῶς ὁ ἀββᾶς Σισώης καὶ ἄλλοι πατέρες ὑπὲρ τοῦ μαθητοῦ ἀπαλλαγὴν τοῦ πάθους ᾔτησαν τὸν Θεόν; Πῶς δὲ νοήσομεν, ὅτι «πάντα δυνατὰ τῷ πιστεύοντι»; Καὶ πάλιν, εἰ οὐδεὶς πειράζεται παρ' ὃ δύναται, καὶ εἰ ὁ πειρασμὸς κατὰ τὸ συμφέρον γίνεται, καὶ εἰ ὠφελοῦσιν αἱ εὐχαὶ τῶν ἁγίων.

Ἀπόκρισις Ἰωάννου.

Αδελφέ, ἐπειδὴ ἀργοί ἐσμεν ἐγὼ καὶ σύ, ἀφίεμεν τὰ πάθη ἡμῶν, καὶ ἄλλα ἀντ' ἄλλων ἐρωτῶμεν. Ὅμως περὶ ὧν ἠρώτησας, τοῦτο νομίζω. Οἱ πατέρες οἱ τέλειοι εὔχονται, ἵνα τὸ συμφέρον ποιήσῃ ὁ Θεὸς μετὰ τοῦ ἀνθρώπου· ἐὰν οὖν συμφέρῃ αὐτῷ, ἀφίησιν ἐπάνω αὐτοῦ τὸ πάθος δι' ὑπομονήν· ἐὰν δὲ συμφέρῃ ἀπαλλαγῆναι τοῦ πάθους, ποιεῖ ἀπαλλαγῆναι· καὶ τοῦτο τῇ προγνώσει ἐπιγράφομεν τοῦ Θεοῦ. Ὁ ἀββᾶς οὖν Σισώης ηὔξατο περὶ τοῦ μαθητοῦ αὐτοῦ, πληροφορηθεὶς εὔξασθαι· καὶ ὁ ἄλλος γέρων, μᾶλλον δὲ καὶ οἱ ἄλλοι κατὰ πληροφορίαν ηὔχοντο.

Τὸ δὲ ὀφείλειν ἔχειν ὅτι πρὸς τὸ συμφέρον ἐστὶ τὰ συμβαίνοντα τῷ ἀνθρώπῳ φανερόν ἐστιν· ὅτι ὁ Ἀπόστολος λέγει, «ἐν παντὶ εὐχαριστεῖτε»· τὸ δέ, «πάντα τῷ πιστεύοντι δυνατά», τὸ ἐπ' ἐλπίδι βαστάξαι τὴν θλῖψιν τῶν παθῶν, τὸ ὑπομένειν, τὸ

385

Ἐρώτηση τοῦ ἰδίου.

Ὅταν οἱ πατέρες παρακαλοῦνται νὰ προσευχηθοῦν γιὰ ἕναν πειρασμό, τί ζητοῦν; ἀπαλλαγὴ ἀπὸ τὸ πάθος ἢ ζητοῦν τὸ συμφέρον; Καὶ πῶς ὁ ἀββᾶς Σισώης καὶ ἄλλοι πατέρες παρακάλεσαν τὸ Θεὸ γιὰ τὸν μαθητὴ ν' ἀπαλλαγεῖ ἀπὸ τὸ πάθος; Πῶς θὰ ἐννοήσουμε τό, «ὅλα εἶναι δυνατὰ σ' αὐτὸν ποὺ πιστεύει»[35]; Ἐπίσης, ἂν κανεὶς δὲν πειράζεται παραπάνω ἀπ' ὅτι μπορεῖ, ἂν ὁ πειρασμὸς γίνεται πρὸς τὸ συμφέρον, καὶ ἂν ὠφελοῦν οἱ προσευχὲς τῶν ἁγίων.

Απόκριση Ἰωάννη.

Αδελφέ, ἐπειδὴ ἐγὼ καὶ σὺ εἴμαστε ἄκαρποι, ἀφήνουμε τὰ πάθη μας καὶ ἐρωτᾶμε ἄλλα ἀντὶ ἄλλων. Ὅμως γιὰ ὅσα ἐρώτησες, ἡ γνώμη μου εἶναι αὐτή. Οἱ τέλειοι πατέρες προσεύχονται, γιὰ νὰ κάνει ὁ Θεὸς ἐκεῖνο ποὺ συμφέρει στὸν ἄνθρωπο· ἐὰν λοιπὸν τὸν συμφέρει ἀφήνει πάνω του τὸ πάθος γιὰ ὑπομονή· ἐὰν ὅμως συμφέρει ν' ἀπαλλαγεῖ ἀπὸ τὸ πάθος, δίνει τὴν ἀπαλλαγή· καὶ αὐτὸ τὸ ἀποδίδουμε στὴν πρόγνωση τοῦ Θεοῦ. Ὁ Ἀββᾶς Σισώης λοιπὸν προσευχήθηκε γιὰ τὸν μαθητή του, ἐπειδὴ πληροφορήθηκε νὰ προσευχηθεῖ· καὶ ὁ ἄλλος γέροντας, ἢ καλύτερα καὶ οἱ ἄλλοι γέροντες προσεύχονταν σύμφωνα μὲ τὴν πληροφορία.

Τὸ ὅτι πρέπει νὰ γνωρίζεις ὅτι αὐτὰ ποὺ συμβαίνουν στὸν ἄνθρωπο εἶναι γιὰ τὸ συμφέρον του, εἶναι φανερό· διότι ὁ Ἀπόστολος λέγει, «νὰ εὐχαριστεῖτε τὸ Θεὸ γιὰ τὸ κάθε τι»[36]. Τὸ ὅτι πάλι εἶναι δυνατὰ ὅλα σ' ἐκεῖνον ποὺ πιστεύει, σημαίνει ὅτι πρέπει νὰ βαστάξει τὴ θλίψη τῶν παθῶν μὲ ἐλπίδα, νὰ δείχνει ὑπομονή, νὰ μακροθυμεῖ, καὶ νὰ τὰ ὑποφέρει γενναῖα ὅλα ὅπως

---

35. Μάρκ. 9,23.
36. Α' Θεσ 5,18.

μακροθυμεῖν, τὸ πάντα φέρειν γενναίως, ὡς ὁ Ἰώβ. Οὐ πειράζει δὲ ὁ Θεὸς τὸν ἄνθρωπον ὑπὲρ ὃ δύναται, ἀλλ', εἰ μή εἰσιν αἱ εὐχαὶ τῶν ἁγίων, ἐνίοτε ὁ ἄνθρωπος διὰ τὴν αὐτοῦ χαυνότητα προδότης γίνεται.

Ὁ Θεὸς συγχωρήσοι τῇ φλυαρίᾳ σου, ἀδελφέ.

ΤΠΣΤ'

Τοῦ αὐτοῦ.

Ὅταν ἔχω παράθεσιν τῶν ἁγίων καὶ συμβαίνει μοι λῃστρικὴν διαβαίνειν ὁδόν, εἴτε δι' ἰδίαν μου χρείαν, εἴτε δι' εὐσεβὲς πρᾶγμα, εἴτε πρὸς πατέρας ἁγίους, εἰπέ μοι, κύριε ἀββᾶ, πῶς ὀφείλω διαπεράσαι αὐτήν; ἆρα ἀπερισκέπτως, θαρρῶν τῇ παραθέσει; ἢ ποίῳ τρόπῳ; Εἰ δὲ καὶ περιτύχω ἀπροσδοκήτως τοῖς λῃσταῖς, πῶς ὀφείλω διακεῖσθαι ἐν τῷ λογισμῷ; οὐ μόνον περὶ ἐμαυτοῦ καὶ τῶν σὺν ἐμοί, ἀλλὰ καὶ τῶν μετ' ἐμοῦ πραγμάτων· κἂν συμβῇ δέ με μὴ εἰπεῖν τῷ ἀββᾷ περὶ τῶν λῃστῶν, ἆρα ὀφείλω ἀνακάμψαι πρὸς αὐτὸν καὶ εἰπεῖν;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἐὰν φθάσωμεν λαβεῖν παράθεσιν παρά τινος τῶν ἁγίων, ὀφείλομεν θαρρεῖν, ὅτι ἀκριβῶς τὴν τοῦ Θεοῦ βοήθειαν ἔχομεν. Εἰ γὰρ εἰς τὰ τοῦ κόσμου, ἐάν τις παραδώσῃ τὸν οἶκον αὐτοῦ τινι τῶν μεγάλων, οὐ μικρῶς φροντίζεται ὑπ' αὐτοῦ διὰ τὴν τιμὴν τοῦ παραδόντος αὐτὸν αὐτῷ, πόσῳ γε μᾶλλον παρὰ τῷ Θεῷ τελειοῦται ἡ τῶν ἁγίων παράθεσις τοῦ φυλάξαι τὸν παραδιδόμενον αὐτῷ ὑπ' αὐτῶν; Φησὶ γὰρ περὶ αὐτοῦ· «ὅτι θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς».

ὁ Ἰώβ. Ὁ Θεὸς δὲν πειράζει τὸν ἄνθρωπο περισσότερο ἀπὸ ὅσο μπορεῖ, ἀλλά, ἂν δὲν ὑπάρχουν οἱ προσευχὲς τῶν ἁγίων, μερικὲς φορὲς ὁ ἄνθρωπος ἐξαιτίας τῆς χαυνότητός του γίνεται προδότης.

Εἴθε ὁ Θεὸς νὰ συγχωρήσει τὴ φλυαρία σου, ἀδελφέ.

386

Ἐρώτηση τοῦ ἰδίου.

Ὅταν ἔχω παραγγελία τῶν ἁγίων καὶ συμβαίνει σὲ μένα νὰ διαβαίνω ληστρικὸ δρόμο, εἴτε γιὰ δική μου ἀνάγκη, εἴτε γιὰ εὐσεβὲς πρᾶγμα, εἴτε πρὸς τοὺς ἅγιους πατέρες, πές μου, κύριε ἀββᾶ, πῶς ὀφείλω νὰ περάσω μέσα ἀπὸ αὐτόν; ἄραγε ἔχοντας ἀπερίσκεπτα θάρρος στὴν ἐντολή; ἢ μὲ ποιόν τρόπο. Καὶ ἂν συναντήσω ἀπροσδόκητα καὶ τοὺς ληστές, πῶς πρέπει νὰ διάκειται ὁ λογισμός μου; ὄχι μόνο γιὰ μένα καὶ τοὺς μαζὶ μὲ μένα, ἀλλὰ καὶ γιὰ τὰ πράγματα ποὺ εἶναι μαζί μου· καὶ ἂν συμβεῖ σὲ μένα νὰ μὴ πῶ στὸν ἀββᾶ γιὰ τοὺς ληστές, ἄραγε ὀφείλω νὰ γυρίσω σ' αὐτὸν καὶ νὰ τοῦ τὸ πῶ;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν ἀξιωθοῦμε νὰ πάρουμε ἐντολὴ ἀπὸ κάποιον ἅγιο, πρέπει νὰ ἐλπίζουμε ὅτι ἔχουμε ὁπωσδήποτε τὴ βοήθεια τοῦ Θεοῦ. Διότι, ἐὰν στὰ κοσμικὰ παραδώσει κάποιος τὸ σπίτι του σὲ κάποιον ἀπὸ τοὺς μεγάλους, ἀπολαμβάνει μεγάλη φροντίδα ἀπ' αὐτὸν ἐξαιτίας τῆς τιμῆς αὐτοῦ ποὺ τοῦ τὸ παρέδωσε, πόσο μᾶλλον πραγματοποιεῖται ἡ αἴτηση τῶν ἁγίων νὰ φυλάξει αὐτὸν ποὺ τοῦ παραδίδεται ἀπὸ αὐτούς; Διότι λέγει γιὰ τὸν ἑαυτό του· «θὰ πραγματοποιήσει τὸ θέλημα ἐκείνων ποὺ τὸν φοβοῦνται, θὰ εἰσακούσει τὴ δέησή τους καὶ θὰ τοὺς σώσει»[37].

---

37. Ψαλμ. 144,19.

Ἐν παντὶ οὖν τρόπῳ ὀφείλομεν ἔχειν τὴν τῶν ἁγίων παράθεσιν τελείαν, εἰς βοήθειαν καὶ εἰς σωτηρίαν ψυχῆς. Ἐὰν δὲ λαβόντες τὴν παράθεσιν εὕρωμεν καὶ θλῖψιν καὶ σκυλμὸν ἐν τοῖς πράγμασιν, ἢ ἐν τῇ ὁδῷ κατὰ συγχώρησιν Θεοῦ περιπέσωμεν πειρασμῷ, μὴ ἐκκακήσωμεν μηδὲ κατάσχωμεν τοὺς παραθεμένους ἡμᾶς ὡς ἀδυνάτους καὶ σκανδαλισθῶμεν εἰς αὐτούς· διότι μετὰ τὴν παράθεσιν ἐγένετο ἡμῖν ἀπώλεια πράγματος, ἢ καὶ πληγὴ σώματος.

Ἀλλὰ μνησθῶμεν ὅτι καὶ αὐτὸς ὁ θεῖος Ἀπόστολος δυνατὸς ὢν καὶ τέλειος καὶ ἅγιος, πᾶσι τούτοις περιέπεσε καὶ ἐκαυχᾶτο λέγων· «πόσους κινδύνους ὑπέμεινα καὶ ἐκ πάντων με ὁ Κύριος ἐρρύσατο», καὶ ὅτι «πολλαὶ αἱ θλίψεις τῶν δικαίων καὶ ἐκ πασῶν αὐτῶν ρύσεται αὐτοὺς ὁ Κύριος»· καὶ ὅτι «διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»· καὶ πάλιν, «ἀνὴρ ἀπείραστος καὶ ἀδόκιμος καὶ ἄπειρος», καὶ σχῶμεν ἐν τῷ νῷ, ὅτι πᾶν πρᾶγμα ἀγαθόν, ἄνευ θλίψεως οὐ τελειοῦται· ἔχει γὰρ τὸν ἀντικείμενον φθόνον τοῦ διαβόλου. Ἐὰν δὲ συμβῇ ἡμῖν παρελθεῖν ἄνευ θλίψεως, μὴ ὑψηλοφρονήσωμεν, ὅτι ἄξιοι ὄντες ἐσώθημεν ἀπὸ θλίψεως· ἀλλ', εἰδὼς ὁ Θεὸς τὴν ἀσθένειαν ἡμῶν, ὅτι ἀδυνάτως ἔχομεν ὑπενεγκεῖν θλῖψιν, διὰ τῆς παραθέσεως τῶν ἁγίων ἐσκέπασεν ἀπὸ θλίψεως. Καὶ γὰρ περὶ τῶν ὑπομεινάντων ἐν θλίψει ἢ ἐν πειρασμῷ, γέγραπται· «μακάριος, ὃς ὑπομένει πειρασμόν, ὅτι, δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς».

Πρόσχες δέ, μὴ ὡς ἔχων παράθεσιν τῶν ἁγίων, μετὰ ρᾳθυμίας ποιήσῃς σου τὴν ὁδόν· ἀλλ' ὀφείλεις, ἐὰν ἀκούσῃς τίποτε ἐν τῇ ὁδῷ ἢ περὶ λῃστῶν ἢ περί τινος πράγματος, ἀσφαλίσασθαι σεαυτὸν καὶ ποιῆσαι τὴν δύναμίν σου μὴ περιπεσεῖν ἐν τοῖς πράγμασι τούτοις· ἀλλά, δεόμενος τοῦ Θεοῦ καὶ μιμνησκό-

38. Β' Κορ. 11,26.
39. Ψαλμ. 33,20.
40. Πράξ. 14,22.

Μὲ κάθε τρόπο λοιπὸν ὀφείλουμε νὰ θεωροῦμε τέλεια τὴν αἴτηση τῶν ἁγίων γιὰ βοήθεια καὶ σωτηρία ψυχῆς. Ἐὰν ὅμως, ἀφοῦ λάβουμε τὴν ἐντολή, συναντήσουμε καὶ θλίψη καὶ βάσανα στὰ πράγματα, ἢ περιπέσουμε στὸ δρόμο κατὰ παραχώρηση Θεοῦ σὲ πειρασμό, νὰ μὴ λυπηθοῦμε οὔτε νὰ θεωρήσουμε αὐτοὺς ποὺ μεσίτευσαν γιὰ μᾶς σὰν ἀδύνατους καὶ σκανδαλισθοῦμε μ' αὐτούς, ἐπειδὴ μετὰ τὴν αἴτησή τους συνέβηκε σὲ μᾶς ἀπώλεια πράγματος ἢ καὶ πληγὴ σώματος.

Ἀλλὰ νὰ θυμηθοῦμε ὅτι καὶ ὁ ἴδιος ὁ θεῖος Ἀπόστολος, ποὺ ἦταν δυνατὸς καὶ τέλειος καὶ ἅγιος, ἔπεσε σὲ ὅλους αὐτοὺς τοὺς πειρασμοὺς καὶ καυχόταν λέγοντας, «πόσους κινδύνους ὑπέμεινα καὶ ἀπὸ ὅλους μ' ἔσωσε ὁ Κύριος;»[38] καὶ ὅτι «εἶναι πολλὲς οἱ θλίψεις τῶν δικαίων καὶ ἀπὸ ὅλες αὐτὲς θὰ τοὺς σώσει ὁ Κύριος»[39], καὶ ὅτι «ἐμεῖς πρέπει νὰ μποῦμε μὲ πολλὲς θλίψεις στὴ βασιλεία τῶν οὐρανῶν»[40]· καὶ πάλι, «ἄνθρωπος ἀπείραστος καὶ ἀδόκιμος καὶ ἄπειρος»[41]· καὶ νὰ ἔχουμε στὸ νοῦ ὅτι κανένα ἀγαθὸ πρᾶγμα δὲν πραγματοποιεῖται χωρὶς θλίψη· διότι ἔχει τὸν ἀντικείμενο φθόνο τοῦ διαβόλου. Ἐὰν ὅμως μᾶς συμβεῖ νὰ περάσουμε χωρὶς θλίψη, νὰ μὴ ὑψηλοφρονήσουμε, ὅτι σωθήκαμε ἀπὸ τὴ θλίψη, ἐπειδὴ εἴμαστε ἄξιοι· ἀλλ' ἁπλῶς ὁ Θεός, γνωρίζοντας τὴν ἀσθένειά μας, ὅτι εἴμαστε ἀδύναμοι νὰ ὑποφέρουμε θλίψη, μὲ τὴ μεσιτεία τῶν ἁγίων μᾶς προστάτευσε ἀπὸ τὴ θλίψη. Διότι καὶ γι' αὐτοὺς ποὺ ὑπέμειναν μὲ θλίψη ἢ μὲ πειρασμό, ἔχει γραφεῖ, «μακάριος εἶναι ὅποιος ὑπομένει πειρασμό, διότι, ἀφοῦ δοκιμασθεῖ, θὰ πάρει τὸ στεφάνι τῆς ζωῆς»[42].

Πρόσεχε ὅμως νὰ μὴ βαδίσεις τὴν ὁδό σου μὲ ραθυμία, ἐπειδὴ ἔχεις τὴ μεσιτεία τῶν ἁγίων· ὀφείλεις, ἐὰν ἀκούσεις τίποτε καθ' ὁδὸν ἢ γιὰ ληστὲς ἢ γιὰ ἄλλο πρᾶγμα, ν' ἀσφαλίσεις τὸν ἑαυτό σου καὶ νὰ βάλεις τὰ δυνατά σου νὰ μὴ περιπέσεις σ' αὐτὰ τὰ πράγματα· ἀλλὰ παρακαλώντας τὸ Θεὸ καὶ ἐνθυμούμε-

---

41. Μᾶλλον πρόκειται γιὰ πατερικὸ χωρίο.
42. Ἰάκ. 1,12.

μενος τῆς τῶν ἁγίων παραθέσεως, πρόσχες, ἢ τὸ μετὰ τῶν ἄλλων παρελθεῖν, ἢ ἐρωτᾶν ποίῳ τρόπῳ δύνασαι ἀσφαλῶς διελθεῖν, ἢ δι' αὐτῆς τῆς ὁδοῦ, ἢ δι' ἑτέρας.

Ἐὰν δὲ καὶ προφάσει δῆθεν εὐσεβοῦς πράγματος θέλῃς διαβῆναι ἢ πρὸς πατέρας ἁγίους, καὶ οὕτως, ἐὰν ἀκούσῃς περὶ λῃστῶν ἢ ἄλλων κινδύνων ἐν τῇ ὁδῷ, μὴ ὡς θαρρῶν ἐμβάλλῃς σεαυτὸν παρελθεῖν ἐκείνην τὴν ὁδὸν πρὸς αὐτούς, δίχα ἀσφαλείας, ἵνα κἂν οὕτω φύγῃς τὴν ὑψηλοφροσύνην καὶ τὸν κίνδυνον· οὐ δεῖ γάρ τινα ἑκόντα ἑαυτὸν ἐμβάλλειν εἰς πειρασμόν, ἀλλὰ τὸν κατὰ Θεοῦ συγχώρησιν ἐρχόμενον, εὐχαρίστως ὑπομένειν. Εὑρίσκομεν γὰρ καί τινας τῶν ἁγίων θελήσαντας ἀπελθεῖν εἰς ἐπίσκεψιν ἐνδοτέρων ἄλλων ἁγίων καὶ ἀκούσαντες περὶ λῃστῶν καὶ ἄλλων θλίψεων, ὑπερέθεντο ἀπελθεῖν· αὕτη γὰρ ταπείνωσις ἡμῖν εὑρίσκεται. Ἐὰν δὲ οἶδας ἢ ἤκουσας περὶ τῆς ὁδοῦ, ὅτι θλῖψιν ἔχει, σπούδασον ἐρωτῆσαι τὸν ἀββᾶν λέγων, 'τί δοκιμάζεις ποιήσω;' καὶ ὃ λέγει σοι ποίησον. Ἐὰν δὲ κατὰ λήθην μὴ εἴπῃς αὐτῷ καὶ εὑρεθῇς λαβὼν παράθεσιν καὶ μνησθῇς ἐν τῇ ὁδῷ, ὅτι παρηκολούθησε λήθη καὶ οὐκ εἶπας αὐτῷ, οὐ χρεία ἀναλῦσαι· ἀλλὰ δεήθητι τοῦ Θεοῦ, λέγων. 'Δέσποτα, συγχώρησόν μοι καὶ τῇ ἐμῇ ῥᾳθυμίᾳ· καὶ διὰ τὴν παράθεσιν τοῦ ἁγίου σου καὶ τὴν ἀγαθότητα τῆς εὐσπολαγχνίας σου, ὁδήγησόν με κατὰ τὸ θέλημά σου· καὶ σῶσόν με καὶ φύλαξον ἀπὸ παντὸς κακοῦ καὶ πονηροῦ πράγματος. Δεδόξασταί γάρ σου τὸ ὄνομα εἰς τοὺς αἰῶνας'. Ἀμήν.

ΤΠΖ'

Ἐρώτησις τοῦ αὐτοῦ.

Ἆρα δύναται ἡ πίστις ἄλλου ὠφελῆσαι ἄλλον, μὴ συνεισενεγκόντα πίστιν, καθὼς τὸν παραλυτικὸν ἡ πίστις τῶν βασταζάντων;

νος τὴ μεσιτεία τῶν ἁγίων νὰ περνᾶς μαζὶ μὲ τοὺς ἄλλους ἢ νὰ ἐρωτᾶς μὲ ποιόν τρόπο μπορεῖς νὰ περάσεις μὲ ἀσφάλεια ἢ ἀπὸ αὐτὸν τὸν δρόμο ἢ ἀπὸ ἄλλον.

Ἐὰν ὅμως μὲ πρόφαση δῆθεν εὐσεβοῦς πράγματος θέλεις νὰ μεταβεῖς πρὸς τοὺς ἅγιους πατέρες καὶ ἀκούσεις τότε γιὰ ληστὲς ἢ ἄλλους κινδύνους στὸ δρόμο, μὴ ἀποφασίσεις θαρραλέα νὰ περάσεις ἐκεῖνον τὸ δρόμο πρὸς αὐτούς, χωρὶς ἀσφάλεια, γιὰ νὰ ἀποφύγεις τουλάχιστον ἔτσι τὴν ὑψηλοφροσύνη καὶ τὸν κίνδυνο· διότι δὲν πρέπει κανεὶς νὰ βάζει ἑκούσια τὸν ἑαυτό του σὲ πειρασμό, ἀλλὰ νὰ ὑπομένει μὲ εὐχαρίστηση ἐκεῖνο ποὺ ἔρχεται κατὰ παραχώρηση Θεοῦ. Διότι βρίσκουμε καὶ μερικοὺς ἁγίους ποὺ θέλησαν νὰ μεταβοῦν πρὸς ἐπίσκεψη ἄλλων ἐσώτερων[43] ἁγίων καὶ μόλις ἄκουσαν γιὰ ληστὲς καὶ ἄλλες θλίψεις ἀνέβαλαν τὴν ἀναχώρηση· διότι αὐτὴ εἶναι ταπείνωση γιὰ μᾶς. Ἐὰν ὅμως γνωρίζεις ἢ ἄκουσες γιὰ τὸν δρόμο ὅτι ὑπάρχει θλίψη, φρόντισε νὰ ἐρωτήσεις τὸν ἀββᾶ λέγοντας, 'τί κρίνεις σωστὸ νὰ κάνω', καὶ κάνε ὅ,τι σοῦ πεῖ. Ἐὰν ὅμως ἀπὸ λησμοσύνη δὲν τοῦ πεῖς καὶ βρεθεῖς νὰ μὴ ἔχεις πάρει εὐλογία καὶ θυμηθεῖς στὸ δρόμο ὅτι σοῦ συνέβηκε λησμοσύνη καὶ δὲν τοῦ εἶπες, δὲ χρειάζεται νὰ ἐπιστρέψεις, ἀλλὰ παρακάλεσε τὸ Θεό, λέγοντας. 'Δέσποτα, συγχώρησε ἐμένα καὶ τὴ ραθυμία μου· καὶ μὲ τὴ μεσιτεία τοῦ ἁγίου σου καὶ τὴν ἀγαθότητα τῆς εὐσπλαγχνίας σου, ὁδήγησέ με κατὰ τὸ θέλημά σου, καὶ σῶσε με καὶ φύλαξέ με ἀπὸ κάθε κακὸ καὶ πονηρὸ πρᾶγμα. Διότι τὸ ὄνομά σου ἔχει δοξασθεῖ στοὺς αἰῶνες'. Γένοιτο.

387

Ἐρώτηση τοῦ ἰδίου.

Ἄραγε μπορεῖ ἡ πίστη κάποιου νὰ ὠφελήσει ἄλλον, ἐὰν δὲν πιστεύει, ὅπως ὠφέλησε τὸν παραλυτικὸ ἡ πίστη ἐκείνων ποὺ τὸν ἐβάσταζαν;

43. Ἀσκητὲς δηλαδὴ ποὺ ζοῦσαν στὰ βάθη τῆς ἐρήμου.

Ἀπόκρισις

Εἰ μὴ πιστὸς ἦν καὶ ὁ παραλυτικός, οὐκ εἴα αὐτοὺς βαστάσαι καὶ χαλάσαι αὐτόν· ὥστε ἡ πίστις τῶν ἀμφοτέρων ἔσωσεν αὐτόν. Ἐὰν οὖν μὴ συνεισενέγκῃ ὁ ἄνθρωπος πίστιν τῷ Θεῷ, οὐδὲν ὠφελεῖται. Λοιπὸν μὴ προφασίσῃ τοῦ μηδὲν ποιῆσαι, ῥίπτων ἐπάνω ἄλλων τὸ φορτίων σου ὅλον. Καὶ γὰρ Ἰερεμίας πιστεύων, ὅτι ἐλεεῖ ὁ Θεὸς τὸν λαόν, ηὔχετο ὑπὲρ αὐτοῦ· καὶ ἐπειδὴ οὐ συνεισήνεγκεν αὐτῷ πίστιν, οὐκ εἰσηκούσθη. Καὶ ποῦ ἦν ἡ πίστις τοῦ προφήτου; οὐκ εἶχε κατὰ τοὺς βαστάζοντας τὸν παραλυτικόν; ἢ πάντως ἡ αἰτία τοῦ λαοῦ ἦν; Οὕτως οὖν ἐπὶ τῶν ὁμοίων· οὐκ ἀργῶς γὰρ λέγει· «πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη».

ΤΠΗ'

Ἐρώτησις

Αἰτῶ σε, πάτερ, εἰπέ μοι εἰς τί συνήργησεν ἡ θυγάτηρ τῆς Χαναναίας καὶ ὁ δοῦλος τοῦ ἑκατοντάρχου, ὅτι ἐθεραπεύθησαν, ἀλλὰ καὶ ὁ ἄλλος παραλυτικός, περὶ ὑγείας μόνον αἰτήσας σώματος, ἔλαβε πρῶτον ἄφεσιν ἁμαρτιῶν· ἐν τίνι οὖν ἐνταῦθα ἡ συνεργία; Καὶ ὁ Κύριος δὲ λέγει τοῖς Ἀποστόλοις· «ὃ ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τῷ οὐρανῷ· καὶ ᾧ ἂν ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται»· οὐκ εἶπεν, 'ἐὰν συνεργήσωσι'. Λοιπὸν σαφήνισόν μοι ταῦτα παρακαλῶ.

Ἀπόκρισις

Ἀδελφέ, θλῖψίς ἐστι τοῖς ἀγνοοῦσι τὰ πράγματα πῶς ἐστιν. Ἡ θυγάτηρ τῆς Χαναναίας καὶ ὁ δοῦλος τοῦ ἑκατοντάρχου παρεφρόνουν, ἡ μὲν ὑπὸ τῆς μανίας, ὁ δὲ ὑπὸ τοῦ κινδύνου τῆς ἀσθενείας, καὶ οὐκ ἠδύναντο πίστει συν-

---

44. Ἰακ. 5,16.

Ἀπόκριση

Ἐὰν δὲν ἦταν πιστὸς καὶ ὁ παραλυτικὸς δὲν θὰ τοὺς ἄφηνε νὰ τὸν βαστάξουν καὶ νὰ τὸν κατεβάσουν· ὥστε τὸν ἔσωσε ἡ πίστη καὶ τῶν δύο. Ἐὰν λοιπὸν ὁ ἄνθρωπος δὲν ἔχει πίστη στὸ Θεὸ δὲν ὠφελεῖται καθόλου. Μὴ βρεῖς πρόφαση λοιπὸν καὶ δὲν κάνεις τίποτε, ρίχνοντας ὅλο τὸ φορτίο σου πάνω σὲ ἄλλους. Διότι καὶ ὁ Ἱερεμίας, ἐπειδὴ πίστευε ὅτι ὁ Θεὸς ἐλεεῖ τὸν λαό, προσευχόταν γι' αὐτόν· ἀλλ' ἐπειδὴ ὁ λαὸς δὲν πρόσφερε τὴν πίστη του μαζὶ μ' αὐτόν, δὲν εἰσακούσθηκε. Καὶ ποῦ ἦταν ἡ πίστη τοῦ προφήτη; δὲν ἦταν ὅμοια μ' ἐκείνους ποὺ ἐβάσταζαν τὸν παραλυτικο; Ὁπωδήποτε λοιπὸν αἰτία ἦταν ἡ ἀπιστία τοῦ λαοῦ Τὸ ἴδιο λοιπὸν καὶ στὰ ὅμοια· διότι δὲν λέγει μάταια ὁ ἀπόστολος, «ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο ἔχει πολλὴ δύναμη»[44].

388

Ἐρώτηση

Σὲ παρακαλῶ, πάτερ, πές μου σὲ τί συνήργησε ἡ θηγατέρα τῆς Χαναναίας καὶ ὁ δοῦλος τοῦ Ἑκατόνταρχου, ὥστε νὰ θεραπευθοῦν; Ἀλλὰ καὶ ὁ ἄλλος παράλυτος, ἐνῶ παρακάλεσε μόνο γιὰ τὴν ὑγεία τοῦ σώματος, ἔλαβε καὶ συγχώρηση τῶν ἁμαρτιῶν. Σὲ τί συνίσταται λοιπὸν ἐδῶ ἡ συνεργία; Καὶ ὁ Κύριος λέγει στοὺς Ἀποστόλους· «ὅ,τι λύσετε στὴ γῆ, θὰ εἶναι λυμένο στὸν οὐρανό· καὶ ὅποιου συγχωρήσετε τὶς ἁμαρτίες, θὰ συγχωρηθοῦν»· δὲν εἶπε, ἂν συνεργήσουν. Διασαφήνισέ μου, σὲ παρακαλῶ αὐτά.

Ἀπόκριση

Ἀδελφέ, ὑπάρχει θλίψη σ' αὐτοὺς ποὺ ἀγνοοῦν πῶς εἶναι τὰ πράγματα. Ἡ θυγατέρα τῆς Χαναναίας καὶ ὁ δοῦλος τοῦ Ἑκατόνταρχου παραφρονοῦσαν, ἡ πρώτη ἀπὸ τὴν μανία καὶ ὁ ἄλλος ἀπὸ τὸν κίνδυνο τῆς ἀσθένειας, καὶ δὲν μπο-

εργῆσαι τοῖς ὑπὲρ αὐτῶν δεομένοις. Ὁ δὲ παραλυτικός, τὴν περὶ τῆς ὑγείας τοῦ σώματος πίστιν συνεισενεγκών, ἠξιώθη τοῦ μείζονος, τῇ τοῦ Δεσπότου φιλανθρωπίᾳ. Ἐπὶ γὰρ τοῦ Σωτῆρος, ἵνα πιστεύσωσιν οἱ ἄνθρωποι ὅτι ἦλθε, σημεῖα ἐκτὸς συνεργίας ἐξ ἀρχῆς ἐγίνετο καὶ ἐθεραπεύοντο ἄνθρωποι δωρεάν, ἵνα πληρωθῇ τὸ προφητικὸν λόγιον, ὅτι «οὗτος τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασεν».

Ἀνεύθυνοι οὖν γινόμενοι τῶν ἁμαρτιῶν οἱ ἄνθρωποι, τῇ αὐτοῦ χάριτι ἐθεραπεύοντο, μὴ ἀπαιτούμενοι συνεργίαν, εἰ μὴ εἰς τὸ φυλάξαι μετὰ ταῦτα, καθώς φησιν, «ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μή τι χεῖρον πάθῃς». Καὶ περὶ αὐτοῦ πάλιν ὁ Ἰωάννης φησίν· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Μάθε τί λέγει, «ὅλου τοῦ κόσμου»· οἱ δὲ μὴ δεξάμενοι αὐτὸν οὐκ ἔτυχον θεραπείας καὶ πληροῦται περὶ αὐτῶν, «εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω».

Καὶ ὅτι ἔδωκε τοῖς Ἀποστόλοις ἐξουσίαν θεραπεύειν καὶ ἀφιέναι ἁμαρτίας τῶν συνεργούντων τῇ δεήσει αὐτῶν, αὐτὸς ὁ Ἰάκωβος, ὁ λαβὼν τὴν τοιαύτην ἐξουσίαν, πεισάτω σε λέγων· «πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη». Καὶ ἐπὶ μὲν τῶν Ἀποστόλων καὶ τῶν λοιπῶν ἁγίων ἐνεργουμένη, ἐπὶ δὲ τοῦ Σωτῆρος οὐχ οὕτως· ἀλλ' ὅσοι ἐδέξαντο αὐτὸν ἐσώζοντο καὶ ἐθεραπεύοντο· οἱ δὲ μὴ δεξάμενοι, ἀλλ' ὠθήσαντες αὐτόν, ἀπώλοντο.

Στερεωθῶμεν οὖν τῇ πίστει καὶ σωθησόμεθα ἐν ὀνόματι τοῦ Θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

45. Ματθ. 8,17.
46. Ἰω. 5,15.

ροῦσαν νὰ βοηθήσουν μὲ τὴν πίστη ἐκείνους ποὺ προσεύχονταν γι' αὐτούς. Ἐνῶ ὁ παραλυτικός, ποὺ πρόσφερε τὴν πίστη γιὰ τὴν ὑγεία τοῦ σώματος, ἀξιώθηκε περισσότερα μὲ τὴν φιλανθρωπία τοῦ Δεσπότη. Πράγματι τὸν καιρὸ τοῦ Σωτήρα στὴ γῆ, γιὰ νὰ πιστέψουν οἱ ἄνθρωποι ὅτι ἦλθε, γινόταν ἀπὸ τὴν ἀρχὴ θαύματα χωρὶς τὴ βοήθεια ἀπὸ τοὺς ἴδιους, καὶ θεραπεύονταν δωρεὰν οἱ ἄνθρωποι, γιὰ νὰ πραγματοποιηθεῖ ὁ προφητικὸς λόγος, ὅτι «αὐτὸς ἀνέλαβε τὶς ἀσθένειές μας καὶ βάσταξε τὶς νόσους μας»[45].

Ἀπαλλασσόμενοι λοιπὸν οἱ ἄνθρωποι ἀπὸ τὶς ἁμαρτίες, θεραπεύονταν μὲ τὴ χάρη του χωρὶς νὰ τοὺς ζητηθεῖ βοήθεια ἀπὸ μέρους τους, παρὰ μόνο νὰ εἶναι προσεκτικοὶ γιὰ ἀργότερα, ὅπως λέγει, «νά, ἔχεις γίνει ὑγιής· μὴ ἁμαρτάνεις πλέον, γιὰ νὰ μὴ πάθεις τίποτε χειρότερο»[46]. Καὶ γι' αὐτὸν πάλι ὁ Ἰωάννης λέγει· «νὰ ὁ ἀμνὸς τοῦ Θεοῦ, ποὺ σηκώνει τὴν ἁμαρτία τοῦ κόσμου»[47]. Μάθε, τί λέγει· «ὅλου τοῦ κόσμου». Ἐκεῖνοι ὅμως ποὺ δὲν τὸν δέχθηκαν, δὲν θεραπεύθηκαν καὶ ἔτσι βρίσκει ἐκπλήρωση γι' αὐτοὺς ὁ λόγος· «ἐὰν χωρίζεται ὁ ἄπιστος, ἂς χωρισθεῖ»[48].

Τὸ ὅτι πάλι ἔδωσε στοὺς Ἀποστόλους ἐξουσία νὰ θεραπεύουν καὶ νὰ συγχωροῦν τὶς ἁμαρτίες αὐτῶν ποὺ συνενεργοῦν μὲ τὴ δέησή τους, ὁ ἴδιος ὁ Ἰάκωβος, ποὺ πῆρε αὐτὴ τὴν ἐξουσία, ἂς σὲ πείσει λέγοντας· «ἡ δέηση ποὺ γίνεται ἀπὸ δίκαιο ἔχει πολλὴ δύναμη»[49]. Καὶ στὴν περίπτωση βέβαια τῶν Ἀποστόλων καὶ τῶν ἄλλων ἁγίων ὅταν ἐνεργηθεῖ ἀπὸ αὐτούς, στὴν περίπτωση ὅμως τοῦ Σωτήρα ὄχι ἔτσι· ἀλλὰ ὅσοι τὸν δέχθηκαν σώζονταν καὶ θεραπεύονταν, ἐνῶ ὅσοι δὲν τὸν δέχθηκαν ἀλλὰ τὸν ἔδιωξαν, ὁδηγήθηκαν στὴν ἀπώλεια.

Ἂς στερεωθοῦμε λοιπὸν στὴν πίστη καὶ θὰ σωθοῦμε στὸ ὄνομα τοῦ Θεοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

47. Ἰω. 1,29.
48. Α' Κορ. 7,15.
49. Ἰακ. 5,16.

ΤΠΘ΄

Ἐρώτησις τοῦ αὐτοῦ.

Παρακαλῶ σε, δέσποτα, μαθεῖν τίς ἦν ἡ αἰτία τοῦ μαθητοῦ τοῦ ἁγίου Ἐλισσαίου, ὅτι οὐκ ἀνέστη ὁ νεκρός, καὶ διατί προειδὼς ὁ προφήτης ἀπέστειλεν αὐτόν, ἢ ἀποστείλας οὐ προδιωρθώσατο αὐτόν;

Ἀπόκρισις

Μὴ ἐξουθενῶν τὸν μαθητὴν ὁ Ἐλισσαῖος ἔπεμψεν; οὐχί· ἀλλὰ διδάσκων ὡς καλόν ἐστι τὸ μὴ ἐξουθενεῖν τινα, φέρων αὐτὸν εἰς μετάνοιαν τοῦ πιστεῦσαι καὶ ἐγεῖραι. Καὶ ἔμεινεν ἐν τῇ ταυτότητι καὶ διὰ τὴν ἀπιστίαν οὐκ ἤγειρε. Καὶ ᾔδει ὁ προφήτης ὅτι οὐ μὴ ἐγείρῃ, ἀλλ', ἵνα ἄρῃ πᾶσαν ἀπολογίαν ἀπ' αὐτοῦ, νουθετουμένου καὶ μὴ συνιέντος, ἔπεμψε· καθὼς καὶ ὁ Κύριος ᾔδει προδότην τὸν Ἰούδαν, καὶ οὐκ ἐξουδένωσεν αὐτὸν ἕως ὑστέρας ἀναπνοῆς, ἀλλ' ἐνουθέτει καὶ οὐκ ἠθέτησεν αὐτόν, ἕως οὗ ἀπώλετο τελείως· ὅτι αὐτεξούσιοί εἰσιν οἱ ἄνθρωποι. Καὶ ἵνα δειχθῇ ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεὸς οὐδὲ οἱ ἅγιοι, ἀλλ' οἱ ἄνθρωποί εἰσιν αἴτιοι τῶν ἰδίων κακῶν, ἀφῆκεν αὐτοῖς τὸ αὐτεξούσιον, ἵνα ὦσιν ἀναπολόγητοι ἐν ἡμέρᾳ κρίσεως ἐλεγχόμενοι ὑπ' ἀλλήλων.

Τϟ΄

Ἐρώτησις

Τινὲς οἰκοῦντες ἐν μοναστηρίῳ καὶ πολλῶν λυτρωθέντες πειρασμῶν ταῖς εὐχαῖς τῶν ἁγίων πατέρων, ἀκούσαντες

389

Ἐρώτηση τοῦ ἰδίου.

Σὲ παρακαλῶ, δέσποτα, νὰ μάθω ποιά ἦταν ἡ αἰτία τοῦ μαθητῆ τοῦ ἁγίου Ἐλισσαίου, ποὺ δὲν ἀναστήθηκε ὁ νεκρός. Καὶ γιατί, ἐνῶ τὸ γνώριζε ἀπὸ πρὶν ὁ προφήτης, τὸν ἔστειλε, ἤ, στέλνοντάς τον, δὲν τὸν διόρθωσε ἀπὸ πρίν;

Ἀπόκριση

Μήπως ὁ Ἐλισσαῖος ἔστειλε τὸν μαθητή του γιὰ νὰ τὸν ἐξουθενώσει; Ὄχι· ἀλλὰ τὸν ἔστειλε γιὰ νὰ διδάξει, ὅτι εἶναι καλὸ νὰ μὴ ἐξουθενώνει κάποιον ὁδηγώντας τον σὲ μετάνοια, ὥστε νὰ πιστέψει καὶ νὰ ἀναστήσει. Καὶ ἔμεινε στὴν ἀπραξία καὶ ἐξαιτίας τῆς ἀπιστίας δὲν ἀνέστησε. Γνώριζε ὁ προφήτης ὅτι δὲν θὰ τὸν ἀναστήσει, ἀλλὰ γιὰ νὰ τοῦ ἀφαιρέσει κάθε ἀπολογία, ἀφοῦ νουθετήθηκε καὶ δὲν κατάλαβε, τὸν ἔστειλε. Ὅπως καὶ ὁ Κύριος γνώριζε τὸν προδότη Ἰούδα καὶ δὲν τὸν ἐξουθένωσε μέχρι τὴν τελευταία ἀναπνοή, ἀλλὰ τὸν συμβούλευε καὶ δὲν τὸν ἀθέτησε, μέχρι ποὺ χάθηκε τελείως· διότι οἱ ἄνθρωποι εἶναι αὐτεξούσιοι. Καὶ γιὰ νὰ δειχθεῖ ὅτι ὁ Θεὸς δὲν εἶναι αἴτιος τῶν κακῶν[50] οὔτε οἱ ἅγιοι, ἀλλ' ὅτι οἱ ἄνθρωποι εἶναι αἴτιοι τῶν κακῶν τους, ἄφησε σ' αὐτοὺς τὸ αὐτεξούσιο, γιὰ νὰ εἶναι ἀναπολόγητοι τὴν ἡμέρα τῆς κρίσεως, ἐλεγχόμενοι ἀναμεταξύ τους.

390

Ἐρώτηση

Μερικοὶ ποὺ διέμεναν στὸ μοναστήρι καὶ λυτρώθηκαν ἀπὸ πολλοὺς πειρασμοὺς μὲ τὶς προσευχὲς τῶν ἁγίων πατέρων, μόλις ἄκουσαν γιὰ τὴν ἐπιδρομὴ τῶν ληστῶν, βιά-

50. «Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός», εἶναι ὁ τίτλος μιᾶς σχετικῆς ὁμιλίας τοῦ Μεγάλου Βασιλείου.

περὶ ἐφόδου τῶν ληστῶν, ἔμελλον ἀναχωρεῖν ἐκ τοῦ μοναστηρίου, καὶ ἠρώτησαν περὶ τούτου τὸν μέγαν γέροντα.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Τὴν πεῖραν τοῦ Δεσπότου καὶ φιλανθρώπου Θεοῦ ἡμῶν ἔχομεν, ὡς ἀπὸ πασῶν θλίψεων καὶ πειρασμῶν ἐρρύσατο ἡμᾶς. Καὶ νῦν μὴ διστάζωμεν ὅτι ρύεται καὶ σκεπάζει ἡμᾶς ἀπὸ παντὸς κακοῦ. Ὅλην οὖν τὴν μέριμναν ἡμῶν καὶ ἐλπίδα ἐπιρρίψωμεν ἐπ' αὐτόν, καὶ ὅπου ἂν διάγητε εὐχαῖς ἁγίων, μὴ φροντίσητε περί τινος κακοῦ. Στήκετε οὖν τῇ πίστει τοῦ Χριστοῦ ἑδραῖοι, μελῳδοῦντες μετὰ τοῦ προφήτου Δαβίδ, «Κύριος ἐμοὶ βοηθὸς καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος» καὶ τὰ λοιπά, καὶ τό, «Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος. Κύριος φυλάξοι τὴν εἴσοδόν σου καὶ ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος».

Βλέπετε μὴ μάθωσιν οἱ ἄνθρωποι ὅτι, ἔχοντες τὸν Θεόν, τοὺς ἀνθρώπους φοβεῖσθε· «ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ». Εἴπατε τῇ ἀπίστῳ ψυχῇ ἵνα λάβῃ θάρσος· «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ».

Πάντες ἀσπαζόμεθα ὑμᾶς ἐν Κυρίῳ λέγοντες· «ἐγώ εἰμι· μὴ φοβεῖσθε».

ΤΛΑ'

Ἐρώτησις

Ἀδελφός τις ἀκούσας περὶ τῆς ἀποκρίσεως ταύτης, ἐδή-

51. Ψαλμ. 117,6.
52. Ψαλμ. 120,8.

στηκαν νὰ φύγουν ἀπὸ τὸ μοναστήρι, καὶ ἐρώτησαν γι' αὐτὸ τὸν μεγάλο Γέροντα.

Ἀπόκριση Βαρσανουφίου.

Ἔχουμε τὴν πείρα τοῦ Δεσπότη καὶ φιλάνθρωπου Θεοῦ μας· ὅτι μᾶς ἔσωσε ἀπὸ ὅλες τὶς θλίψεις καὶ τοὺς πειρασμούς. Καὶ τώρα νὰ μὴ διστάζουμε, διότι μᾶς σώζει καὶ μᾶς προφυλάγει ἀπὸ κάθε κακό. Ἂς ἀναθέσουμε λοιπὸν ὅλη τὴ μέριμνα καὶ τὴν ἐλπίδα μας σ' αὐτόν· καὶ ὅπου καὶ ἂν ζεῖτε μὲ τὶς προσευχὲς τῶν ἁγίων, νὰ μὴ φροντίσετε γιὰ κανένα κακό. Στέκεσθε λοιπὸν σταθερὰ στερεωμένοι στὴν πίστη τοῦ Χριστοῦ, μελωδώντας μαζὶ μὲ τὸν προφήτη Δαβίδ, «ὁ Κύριος εἶναι βοηθός μου καὶ δὲν θὰ φοβηθῶ τί θὰ μοῦ κάνει ὁ ἄνθρωπος»[51] καὶ τὰ λοιπά, καὶ τό, «εἴθε ὁ Κύριος νὰ σὲ φυλάξει ἀπὸ κάθε κακό, εἴθε νὰ φυλάξει τὴν ψυχή σου ὁ Κύριος. Εἴθε ὁ Κύριος νὰ φυλάξει τὴν εἴσοδό σου καὶ τὴν ἔξοδό σου ἀπὸ τώρα μέχρι τὸν αἰώνα»[52].

Προσέχετε νὰ μὴ μάθουν οἱ ἄνθρωποι ὅτι, ἐνῶ ἔχετε τὸ Θεό, φοβᾶσθε τοὺς ἀνθρώπους· «διότι καὶ ἂν βαδίσω ἀνάμεσα ἀπὸ τὴ σκιὰ τοῦ θανάτου, δὲ θὰ φοβηθῶ τὰ κακά, διότι ἐσὺ εἶσαι μαζί μου»[53]. Πέστε στὴν ἄπιστη ψυχὴ γιὰ νὰ πάρει θάρρος· «ὁ Κύριος τῶν δυνάμεων εἶναι μαζί μας, ὁ Θεὸς τοῦ Ἰακὼβ εἶναι βοηθός μας»[54].

Ὅλοι σᾶς ἀσπαζόμαστε στὸ ὄνομα τοῦ Κυρίου, λέγοντας· «ἐγὼ εἶμαι, μὴ φοβᾶσθε»[55].

391

Ἐρώτηση

Κάποιος ἀδελφός, ὅταν ἄκουσε γι' αὐτὴ τὴν ἀπόκριση,

53. Ψαλμ. 22,4.
54. Ψαλμ. 45,12.
55. Ματθ. 14,27.

λωσε τῷ αὐτῷ γέροντι. Δέομαί σου, ὀφείλει τις ἔχων τὴν πεποίθησιν ταύτην οἰκεῖν καὶ ἐν ληστρικῷ τόπῳ ἀφόβως;

***Ἀπόκρισις** Βαρσανουφίου.*

Πάντοτε ὀφείλομεν θαρρεῖν εἰς τὸν Ἰησοῦν, ὅτι οὐκ ἐᾷ ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλ' ἐπειδὴ ἐδίδαξεν ἡμᾶς λέγων αὐτός, «εὔχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν». Οὐ χρὴ δὲ ἐπιρρίπτειν ἑαυτούς (εὑρίσκεται γὰρ παράβασις ἐντολῆς Θεοῦ· ἡμᾶς γὰρ αὐτοὺς παραδιδόαμεν εἰς θάνατον), ἀλλ' ὀφείλομεν παραφυλάττεσθαι. Ἐὰν δὲ ἐν εἰρηνικῷ τόπῳ οἰκῶμεν καὶ ἀκούσωμεν περὶ ἐφόδου ληστῶν, οὐκ ὀφείλομεν ταραχθῆναι, ἔχοντες τὴν σκέπην τοῦ Θεοῦ. Βλέπει γὰρ ὁ Θεός, ὅτι ἡμεῖς οὐκ εἰσηνέγκαμεν ἑαυτοὺς εἰς πειρασμόν, οὐδὲ τὴν ἐντολὴν αὐτοῦ παρέβημεν, ἀλλὰ μᾶλλον ταύτην φυλάττοντες, βοῶμεν νυκτὸς καὶ ἡμέρας· «μὴ εἰσηνέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ».

Ἐὰν οὖν εὐχομένων ἡμῶν ταῦτα ἔλθῃ ἡμῖν πειρασμὸς ἢ ἔφοδος ληστῶν, μὴ ἐκλυθῶμεν, πρὸς δοκιμὴν γὰρ ἡμῶν γίνεται καὶ κατὰ συγχώρησιν Θεοῦ πρὸς τὸ συμφέρον ἡμῖν. Καὶ εἰ κατὰ συγχώρησιν εἴη, ἔχομεν τὸν στηριγμὸν τοῦ Ἀποστόλου λέγοντος· «πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν πρὸς τὸ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν». Καὶ γὰρ ἐὰν ἀπὸ ἀκοῆς φύγωμεν ἀπὸ τόπου εἰς τόπον, δύναται ὁ διάβολος μὴ ἐᾶσαι ἡμᾶς ἐν τόπῳ καθίσαι. Ὅταν δὲ ἀσφαλῶς εἰδῶμεν περὶ τοῦ τόπου, ὅτι ὑποψίαν ἔχει κινδύνου, ὀφείλομεν προασφαλίσασθαι· ὅτε δὲ ὁ μὲν τόπος εἰρηνικός, ἐξαίφνης δὲ ἔλθῃ πειρασμός, ὁ Θεὸς βλέ-

δήλωσε στὸν ἴδιο γέροντα· Σὲ παρακαλῶ, πρέπει κανείς, ὅταν ἔχει αὐτὴν τὴν πίστη, νὰ κατοικεῖ ἄφοβα καὶ σὲ ληστρικὸ τόπο;

Ἀπόκριση Βαρσανουφίου.

Πάντα ὀφείλουμε νὰ ἔχουμε θάρρος στὸν Ἰησοῦ, διότι δὲν μᾶς ἀφήνει νὰ δοκιμασθοῦμε περισσότερο ἀπ' ὅσο μποροῦμε, ἀλλά, ἐπειδὴ μᾶς δίδαξε καὶ μᾶς εἶπε ὁ ἴδιος, «προσεύχεσθε, γιὰ νὰ μὴ πέσετε σὲ πειρασμό»[56], δὲν πρέπει νὰ ρίχνουμε τοὺς ἑαυτούς μας στοὺς πειρασμοὺς (διότι γίνεται παράβαση ἐντολῆς τοῦ Θεοῦ, καθόσον παραδίνουμε τοὺς ἑαυτούς μας στὸ θάνατο), ἀλλ' ὀφείλουμε νὰ προφυλαγόμαστε. Ἐὰν ὅμως κατοικοῦμε σὲ εἰρηνικὸ τόπο καὶ ἀκούσουμε γιὰ ἔφοδο ληστῶν, δὲν πρέπει νὰ ταραχθοῦμε, ἀφοῦ ἔχουμε τὴν προστασία τοῦ Θεοῦ. Διότι ὁ Θεὸς βλέπει ὅτι ἐμεῖς δὲν βάλαμε τοὺς ἑαυτούς μας σὲ πειρασμό, οὔτε παραβήκαμε τὴν ἐντολή του, ἀλλὰ μᾶλλον, φυλάγοντας αὐτήν, φωνάζουμε νύχτα καὶ μέρα· «μὴ μᾶς βάζεις σὲ πειρασμό, ἀλλὰ προστάτευσέ μας ἀπὸ τὸν πονηρό»[57].

Ἐὰν λοιπόν, ἐνῶ ἐμεῖς προσευχόμαστε αὐτά, μᾶς συμβεῖ πειρασμὸς ἢ ἔφοδος ληστῶν, νὰ μὴ φοβηθοῦμε, διότι γίνεται γιὰ δοκιμασία μας καὶ κατὰ παραχώρηση Θεοῦ γιὰ τὸ συμφέρον μας. Καὶ ἐὰν γίνει κατὰ παραχώρηση, ἔχουμε τὸ στήριγμα τοῦ Ἀποστόλου ποὺ λέγει· «εἶναι ἀξιόπιστος ὁ Θεός, ὁ ὁποῖος δὲ θὰ μᾶς ἀφήσει νὰ δοκιμασθοῦμε περισσότερο ἀπὸ ὅσο μποροῦμε, ἀλλὰ θὰ δώσει μαζὶ μὲ τὸν πειρασμὸ καὶ τὴν ἀντιμετώπιση κατάλληλη γιὰ νὰ μποροῦμε νὰ τὸν ὑποφέρουμε»[58]. Διότι, κι ἂν ἀκόμα φύγουμε μὲ τὸ ἄκουσμα ἀπὸ τόπο σὲ τόπο, μπορεῖ ὁ διάβολος νὰ μὴ μᾶς ἀφήσει νὰ καθήσουμε πουθενά. Ὅταν λοιπὸν μὲ βεβαιότητα γνωρίσουμε ὅτι ὁ τόπος ἔχει ὑποψία κινδύνου, ὀφείλουμε ν' ἀσφαλισθοῦμε ἀπὸ πρίν· ὅταν ὅμως, ἐνῶ ὁ τόπος εἶναι εἰρηνικός, ἔλθει ξαφνικὰ περασμός, ὁ Θεὸς βλέπει

56. Ματθ. 26,41.
57. Ματθ. 6,13.
58. Α' Κορ. 10,13.

πει ὅτι οὐκ ἐξ ἡμῶν ἡ αἰτία, σκεπάζει ἡμᾶς κατὰ τὸ αὐτοῦ θέλημα.

Ἔστι γὰρ πειρασμὸς ἐξ ἡμῶν καὶ ἔστι κατὰ συγχώρησιν Θεοῦ. Ὁ ἐξ ἡμῶν πρὸς βλάβην ἐστὶ ψυχῆς· καὶ περὶ αὐτοῦ ἔκραζεν Ἰάκωβος ὁ Ἀπόστολος λέγων, «μηδεὶς πειραζόμενος εἴπῃ, ὅτι ἐκ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν» καὶ τὰ λοιπά. Ὁ δὲ κατὰ συγχώρησιν Θεοῦ πρὸς ὠφέλειάν ἐστι ψυχῆς· πρὸς δοκιμὴν γὰρ γίνεται τοῦ ἀνθρώπου καὶ ἡ δοκιμὴ φέρει τὸν ἄνθρωπον εἰς ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει», κατὰ τὸ γεγραμμένον· ὁ δὲ μὴ καταισχυνόμενος, σεσωσμένος ἐστίν, ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤϞΒ'

***Ἐρώτησις** αὐτοῦ.*

Ἐπεὶ οὖν εἴρηται «δοκίμασόν με, Κύριε, καὶ πείρασόν με», καὶ πάλιν, «χαίρετε ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις», ἀλλαχοῦ δέ, «μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Κύριε», καὶ πάλιν, «εὔξασθε, ἵνα μὴ εἰσέλθετε εἰς πειρασμόν», ὅτι ὡς ἐναντία ἐστί, παρακαλῶ μαθεῖν τὸ διάφορον τῶν πειρασμῶν.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Το εἰπεῖν, «δοκίμασόν με, Κύριε, καὶ πείρασόν με», ἀγωνιζομένου ἀνθρώπου ἐστί, καὶ αἰτοῦντος δοκιμασθῆναι διὰ τοῦ πειρασμοῦ τοῦ κατὰ συγχώρησιν Θεοῦ ἐπαγομένου, εἴ γε φυλάττοι τὴν ὑπομονὴν ἐν τῇ θλίψει τοῦ πει-

59. Ἰακ. 1,13.
60. Ρωμ. 5,5.
61. Ψαλμ. 25,2.
62. Ἰακ. 1,2.

ὅτι δὲν εἶναι ἀπὸ μᾶς ἡ αἰτία, καὶ μᾶς προστατεύει τότε σύμφωνα μὲ τὸ θέλημά του.

Ὑπάρχει βέβαια πειρασμὸς ἀπὸ μᾶς καὶ ὑπάρχει πειρασμὸς κατὰ παραχώρηση Θεοῦ. Αὐτὸς ποὺ προέρχεται ἀπὸ μᾶς εἶναι γιὰ βλάβη τῆς ψυχῆς· καὶ γι' αὐτὸ φώναζε ὁ Ἀπόστολος Ἰάκωβος λέγοντας, «κανένας πειραζόμενος νὰ μὴ πεῖ, 'ὅτι πειράζομαι ἀπὸ τὸ Θεό'· διότι ὁ Θεὸς εἶναι ἀπείραστος ἀπὸ τὰ κακὰ»[59] καὶ τὰ λοιπά. Ὁ πειρασμὸς ὅμως κατὰ παραχώρηση τοῦ Θεοῦ εἶναι γιὰ ὠφέλεια τῆς ψυχῆς, διότι γίνεται γιὰ δοκιμασία τοῦ ἀνθρώπου καὶ ἡ δοκιμασία ὁδηγεῖ τὸν ἄνθρωπο σὲ ἐλπίδα, καὶ ἡ ἐλπίδα δὲν ντροπιάζει»[60], σύμφωνα μὲ ἐκεῖνο ποὺ ἔχει γραφεῖ. Καὶ ἐκεῖνος ποὺ δὲν ντροπιάζεται ἔχει σωθεῖ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

392

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ λοιπὸν ἔχει λεχθεῖ, «δοκίμασέ με Κύριε καὶ πείραξέ με»[61], καὶ πάλι, «νὰ χαίρεσθε ὅταν πέσετε σὲ ποικίλους πειρασμούς»[62], καὶ ἀλλοῦ, «Κύριε, μὴ μᾶς ὁδηγεῖς σὲ πειρασμό»[63], καὶ πάλι, «προσευχηθεῖτε γιὰ νὰ μὴ πέσετε σὲ πειρασμό»[64], καὶ ἐπειδὴ αὐτὰ φαίνονται ὡς ἀντίθετα, σὲ παρακαλῶ νὰ μάθω τὴ διαφορὰ τῶν πειρασμῶν.

Ἀπόκριση Βαρσανουφίου.

Τὸ νὰ πεῖ κάποιος, «Κύριε, δοκίμασέ με καὶ πείραξέ με»[65], εἶναι γνώρισμα ἀνθρώπου ποὺ ἀγωνίζεται καὶ ζητεῖ νὰ δοκιμασθεῖ μὲ τὸν πειρασμὸ ποὺ προέρχεται κατὰ παραχώρηση Θεοῦ, ἐφόσον βέβαια φυλάγει τὴν ὑπομονὴ

63. Ματθ. 6,13.
64. Ματθ. 26,42.
65. Ψαλμ. 25,2.

ρασμοῦ· ἡ γὰρ ὑπομονή, ὡς εἴρηται, εἰς δοκιμὴν καὶ τὰ λοιπὰ ἀγαθὰ φέρει τὸν ἄνθρωπον. Καὶ ἐντεῦθέν ἐστιν ἀκριβῶς ἡ χαρὰ καὶ ἡ προκοπή· οὐ συνεργεῖ γὰρ τὸ θέλημα τοῦ ἀγωνιζομένου, ἀλλὰ μᾶλλον ἀνταγωνίζεται, καὶ εἰς κόπον ἐμβάλλει ἑαυτὸν ὁ ἄνθρωπος, ὥστε μὴ ἡττηθῆναι τῷ πειρασμῷ.

Τὸ δὲ εἰπεῖν, «μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν», τοῦτο σημαίνει, μὴ ἐάσῃς ἡμᾶς ἀπὸ τοῦ ἰδίου θελήματος καὶ τῆς ἰδίας ἐπιθυμίας πειρασθῆναι· ἐκ τοῦ ἐμπεσεῖν γὰρ εἰς τοιοῦτον πειρασμὸν γεννᾶται ὁ θάνατος. Καὶ περὶ τούτου ὁ Σωτὴρ λέγει· «εὔξασθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν». Διὰ τοῦτο ὁ δίκαιος τὰς δύο εὐχὰς εὔχεται, αἰτῶν μὲν τὸ πειρασθῆναι κατὰ συγχώρησιν Θεοῦ, εἰς δοκιμὴν σωτηρίας, αἰτῶν δὲ πάλιν μὴ πειρασθῆναι ἐξ ἰδίου θελήματος καὶ τῆς ἰδίας ἐπιθυμίας εἰς ἀπώλειαν ψυχῆς.

ΤϞΓʹ

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Πῶς δύναμαι κτήσασθαι τὸν τοῦ Θεοῦ φόβον ἐν τῇ σκληρᾷ μου καρδίᾳ ἀσάλευτον; Καὶ ἐπειδὴ ἐν τῷ ποιεῖν με πρᾶγμα, πρὶν αὐτὸ τελειώσω, μεταφέρω τὸν νοῦν ἐξ αὐτοῦ εἰς ἄλλο, προφάσει δῆθεν φόβου Θεοῦ, ἆρα καλόν ἐστι τοῦτο ἢ οὔ;

Ἀπόκρισις

Εἴ τις θέλει ἔχειν πάντοτε φόβον Θεοῦ ἐν τῇ καρδίᾳ ἀσάλευτον, ἀπὸ τούτου τοῦ ὑποδείγματος δύναται κατανοῆσαι. Ὅταν θέλῃ τις ποτὲ ἀποδημῆσαι, φορεῖ τὰ ὑποδήματα· φησὶ γὰρ ἡ Γραφή, «ὅτι τὰ ὑποδήματα σημεῖόν ἐστι

στὴ θλίψη τοῦ πειρασμοῦ· διότι ἡ ὑπομονή, ὅπως ἔχει λεχθεῖ, φέρνει τὸν ἄνθρωπο στὴ δοκιμὴ καὶ στὰ ὑπόλοιπα ἀγαθά. Καὶ ἀπὸ ἐδῶ ἀκριβῶς προέρχεται ἡ χαρὰ καὶ ἡ προκοπή· διότι δὲ συνεργεῖ στὸν πειρασμὸ τὸ θέλημα τοῦ ἀγωνιζομένου, ἀλλὰ μᾶλλον ἀνταγωνίζεται, καὶ ὁ ἄνθρωπος βάζει τὸν ἑαυτό του σὲ κόπο, ὥστε νὰ μὴ νικηθεῖ ἀπὸ τὸν πειρασμό.

Τὸ νὰ πεῖ ὅμως, «μὴ μᾶς βάζεις σὲ πειρασμό»[66], αὐτὸ σημαίνει, νὰ μὴ μᾶς ἀφήσεις νὰ πειρασθοῦμε ἀπὸ δικό μας θέλημα καὶ ἀπὸ δική μας ἐπιθυμία· διότι ἀπὸ τὴν πτώση μέσα σὲ τέτοιο πειρασμὸ γεννιέται ὁ θάνατος. Καὶ ὁ Σωτήρας λέγει σχετικὰ μ' αὐτό· «προσευχηθεῖτε, γιὰ νὰ μὴ πέσετε σὲ πειρασμό»[67]. Γι' αὐτὸ ὁ δίκαιος προσεύχεται τὶς δύο προσευχές· ζητεῖ ἀπὸ τὸ ἕνα μέρος νὰ πειραχθεῖ κατὰ παραχώρηση Θεοῦ, γιὰ δοκιμασία σωτηρίας, καὶ ἀπὸ τὸ ἄλλο νὰ μὴ πειραχθεῖ ἀπὸ δικό του θέλημα καὶ δική του ἐπιθυμία, πρᾶγμα ποὺ ὁδηγεῖ στὴν ἀπώλεια τῆς ψυχῆς.

393

Ἐρώτηση τοῦ ἰδίου.

> Πῶς μπορῶ ν' ἀποκτήσω ἀσάλευτο τὸν φόβο τοῦ Θεοῦ στὴ σκληρὴ καρδιά μου; Καὶ ἐπειδή, ὅταν κάνω κάτι, πρὶν τὸ τελειώσω μεταφέρω τὸ νοῦ ἀπὸ αὐτὸ σὲ ἄλλο, μὲ πρόφαση δῆθεν τὸ φόβο Θεοῦ, ἄραγε αὐτὸ εἶναι καλὸ ἢ ὄχι;

Ἀπόκριση

Ὅποιος θέλει νὰ ἔχει πάντα στὴν καρδιά του ἀσάλευτο φόβο Θεοῦ, μπορεῖ νὰ τὸ καταλάβει ἀπὸ αὐτὸ τὸ παράδειγμα. Ὅταν θέλει κανεὶς νὰ ἀποδημήσει κάποτε, φορᾶ τὰ ὑποδήματα· διότι ἡ Γραφὴ λέγει, ὅτι «τὰ ὑποδήματα

66. Ματθ. 6,13.
67. Ματθ. 26,42.

ἑτοιμασίας»· καὶ γέγραπται· «ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην». Ἐὰν οὖν κατανοήσῃ ἑαυτόν τις, ὅτι μέλλει ἔργον ποιήσειν, ἀπὸ τῆς σαρκικῆς ἑτοιμασίας ὀφείλει νοῆσαι τὴν πνευματικὴν καὶ λαβεῖν τὰ πνευματικὰ ὑποδήματα, τουτέστι τὴν ἑτοιμασίαν τοῦ φόβου τοῦ Θεοῦ, καὶ μνησθῆναι, ὅτι πάντα κατὰ φόβον τοῦ Θεοῦ ὀφείλει διαπράξασθαι, καὶ ἑτοιμάσαι τὴν καρδίαν ἐπικαλέσασθαι τὸν Θεόν, τοῦ ἐπιχορηγῆσαι αὐτῷ τὸν αὐτοῦ φόβον.

Προτιθεμένου γὰρ αὐτοῦ τὸν τοιοῦτον φόβον πρὸ ὀφθαλμῶν ἐν ἑκάστῳ πράγματι, ἐγγίνεται αὐτῷ ἀσάλευτος ἐν τῇ καρδίᾳ. Προσέχειν δὲ δεῖ μὴ μεταφέρειν τὸν νοῦν ἀπὸ τοῦ προκειμένου πράγματος εἰς ἄλλο, προφασιζόμενον εἰς τὸν φόβον τοῦ Θεοῦ· οὐ γὰρ ὀρθῶς ἐστιν ἡ ὁδὸς αὐτοῦ, ἀλλὰ ρεμβασμὸς καὶ πλάνη τοῦ ἐχθροῦ. Ἀλλὰ καθ' ἕκαστον κεφάλαιον δεῖ σπουδὴν ποιεῖσθαι, ἔχειν ἐν ἑαυτῷ τὸν αὐτὸν φόβον τοῦ Θεοῦ· χρὴ δὲ καὶ κολλᾶσθαι ἁγίοις πατράσι, καὶ ἀπὸ τῶν θεωρημάτων αὐτῶν καὶ τῆς λαλιᾶς καὶ τοῦ στεναγμοῦ αὐτῶν, καὶ τοῦ καλοῦ αὐτῶν βίου ἐμπιπλώμεθα τῆς κατὰ Θεὸν κατανύξεως· τὰ πρόβατα γὰρ Ἰακὼβ προσέχοντα ταῖς ἐν τοῖς ὕδασι ράβδοις, ἐκίσσων καὶ ἔτικτον κατὰ τὰς ράβδους. Καὶ ἐὰν ἐντυπώσωμεν ἑαυτοῖς τὰ αὐτῶν ὑποδείγματα, ὥστε τῷ αὐτῷ τρόπῳ κεχρῆσθαι τοῖς πράγμασιν, οὐ βραδυνοῦμεν βαδίζειν ἐν τῇ ὁδῷ μετ' αὐτῶν.

ΤΔ'

Ἐρώτησις

Ἐπειδὴ πολλάκις ἐπέρχεταί μοι μνήμη τοῦ φόβου τοῦ Θεοῦ, καὶ εὐθέως μνημονεύων τῆς κρίσεως κατανύσσομαι, πῶς ὀφείλω δέξασθαι ταύτην τὴν μνήμην;

εἶναι σημάδι ἑτοιμασίας»[68]· καὶ ἔχει γραφεῖ· «ἑτοιμάσθηκα καὶ δὲν ταράχθηκα»[69]. Ἂν λοιπὸν κατανοήσει κανεὶς τὸν ἑαυτό του, ὅτι πρόκειται νὰ ἐπιδοθεῖ σὲ ἔργο, ὀφείλει ἀπὸ τὴ σαρκικὴ ἑτοιμασία νὰ κατανοήσει τὴν πνευματικὴ καὶ νὰ πάρει τὰ πνευματικὰ ὑποδήματα, δηλαδὴ τὴν ἑτοιμασία τοῦ φόβου τοῦ Θεοῦ, καὶ νὰ θυμηθεῖ, ὅτι ὀφείλει νὰ τὰ κάνει ὅλα σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ, καὶ νὰ ἑτοιμάσει τὴν καρδιὰ νὰ ἐπικαλεσθεῖ τὸ Θεὸ γιὰ νὰ τοῦ χορηγήσει τὸν φόβο του.

Ὅταν λοιπὸν αὐτὸς ἔχει αὐτὸν τὸν φόβο γιὰ κάθε πρᾶγμα μπροστὰ στὰ μάτια του, γίνεται ἀσάλευτος στὴν καρδιά. Πρέπει νὰ προσέχει νὰ μὴ μεταφέρει τὸ νοῦ ἀπὸ τὸ προκείμενο πρᾶγμα σὲ ἄλλο, βρίσκοντας πρόφαση στὸ φόβο τοῦ Θεοῦ· διότι δὲν εἶναι σωστὰ ὁ δρόμος του, ἀλλὰ ρεμβασμὸς καὶ πλάνη τοῦ ἐχθροῦ. Ἀλλὰ σὲ κάθε κεφάλαιο πρέπει νὰ φροντίσει νὰ ἔχει στὸν ἑαυτό του τὸν ἴδιο φόβο τοῦ Θεοῦ. Πρέπει ἐπίσης καὶ νὰ προσκολλώμαστε στοὺς ἅγιους πατέρες καὶ ἀπὸ τὶς θεωρίες τους, τὴν ὁμιλία καὶ τὸ στεναγμό τους καὶ τὴν καλὴ ζωή τους νὰ γεμίζουμε μὲ τὴν κατὰ Θεὸ κατάνυξη· διότι τὰ πρόβατα τοῦ Ἰακώβ, ἐπειδὴ πρόσεχαν τὶς ράβδους μέσα στὰ νερά, κυοφοροῦσαν καὶ γεννοῦσαν κατ' ἀναλογία μὲ τὶς ράβδους. Καὶ ἂν ἐντυπώσουμε μέσα μας τὰ ὑποδείγματα αὐτῶν, ὥστε νὰ χρησιμοποιοῦμε μὲ τὸν ἴδιο τρόπο τὰ πράγματα, δὲν θὰ ἀργήσουμε νὰ βαδίζουμε στὸ δρόμο μαζὶ μ' αὐτούς.

394

Ἐρώτηση

Ἐπειδὴ πολλὲς φορὲς μοῦ ἔρχεται ἀνάμνηση τοῦ φόβου τοῦ Θεοῦ, καὶ ἀμέσως, φέροντας στὴ μνήμη τὴν κρίση, κυριεύομαι ἀπὸ κατάνυξη, πῶς πρέπει νὰ δεχθῶ αὐτὴν τὴν ἀνάμνηση;

---

68. Ἰεζ. 24,17 καὶ 24,23.
69. Ψαλμ. 118,60.

Ἀπόκρισις

Οἵαν ὥραν ἔρχεταί σοι μνήμη, ἤτοι κατάνυξις περὶ ὧν ἥμαρτες ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ, πρόσχες μή ποτέ σοι τοῦτο ὑπὸ τῆς ἐνεργείας τοῦ διαβόλου ἢ εἰς πλείονα κατάκρισιν. Κἂν λέγῃς, 'πῶς γινώσκω τὴν ἀληθινὴν καὶ τὴν ἐκ τῆς διαβολικῆς ἐνεργείας', ἄκουσον. Ὅταν ἔρχηταί σοι ἡ τοιαύτη μνήμη καὶ σπουδάζῃς ἔργοις δεῖξαι τὴν διόρθωσιν, αὕτη ἐστὶν ἡ ἀληθινή, δι' ἧς συγχωροῦνται αἱ ἁμαρτίαι· ἐὰν δὲ ἴδῃς ὅτι μνησθεὶς κατενύγης, καὶ εἰς τὰς αὐτὰς ἢ καὶ χείρονας ἁμαρτίας ἐμπίπτεις, γνωστὸς ἔστω σοι, ὅτι αὕτη ἐστὶν ἡ τοῦ ἀντικειμένου μνήμη· πρὸς τὸ κατακρῖναι δὲ τὴν ψυχήν, τὴν τοιαύτην ὑποβάλλουσι μνήμην.

Ἰδοὺ οὖν ἔχεις φανερὰς τὰς δύο ὁδούς· εἰ θέλεις οὖν φοβηθῆναι τὴν κατάκρισιν, φεῦγε τὰ ἔργα αὐτῆς.

ΤζΕ'

Ἐρώτησις

Πότε δὲ καιρὸν ἔχει τὸ λαμβάνειν κατὰ νοῦν τὴν μνήμην τοῦ Θεοῦ καὶ τοῦ φόβου αὐτοῦ εἰς τὸ ἐξ αὐτῶν κατανυγῆναι εἰς διόρθωσιν ἁμαρτημάτων;

Ἀπόκρισις

Τὸ πῦρ θερμοτέραν ἔχει τὴν φύσιν, καὶ ὁ θέλων χρήσασθαι τῷ πυρί, οὐ πάντοτε ἅπτει, ἀλλὰ θέλει ἔχειν αὐτὸ κεκρυμμένον, ἵνα, ὅταν θελήσῃ, ἅψῃ καὶ θερμάνῃ. Οὕτω καὶ ἐνταῦθα χρὴ ποιεῖν. Εἰσέρχονται γὰρ ὑποβολαὶ ὑπὸ τοῦ ἐχθροῦ καὶ σπείρει ἀκαίρως μετασχηματίζων εἰς φόβον Θεοῦ, θέλων ἢ ἐμβαλεῖν τινα εἰς λύπην, ἢ ταράξαι αὐτοῦ τὸν νοῦν, μὴ σχολάζοντα διακρῖναι τὰ κατὰ τὸν λογισμόν, διὰ τὴν προκειμένην πρόφασιν τῆς παρούσης αὐτοῦ ἐργασίας· τοιαύτη

Ἀπόκριση

Ὁποια στιγμὴ σοῦ ἔρχεται ἀνάμνηση, δηλαδὴ κατάνυξη γιὰ ὅσα ἁμάρτησες ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ, πρόσεχε μήπως αὐτὸ σοῦ εἶναι κάποτε ἀπὸ τὴν ἐνέργεια τοῦ διαβόλου καὶ ἀποβεῖ σὲ περισσότερη κατάκρισή σου. Καὶ ἂν ἐρωτᾶς, 'πῶς μπορῶ νὰ γνωρίζω τὴν ἀληθινὴ μνήμη καὶ αὐτὴν ποὺ προέρχεται ἀπὸ διαβολικὴ ἐνέργεια', ἄκουσε. Ὅταν σοῦ ἔρχεται αὐτὴ ἡ ἀνάμνηση καὶ φροντίζεις νὰ δείξεις μὲ ἔργα τὴ διόρθωση, αὐτὴ εἶναι ἡ ἀληθινή, μὲ τὴν ὁποία συγχωροῦνται οἱ ἁμαρτίες· ἐὰν ὅμως δεῖς, ὅτι μὲ τὴν ἀνάμνηση κυριεύθηκες ἀπὸ κατάνυξη καὶ πέφτεις στὶς ἴδιες ἢ καὶ σὲ χειρότερες ἁμαρτίες, γνώριζε ὅτι αὐτὴ εἶναι ἡ ἀνάμνηση τοῦ ἐχθροῦ. Ὑποβάλλουν αὐτὴ τὴν ἀνάμνηση γιὰ νὰ κατακρίνουν τὴν ψυχή.

Νά, λοιπόν, ἔχεις φανεροὺς τοὺς δύο δρόμους· ἐὰν θέλεις λοιπὸν νὰ φοβηθεῖς τὴν κατάκριση, ἀπόφευγε τὰ ἔργα της.

395

Ἐρώτηση

Πότε εἶναι καιρὸς νὰ φέρνω στὸ νοῦ τὴ θύμηση τοῦ Θεοῦ καὶ τὸν φόβο του, ὥστε νὰ κυριευθῶ μὲ κατάνυξη ἀπὸ αὐτὰ πρὸς διόρθωση τῶν ἁμαρτιῶν;

Ἀπόκριση

Ἡ φωτιὰ ἔχει θερμότερη τὴ φύση καὶ ὅποιος θέλει νὰ χρησιμοποιήσει τὴ φωτιὰ δὲν τὴν ἀνάβει πάντοτε, ἀλλὰ θέλει νὰ τὴν ἔχει κρυμμένη, γιὰ νὰ τὴν ἀνάψει καὶ νὰ θερμάνει ὅταν θελήσει. Ἔτσι πρέπει νὰ κάνεις καὶ ἐδῶ. Διότι εἰσέρχονται ὑποβολὲς ἀπὸ τὸν ἐχθρὸ καὶ σπέρνει ἄκαιρα, μεταβάλλοντας τὸ σχῆμα του σὲ φόβο Θεοῦ, μὲ σκοπὸ ἢ νὰ βάλει κάποιον σὲ λύπη, ἢ νὰ ταράξει τὸν νοῦ του, ἐὰν αὐτὸς δὲν φροντίζει νὰ διακρίνει τὰ σχετικὰ μὲ τὸν λογισμὸ ἐξαιτίας τῆς προκείμενης πρόφασης τῆς ἐργασίας του αὐτῆς. Διότι τέτοια

γάρ ἐστιν ἡ τέχνη καὶ τῶν συλούντων τὰς οἰκίας τῶν ἀνθρώπων. Ἐὰν γὰρ μὴ εὕρωσιν αὐτοὺς ἀσχολουμένους, οὐ δύνανται περιγενέσθαι αὐτῶν.

Ἀεὶ δὲ μνημόνευε τοῦ Ἐκκλησιαστοῦ λέγοντος, «καιρὸς τῷ παντὶ πράγματι»· καὶ λέγε σεαυτῷ, 'ποιήσω τέως κατὰ φόβον Θεοῦ τὸ προκείμενον, καὶ τότε σχολάζω σοι ποιῆσαί σου τὸ λογάριον, οὐκ ἐν τῇ ἐμῇ σοφίᾳ, ἀλλ' ἐν τῇ δυνάμει τοῦ τὰς καρδίας καὶ νεφροὺς ἐξετάζοντος Θεοῦ ἡμῶν'. Ἔστω δέ σοι καιρὸς ἐπιτήδειος οὗτος· ὁ τῆς πρωϊνῆς καὶ ἑσπερινῆς ὥρας εἰς διάκρισιν λογισμῶν, οὕτως· 'πῶς παρῆλθεν ἡ νὺξ ἢ ἡ ἡμέρα'· κἂν ἴδῃς τίποτε σφάλμα, σπούδασον διορθώσασθαι, τοῦ Χριστοῦ βοηθοῦντος.

ΤϞϚʹ

Ἐρώτησις αὐτοῦ.

Ἐπειδὴ πολλάκις τῶν πλειόνων μου ἁμαρτημάτων τὴν μνήμην ἀπόλλυσιν ἡ λήθη ἐπερχομένη μοι, ἔστι δ' ὅτε καὶ αὐτῶν τελείως ὅλως οὐ μνημονεύω, τί ποιήσω;

Ἀπόκρισις Βαρσανουφίου.

Εἰσί τινες ἀγράμματοι, καὶ ἔχουσι συναλλάκτας ἀληθινούς, καὶ πίστει τῇ πρὸς αὐτοὺς φερόμενοι, ἐὰν ἐπιλάθωνταί τινος, ἀεὶ λέγουσιν αὐτοῖς, ὅτι, 'ὅσον οἴδατε ὅτι χρεωστοῦμεν, ἀποδίδομεν'. Καὶ σὺ οὖν τινα συναλλάκτην ἀληθινώτερον τοῦ Θεοῦ ἔχεις εὑρεῖν, εἰδότα καὶ τὰ μήπω γεγονότα. Ἀνάθου οὖν αὐτῷ περὶ τῶν εἰς λήθην παραπτωμάτων, καὶ εἰπὲ αὐτῷ· 'Δέσποτα, ἐπειδὴ καὶ τοῦτο σφάλμα ἐστί, τὸ ἐπιλαθέσθαι τῶν ἐμῶν πλημμελημάτων, σοὶ μόνῳ τῷ καρδιογνώστῃ ἡμαρ-

εἶναι ἡ τέχνη καὶ αὐτῶν ποὺ διαρπάζουν τὰ σπίτια τῶν ἀνθρώπων. Πράγματι ἐὰν δὲν τοὺς βροῦν ἀπασχολημένους, δὲν μποροῦν νὰ τοὺς νικήσουν.

Πάντοτε ὅμως νὰ θυμᾶσαι τὸν Ἐκκλησιαστὴ ποὺ λέγει, «ὑπάρχει καιρὸς γιὰ κάθε πρᾶγμα»[70]· καὶ λέγε στὸν ἑαυτό σου· 'θὰ κάνω τώρα τὸ προκείμενο ἔργο κατὰ φόβο Θεοῦ καὶ ἔπειτα θὰ φροντίσω γιὰ χάρη σου νὰ κάνω τὸν λογαριασμό σου, ὄχι μὲ τὴ δική μου σοφία, ἀλλὰ μὲ τὴ δύναμη τοῦ Θεοῦ μας ποὺ ἐξετάζει τὶς καρδιὲς καὶ τὰ νεφρά. Καὶ κατάλληλος καιρὸς ἂς σοῦ εἶναι αὐτός· ὁ καιρὸς τῆς πρωϊνῆς καὶ βραδυνῆς ὥρας, γιὰ διάκριση λογισμῶν καὶ ὡς ἑξῆς· 'πῶς πέρασε ἡ νύχτα ἢ ἡ μέρα'· καὶ ἂν δεῖς κάποιο σφάλμα, φρόντισε νὰ τὸ διορθώσεις, μὲ τὴ βοήθεια τοῦ Χριστοῦ.

396

Ἐρώτηση τοῦ ἰδίου.

Ἐπειδὴ πολλὲς φορὲς ἡ λησμοσύμη ποὺ μοῦ ἔρχεται ἐξαλείφει τὴ θύμιση τῶν περισσοτέρων ἁμαρτιῶν μου, συμβαίνει μάλιστα μερικὲς φορὲς νὰ μὴ τὶς θυμᾶμαι καθόλου, τί νὰ κάνω;

Ἀπόκριση Βαρσανουφίου.

Εἶναι μερικοὶ ἀγράμματοι ποὺ ἔχουν σωστοὺς συναλλάκτες καὶ φερόμενοι πρὸς αὐτοὺς μὲ ἐμπιστοσύνη, ἂν ξεχάσουν κάτι, πάντα τοὺς λέγουν, 'ὅσα γνωρίζετε ὅτι χρεωστοῦμε σᾶς τὰ δίνουμε'. Καὶ ἐσὺ λοιπὸν μπορεῖς νὰ βρεῖς κάποιον συναλλάκτη ἀληθινώτερο, τὸ Θεό, ποὺ γνωρίζει καὶ αὐτὰ ποὺ δὲν ἔχουν γίνει. Ἀνάθεσε λοιπὸν σ' αὐτὸν τὰ παραπτώματα τὰ σχετικὰ μὲ τὴ λησμοσύνη καὶ πές του· 'Δέσποτα, ἐπειδὴ καὶ αὐτὸ εἶναι σφάλμα, ἡ λησμοσύνη δηλαδὴ τῶν

70. Ἐκκλ. 3,1.

τον ἐν πᾶσι πάντα μοι, συγχώρησον κατὰ τὴν σὴν φιλανθρωπίαν. Ἐκ τούτου γὰρ φανεροῦται ἡ μεγαλοπρέπεια τῆς δόξης σου, ἐν τῷ μὴ ποιῆσαι ἁμαρτωλοῖς κατὰ τὰς αὐτῶν ἁμαρτίας· δεδοξασμένος γὰρ εἶ εἰς τοὺς αἰῶνας'. Ἀμήν.

ΤζΖ'

Ἐρώτησις

Ἔστιν ὅτε σκανδαλίζομαι ἐν πράγματι, καὶ εὐθέως φανεροῦται, ὅτι οὐκ ὀρθῶς ἐσκανδαλίσθην, καὶ ἐκ τούτου καταισχύνομαι· ἆρα οὖν τοῦτο ἐκ τοῦ Θεοῦ ἐστι πρὸς διόρθωσιν ἢ ἐκ τοῦ πονηροῦ πρὸς κατάκρισιν;

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἐὰν προσέχωμεν τῇ δυνάμει τῆς προτέρας ἀποκρίσεως, εὑρίσκεται ἔχουσα ὁμοίως, καὶ αὕτη ἡ ἐρώτησις. Καθὼς γὰρ ἐν ἐκείνῃ εἴρηται, ὅτι, ἐὰν μὴ ἔργοις φανερώσωμεν τὴν μνήμην τοῦ φόβου τοῦ Θεοῦ καὶ τὴν ἐκ ταύτης κατάνυξιν, κατακρινόμεθα, οὕτω καὶ ἐνταῦθα· ἐὰν μὲν ἔργοις διορθωσώμεθα τὸν ἔλεγχον, ἐκ τοῦ Θεοῦ ἐστι πρὸς σωτηρίαν ἡμετέραν· ἐὰν δὲ μή, ἐξ ἐπιβουλῆς τοῦ διαβόλου ἐστὶ πρὸς κατάκρισιν ἡμετέραν.

ΤζΗ'

***Ἐρώτησις** αὐτοῦ.*

Ἐὰν ἀπολέσω πρᾶγμα καὶ φοβούμενος τὴν κατάκρισιν, οὐ κατακρίνω τινὰ ὡς ἔχοντα τὸ πρᾶγμα, ὅμως δὲ ὑπο-

πλημμελημάτων μου, καὶ ἁμάρτησα σὲ σένα τὸν μόνο καρδιογνώστη, συγχώρεσέ με πάντοτε σὲ ὅλα, σύμφωνα μὲ τὴ φιλανθρωπία σου. Διότι ἀπὸ αὐτὸ φανερώνεται ἡ μεγαλοπρέπεια τῆς δόξας σου, στὸ νὰ μὴ ἀποδίδεις στοὺς ἁμαρτωλοὺς ἀνάλογα μὲ τὶς ἁμαρτίες τους· διότι εἶσαι δοξασμένος στοὺς αἰῶνες. Γένοιτο.

397

Ἐρώτηση

Μερικὲς φορὲς σκανδαλίζομαι σὲ κάτι καὶ ἀμέσως φανερώνεται ὅτι δὲν σκανδαλίσθηκα σωστά, καὶ ντρέπομαι γι' αὐτό. Ἄραγε λοιπὸν αὐτὸ προέρχεται ἀπὸ τὸ Θεὸ πρὸς διόρθωση, ἢ ἀπὸ τὸν πονηρὸ πρὸς κατάκριση;

Ἀπόκριση Βαρσανουφίου.

Αν προσέξουμε τὴ σημασία τῆς προηγούμενης ἀποκρίσεως[71], φαίνεται νὰ εἶναι ἴδια καὶ αὐτὴ ἡ ἐρώτηση. Ὅπως δηλαδὴ σ' ἐκείνη ἔχει λεχθεῖ, ὅτι, 'ἐὰν δὲν φανερώσουμε μὲ ἔργα τὴ θύμηση τοῦ φόβου τοῦ Θεοῦ καὶ τὴν κατάνυξη ἀπὸ αὐτή, κατακρινόμαστε', ἔτσι καὶ ἐδῶ· ἐὰν διορθώσουμε μὲ ἔργα τὸν ἔλεγχο, προέρχεται ἀπὸ τὸ Θεὸ γιὰ σωτηρία μας· ἐὰν ὄχι, τότε προέρχεται ἀπὸ ἐπιβουλὴ τοῦ διαβόλου γιὰ κατάκρισή μας.

398

Ἐρώτηση τοῦ ἰδίου.

Ἐὰν χάσω κάτι, καὶ φοβούμενος τὴν κατάκριση, δὲν κατακρίνω κάποιον ὅτι ἔχει τὸ πρᾶγμα, ὅμως τὸν ὑποψιάζο-

71. Ἐννοεῖ τὴν ἀπόκριση ἀριθ. 394.

νοῶ αὐτόν, μὴ ἄτοπόν ἐστι τὸ ἀποπειρᾶσθαι, εἰ ἀληθῶς αὐτὸ ἔχει; οὐ γὰρ βαστάζω ἀπολέσαι αὐτό.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Οὐκ ἔστιν ἄτοπον τὸ ἀποπειρᾶσθαι εἰ ἔχει αὐτό· ἐὰν δὲ εὑρεθῇ ἔχων αὐτό, μὴ σπουδάσῃς καταισχῦναι αὐτόν· ἀλλ' ἀρκέσθητι τῇ ἀπολαύσει τοῦ πράγματος.

ΤΙΘ'

Ἐρώτησις** ἢ **Αἴτησις.

Φιλόχριστος ἐξηγόρευσε τὰς ἁμαρτίας αὐτοῦ τῷ αὐτῷ Γέροντι, αἰτήσας καὶ συγχώρησιν αὐτῶν.

Ὁ δὲ Γέρων ἀποκριθεὶς εἶπεν αὐτῷ.

Ἐκφαίνων αὐτοῦ τὰς ἁμαρτίας δικαιοῦται ἀπ' αὐτῶν, κατὰ τὴν Γραφὴν τὴν λέγουσαν, «εἰπὲ σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς»· καὶ πάλιν, «εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου».

Τοῦ λοιποῦ ἀσφαλισώμεθα, ἀδελφέ, καὶ τὰ πρῶτα συνεχώρησεν ὁ Θεός.

Υ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Εἰπέ μοι, πάτερ, πῶς ἡ ψυχή μου ἔχουσα πολλὰ τραύματα οὐ κλαίει;

μαι, μήπως εἶναι παράλογο νὰ προσπαθήσω νὰ βρῶ, ἂν αὐτὸ εἶναι ἀλήθεια; διότι δὲν ὑποφέρω τὴν ἀπώλειά του.

Ἀπόκριση Βαρσανουφίου.

Δὲν εἶναι παράλογο τὸ νὰ ἐρευνήσεις, ἂν τὸ ἔχει· ἂν ὅμως βρεθεῖ ὅτι τὸ ἔχει, νὰ μὴ φροντίσεις νὰ τὸν ντροπιάσεις, ἀλλὰ ν' ἀρκεσθεῖς στὴν ἀπόλαυση τοῦ πράγματος.

399

Ἐρώτηση ἢ Αἴτηση

Κάποιος φιλόχριστος ἐξομολογήθηκε τὶς ἁμαρτίες του στὸν ἴδιο γέροντα, ζητώντας καὶ συγχώρησή τους.

Καὶ ὁ γέροντας ἀποκρίθηκε καὶ τοῦ εἶπε.

Ὅποιος φανερώνει τὶς ἁμαρτίες του δικαιώνεται ἀπὸ αὐτὲς σύμφωνα μὲ τὴ Γραφὴ ποὺ λέγει, «πὲς ἐσὺ πρῶτος τὶς ἁμαρτίες σου, γιὰ νὰ δικαιωθεῖς»[72]· καὶ πάλι, «εἶπα, θὰ ἐξαγορεύσω στὸν Κύριο σὲ βάρος μου τὴν ἀνομία μου καὶ σὺ συγχώρεσες τὴν ἀσέβεια τῆς καρδιᾶς μου»[73].

Ἂς ἐξασφαλισθοῦμε γιὰ τὰ μελλοντικά, ἀδελφέ, διότι τὰ πρῶτα μᾶς τὰ συγχώρεσε ὁ Θεός.

400

Ἐρώτηση τοῦ ἰδίου.

Πές μου, πάτερ, πῶς, ἐνῶ ἡ ψυχή μου ἔχει πολλὰ τραύματα, δὲν κλαίει;

---

72. Ἠσ. 43,26.
73. Ψαλμ. 31,5.

Ἀπόκρισις *Βαρσανουφίου.*

Ο αἰσθανόμενος τί ἀπώλεσε, θέλει αὐτὸ κλαίειν. Καὶ ὁ ἐπιποθῶν πρᾶγμα, πολλὰς ὁδοιπορίας καὶ θλίψεις βαστάζει, καρτερῶν ἵνα ἐπιτύχῃ τοῦ ποθουμένου.

ΥΑ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Ἐὰν θέλῃ τις ποιῆσαι πρᾶγμα καλὸν διὰ ἴδιον μέντοι κέρδος, εἴτε δι' ἄλλο αὐτοῦ θέλημα, ἆρα λογίζεται αὐτῷ εἰς δικαιοσύνην;

Ἀπόκρισις *Βαρσανουφίου.*

Οἴδαμεν, ὅτι, ἐὰν νηστεύων τίς ποτε συμμίξῃ τῇ νηστείᾳ αὐτοῦ τί ποτε τοῦ ἰδίου θελήματος, ἢ πραγματεύμενος ἀνθρωπίνην δόξαν καὶ κέρδος ἐξ αὐτῆς, βδελυκτὴ γίνεται ἡ νηστεία αὐτοῦ τῷ Θεῷ. Καὶ οἱ Ἰσραηλῖται γὰρ ἐνήστευσαν, καὶ διὰ τὸ ἀδικεῖν ἐν ταῖς ἡμέραις τῆς νηστείας καὶ πληροῦν τὸ θέλημα αὐτῶν, ὠνείδισεν αὐτοὺς ὁ Θεός, διὰ Ἡσαΐου τοῦ προφήτου λέγων· «οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος».

Οὕτως οὖν καὶ ἐνταῦθα· πᾶν πρᾶγμα καλὸν γινόμενον μὴ δι' αὐτὴν καὶ μόνην τὴν ἀγάπην τοῦ Θεοῦ, ἀλλὰ καὶ ἴδιον θελημα μεμιγμένον εὑρίσκεται, μεμιασμένον καὶ φευκτὸν τῷ Θεῷ τὸ πρᾶγμα. Καὶ ἐκ τοῦ θείου δὲ νόμου ἐστὶ γνῶναι τοῦτο· φησί, γὰρ «μεμιγμένον σπέρμα μὴ σπείρῃς ἐν τῷ ἀγρῷ σου· μηδὲ ποιήσῃς σεαυτῷ χιτῶνα ἐξ ἐρίου καὶ λίνου». Καὶ ἐὰν θέλωμεν γνῶναι ὅτι ἐπὶ τῶν ἐργατῶν εἴρηται, ὁ Ἐκκλησιαστὴς σημαίνει λέγων,

Ἀπόκριση Βαρσανουφίου.

Ἐκεῖνος ποὺ αἰσθάνεται τί ἔχασε, θέλει νὰ τὸ κλαίει. Καὶ ἐκεῖνος ποὺ ἐπιθυμεῖ κάποιο πρᾶγμα, ὑπομένει πολλὲς ὁδοιπορίες καὶ θλίψεις, δείχνοντας καρτερία, ὥστε νὰ ἐπιτύχει ἐκεῖνο ποὺ ποθεῖ.

401

Ἐρώτηση τοῦ ἰδίου.

Ἐὰν θέλει κανεὶς νὰ κάνει καλὸ πρᾶγμα, ἀλλὰ γιὰ δικό του κέρδος ἢ γιὰ ἄλλο θέλημά του, ἄραγε αὐτὸ τοῦ λογίζεται γιὰ δικαίωσή του;

Ἀπόκριση Βαρσανουφίου.

Γνωρίζουμε, ὅτι, ἂν νηστεύοντας κανεὶς ἀναμείξει ποτὲ στὴν νηστεία του κάτι ἀπὸ τὸ δικό του θέλημα, ἢ ἐπιδιώκει ἀνθρώπινη δόξα ὡς καὶ κέρδος ἀπὸ αὐτήν, γίνεται ἡ νηστεία του βδελυκτὴ στὸ Θεό. Διότι καὶ οἱ Ἰσραηλίτες νήστεψαν, ἀλλ' ἐξαιτίας τῆς ἀδικίας ποὺ διέπραξαν κατὰ τὶς ἡμέρες τῆς νηστείας καὶ τῆς πραγματοποιήσεως τοῦ θελήματός τους, τοὺς κατηγόρησε ὁ Θεός, λέγοντάς τους μὲ τὸν προφήτη Ἠσαΐα· «δὲ διάλεξα αὐτὴ τὴ νηστεία ἐγώ, λέγει ὁ Κύριος»[74].

Ἔτσι λοιπὸν καὶ ἐδῶ· κάθε καλὸ πρᾶγμα ποὺ δὲν γίνεται γι' αὐτὴν καὶ μόνο τὴν ἀγάπη τοῦ Θεοῦ, ἀλλὰ ἔχει ἀνάμικτο καὶ τὸ θέλημα ἐκείνου ποὺ τὸ κάνει, τὸ πρᾶγμα αὐτὸ εἶναι μιαρὸ καὶ ἀποφευκτὸ στὸ Θεό. Καὶ μπορεῖς νὰ τὸ γνωρίσεις αὐτὸ καὶ ἀπὸ τὸν θεῖο νόμο, διότι λέγει· «νὰ μὴ σπέρνεις στὸν ἀγρό σου ἀνακατεμένο σπέρμα, οὔτε νὰ κάνεις γιὰ τὸν ἑαυτό σου χιτώνα ἀπὸ μαλλὶ καὶ λινάρι»[75]. Καὶ ἂν θέλουμε νὰ γνωρίσουμε ὅτι αὐτὸ ἔχει λεχθεῖ γιὰ τοὺς ἐργάτες, ὁ Ἐκκλησιαστὴς μᾶς τὸ δεί-

---

74. Ἡσ. 58,5.
75. Λευϊτ. 13,47-52.

«διὰ παντὸς ἔστωσαν τὰ ἱμάτιά σου λευκά», σημαίνων, ὅτι ὀφείλει τὸ ἔργον εἶναι πάντοτε καθαρόν. Ἐὰν οὖν ἔχῃ τὸ γινόμενόν τι τοῦ ἰδίου θελήματος τοῦ ποιοῦντος, ἐρρυπώθη τὸ ἔργον καὶ οὐκ ἔστιν ἀρεστὸν τῷ Θεῷ. Καὶ ὁ Κύριος περὶ τῶν ἔργων τοῖς ἑαυτοῦ μαθηταῖς ἔλεγε· «προσέχετε ἑαυτοῖς ἀπὸ τῶν ψευδοπροφητῶν, τῶν ἐρχομένων πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς».

Ὥστε σπουδάσωμεν δι᾽ οὐδὲν ἄλλο ποιεῖν τὸ ἔργον τοῦ Θεοῦ, εἰ μὴ διὰ μόνον τὸν Θεόν· ἐὰν γὰρ μὴ οὕτω γένηται, οὐ χρῄζει ἡμῶν ὁ Θεός, ἵνα δι᾽ ἡμῶν γένηται· οὐ λείπει γὰρ τῷ Θεῷ, δι᾽ οὗ θέλει γίνεσθαι ἀμέμπτως τὸ ἔργον αὐτοῦ. Ποιοῦντες οὖν τὸ ἀγαθὸν νήψωμεν, μήπως διὰ τὸ θέλημα ἡμῶν ἀνωφελῆ ποιήσωμεν τὸν κόπον.

ΥΒ'

***Ἐρώτησις** τοῦ αὐτοῦ.*

Ἐπειδὴ βραδὺς ὢν εἰς τὴν μάθησιν, ταχύτερον μανθάνω τοὺς Ψαλμούς, ἆρα ἐκ τοῦ Θεοῦ συνέβη μοι τοῦτο, ἢ ἐκ τῶν δαιμόνων;

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ὅσα παρέχει σοι ὁ Θεὸς μάθε μετὰ ταπεινώσεως· τὸ γὰρ μαθεῖν εὐχερῶς τὰ λόγια τοῦ Θεοῦ οὐκ ἀπὸ τοῦ διαβόλου γίνεται· σπέρμα γάρ ἐστι τοῦ Θεοῦ. Ἀλλ᾽, ἐὰν μή τις προσέχῃ τῷ Θεῷ, σπείρει καὶ αὐτὸς τὰ ζιζάνια αὐτοῦ. Ἐὰν θέλῃς ταπεινῶσαι τὸν λογισμόν, εἰπὲ αὐτῷ ὑπόδειγμα. Ἐάν τις λάβῃ παρὰ τοῦ δεσπότου αὐτοῦ ἀργύριον, κατὰ τοὺς δούλους ἐκείνους, καὶ μὴ κερδάνῃ καὶ πλεονάσῃ, τί πανθάνει; Καὶ λέγει σοι, ὅτι 'κατὰ τὸν δοῦλον ἐκεῖνον, τὸν χώσαντα τοῦ δεσπότου

χνει, λέγοντας, «ἂς εἶναι γιὰ πάντα τὰ ἱμάτιά σου λευκά»[76], δείχνοντας μὲ αὐτό, ὅτι πρέπει τὸ ἔργο νὰ εἶναι πάντα καθαρό. Ἐὰν λοιπὸν αὐτὸ ποὺ γίνεται ἔχει κάτι ἀπὸ τὸ θέλημα αὐτοῦ ποὺ τὸ κάνει, λερώθηκε τὸ ἔργο καὶ δὲν εἶναι ἀρεστὸ στὸ Θεό. Καὶ ὁ Κύριος ἔλεγε στοὺς μαθητές του γιὰ τὰ ἔργα· «προσέχετε τοὺς ἑαυτούς σας ἀπὸ τοὺς ψευδοπροφῆτες, ποὺ ἔρχονται σὲ σᾶς μὲ ἐνδύματα προβάτων, ἐνῶ ἀπὸ μέσα εἶναι ἅρπαγες λύκοι· θὰ τοὺς ἀναγνωρίσετε ἀπὸ τοὺς καρπούς τους»[77].

Ἑπομένως ἂς φροντίσουμε νὰ κάνουμε τὸ ἔργο τοῦ Θεοῦ γιὰ τίποτε ἄλλο παρὰ μόνο γιὰ τὸ Θεό· διότι, ἐὰν δὲν γίνεται ἔτσι, ὁ Θεὸς δὲν μᾶς χρειάζεται, γιὰ νὰ γίνεται ἀπὸ μᾶς· διότι δὲ λείπει στὸ Θεὸ τὸ μέσο, μὲ τὸ ὁποῖο θέλει νὰ γίνεται ἄμεμπτα τὸ ἔργο του. Κάμνοντας λοιπὸν τὸ ἀγαθὸ ν' ἀγρυπνοῦμε, μήπως ἐξαιτίας τοῦ θελήματός μας κάνουμε τὸν κόπο ἀνωφελῆ.

402

Ἐρώτηση τοῦ ἰδίου.

Ἐνῶ εἶμαι ἀργὸς στὴ μάθηση, μαθαίνω γρηγορώτερα τοὺς Ψαλμούς. Ἄραγε αὐτὸ μοῦ συνέβηκε ἀπὸ τὸ Θεὸ ἢ ἀπὸ τοὺς δαίμονες;

Ἀπόκριση Βαρσανουφίου.

Μάθε μὲ ταπείνωση ὅσα σοῦ παρέχει ὁ Θεός, διότι τὸ νὰ μαθαίνεις μὲ εὐχέρεια τὰ λόγια τοῦ Θεοῦ δὲ γίνεται ἀπὸ τὸν διάβολο· εἶναι σπέρμα τοῦ Θεοῦ. Ἀλλὰ ἐὰν κάποιος δὲν προσέχει στὸ Θεό, σπέρνει καὶ ὁ διάβολος τὰ ζιζάνιά του. Ἐὰν θέλεις νὰ ταπεινώσεις τὸν λογισμό, πές του ἕνα παράδειγμα. Ἐὰν κάποιος παίρνει ἀπὸ τὸ δεσπότη του ἀργύριο σύμφωνα μὲ ἐκείνους τοὺς δούλους καὶ δὲν κερδίσει καὶ δὲν πλουτίσει, τί παθαίνει; Καὶ σοῦ ἀπαντᾶ, ὅτι 'παθαίνει σύμφωνα

76. Ἐκκλ. 9,8.
77. Ματθ. 7,16.

αὐτοῦ τὸ ἀργύριον'. Καὶ εἰπὲ αὐτῷ· 'οὐκοῦν μὴ ὑψηλοφρόνει, γεμίσας τὸν ἀέρα λόγων ἀκάρπων· εἰς κατάκριμά μου γάρ εἰσιν'.

ΥΓ'

Ἐρώτησις

Ἐπεὶ οὖν τὸ ἀγαθὸν ἐκ τοῦ Θεοῦ ἐστι, δίδοται καὶ ἁμαρτωλοῖς τοῦτο· διατί δίδοται;

Ἀπόκρισις *Βαρσανουφίου.*

Πᾶσα δόσις ἀγαθή, δηλονότι ἐκ τοῦ Θεοῦ ἐστιν»· ἀγαθοῦ γὰρ ὄντος αὐτοῦ, πάντα τὰ ἀγαθὰ ἐξ αὐτοῦ γίνονται, τοῖς μὲν δικαίοις ὡς ἀξίοις, τοῖς δὲ ἁμαρτωλοῖς ὡς εὐεργετουμένοις ἐλθεῖν εἰς μετάνοιαν, κατὰ τὸν ἅγιον Παῦλον, λέγοντα· «ἐγὼ γάρ εἰμι πρῶτος τῶν ἁμαρτωλῶν· ἀλλ' ἠλεήθην πρὸς τὸ ἐν ἐμοὶ πρώτῳ ἐνδείξασθαι τὸν Χριστὸν πᾶσαν αὐτοῦ τὴν μακροθυμίαν.

ΥΔ'

Ἐρώτησις

Πῶς δύναται κατ' ἀξίαν εὐχαριστεῖν τῷ Θεῷ;

Ἀπόκρισις

Ἐὰν οἱ ἄνθρωποι, οἱ μηδὲν ὄντες, συγχωρῶσί τινι ἕως μικροῦ πράγματος, ἢ ὡς ἐξαιροῦντες αὐτὸν ἀπὸ θλίψεων δεινῶν, καὶ χάριτας ὁμολογεῖ καὶ κηρύττει τὸ ἀγαθὸν τοῦτο πᾶσι, πόσῳ μᾶλλον ἡμεῖς, οἱ διαπαντὸς εὐεργετούμενοι ἀπὸ τοῦ Θεοῦ, οἵοις στόμασι δυνάμεθα αὐτῷ εὐχαριστῆσαι, πρὸ μὲν πάντων δημιουργήσαντι ἡμᾶς, ἔπειτα παρασχόντι ἡμῖν

μὲ ἐκεῖνον τὸ δοῦλο, ποὺ σκέπασε μὲ χῶμα τὸ ἀργύριο τοῦ δεσπότη'[77α]. Καὶ πές του· 'Μὴ ὑψηλοφρονεῖς λοιπόν, διότι γέμισες τὸν ἀέρα μὲ ἄκαρπα λόγια, ποὺ εἶναι γιὰ κατάκριμά μου'.

403

Ἐρώτηση

Ἀφοῦ λοιπὸν τὸ ἀγαθὸ δίνεται ἀπὸ τὸ Θεό, αὐτὸ δίνεται καὶ στοὺς ἁμαρτωλούς· γιατί δίνεται;

Ἀπόκριση Βαρσανουφίου.

Κάθε ἀγαθὴ δόση προέρχεται ἀσφαλῶς ἀπὸ τὸ Θεό»[78]· διότι, ἀφοῦ αὐτὸς εἶναι ἀγαθός, ὅλα τὰ ἀγαθὰ γίνονται ἀπὸ αὐτόν· στοὺς δίκαιους σὰν ἄξιους, ἐνῶ στοὺς ἁμαρτωλοὺς σὰν εὐεργετούμενους, γιὰ νὰ ὁδηγηθοῦν σὲ μετάνοια, σύμφωνα μὲ τὸν ἅγιο Παῦλο, ποὺ λέγει· «διότι ἐγὼ εἶμαι πρῶτος ἀπὸ τοὺς ἁμαρτωλούς· ἀλλὰ ἐλεήθηκα, ὥστε ὁ Χριστὸς σὲ μένα πρῶτα νὰ δείξει ὅλη τὴ μακροθυμία του.

404

Ἐρώτηση

Πῶς μποροῦμε νὰ εὐχαριστοῦμε ἐπάξια τὸ Θεό;

Ἀπόκριση

Ἐὰν οἱ ἄνθρωποι, ποὺ δὲν εἶναι τίποτε, συγχωροῦν κάποιον γιὰ μικρὸ πρᾶγμα ἢ τὸν βγάζουν ἀπὸ φοβερὲς θλίψεις, καὶ αὐτὸς ἐκδηλώνει εὐγνωμοσύνη καὶ κηρύττει σὲ ὅλους αὐτὸ τὸ ἀγαθό, πόσο μᾶλλον ἐμεῖς, ποὺ εὐεργετούμαστε συνέχεια ἀπὸ τὸ Θεό, μὲ τί στόματα μποροῦμε νὰ τὸν εὐχαριστήσουμε, πρὶν ἀπὸ ὅλα διότι μᾶς δημιούργησε, καὶ ἔπειτα

77α. Ματθ. 25,18.

78. Ἰακ. 1,17.

βοήθειαν πρὸς τοὺς ἀντικειμένους, σύνεσιν καρδίας, ὑγείαν σώματος, φῶς ὀφθαλμῶν, πνοὴν ζωῆς, καὶ τὸ μεῖζον πάντων, τόπον μετανοίας καὶ τὸ λαβεῖν αὐτοῦ τὸ σῶμα καὶ τὸ αἷμα εἰς ἄφεσιν ἁμαρτιῶν καὶ στερέωσιν καρδίας· «ἄρτος» γάρ φησι «στηρίζει καρδίαν ἀνθρώπου». Καὶ εἰ περὶ τοῦ αἰσθητοῦ ἄρτου νομίζει τις αὐτὸ εἰρῆσθαι, πῶς αὐτὸ πάλιν τὸ Πνεῦμα λέγει, ὅτι «οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ρήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ»; Εἰ περὶ αἰσθητῶν καὶ φθαρτῶν πραγμάτων οἱ ἄνθρωποι ἀμοιβὰς καὶ χάριτας ποιοῦσι, τί δυνάμεθα ἀνταποδοῦναι τῷ σταυρωθέντι ὑπὲρ ἡμῶν, ἐὰν θέλωμεν ἀνταποδοῦναι καὶ ἡμεῖς; Ὀφείλομεν ἕως θανάτου ὑπενεγκεῖν δι' αὐτόν.

Μὴ οὖν κοπιάσῃς θέλων καταλαβεῖν τὴν ὀφειλομένην τῷ Θεῷ παρὰ τῶν ἀνθρώπων εὐχαριστίαν, μάλιστα ἁμαρτωλῶν, ὑπὲρ αὐτῶν γὰρ ἀπέθανεν. Ἐὰν φυλακισθῇ ἄνθρωπος διὰ σὲ ὑπὲρ τὴν δύναμίν σου, θέλεις εὐχαριστῆσαι αὐτῷ, πόσῳ μᾶλλον τῷ ὑπὲρ σοῦ ἀποθανόντι; Τοῦτο μάθε, ὅτι οὐδέποτε κατ' ἀξίαν φθάνομεν εὐχαριστεῖν· ἀλλ' ὅμως κατὰ τὴν ἡμῶν δύναμιν, εὐχαριστήσωμεν αὐτῷ καὶ στόματι καὶ καρδίᾳ, καὶ φιλάνθρωπός ἐστι τοῦ συμψηφίσαι καὶ συναριθμῆσαι ἡμᾶς μετὰ τῆς χήρας ἐκείνης τῶν δύο λεπτῶν.

Ταῦτα περὶ τῶν ἁμαρτωλῶν εἰρήσθω. Οἱ γὰρ δίκαιοι κατακοπτόμενοι καὶ θανατούμενοι ὑπερευχαριστοῦσι, κατὰ τὸν ἅγιον Παῦλον λέγοντα, «εὐχαριστεῖτε», δῆλον ὅτι Θεῷ.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

διότι μᾶς ἔδωσε βοήθεια πρὸς τοὺς ἐχθρούς, σύνεση καρδιᾶς, ὑγεία σώματος, φῶς ὀφθαλμῶν, πνοὴ ζωῆς καὶ τὸ μεγαλύτερο ἀπὸ ὅλα, τόπο μετάνοιας καὶ τὸ νὰ παίρνουμε τὸ σῶμα του καὶ τὸ αἷμα του γιὰ συγχώρηση ἁμαρτιῶν καὶ στερέωση καρδιᾶς· διότι λέγει, «ὁ ἄρτος στηρίζει τὴν καρδιὰ τοῦ ἀνθρώπου»[79]. Καὶ ἂν νομίζει κανεὶς ὅτι αὐτὸ ἔχει λεχθεῖ γιὰ τὸν αἰσθητὸ ἄρτο, πῶς πάλι τὸ ἴδιο τὸ ἅγιο Πνεῦμα λέγει, ὅτι «ὁ ἄνθρωπος δὲ θὰ ζήσει μόνο μὲ ἄρτο, ἀλλὰ μὲ κάθε λόγο ποὺ ἐκπορεύεται μὲ τὸ στόμα τοῦ Θεοῦ»[80]; Ἐὰν οἱ ἄνθρωποι ἀνταποδίδουν ἀμοιβὲς καὶ χάρες γιὰ αἰσθητὰ καὶ φθαρτὰ πράγματα, τί θὰ πρέπει νὰ ἀνταποδώσουμε ἐμεῖς σ' αὐτὸν ποὺ σταυρώθηκε γιὰ μᾶς, ἐὰν θέλουμε ν' ἀνταποδώσουμε καὶ ἐμεῖς; Ὀφείλουμε νὰ ὑποφέρουμε γι' αὐτὸν μέχρι θανάτου.

Νὰ μὴ κοπιάσεις λοιπὸν θέλοντας νὰ καταλάβεις τὴν ὀφειλόμενη εὐχαριστία στὸ Θεὸ ἀπὸ τοὺς ἀνθρώπους, καὶ πρὸ πάντων ἀπὸ τοὺς ἁμαρτωλοὺς ἀνθρώπους, διότι γι' αὐτοὺς πέθανε. Ἂν φυλακισθεῖ ἄνθρωπος γιὰ σένα, θέλεις νὰ τὸν εὐχαριστήσεις περισσότερο ἀπὸ τὴ δύναμή σου, πόσο μᾶλλον αὐτὸν ποὺ πέθανε γιὰ σένα; Μάθε αὐτό, ὅτι ποτὲ δὲ φθάνουμε σὲ σημεῖο νὰ τὸν εὐχαριστοῦμε ἐπάξια· ἀλλ' ὅμως πρέπει νὰ τὸν εὐχαριστήσουμε κατὰ τὴ δύναμή μας καὶ μὲ τὸ στόμα καὶ μὲ τὴν καρδιά. Καὶ αὐτὸς εἶναι φιλάνθρωπος καὶ θὰ συμψηφίσει καὶ θὰ συναριθμήσει καὶ ἐμᾶς μαζὶ μὲ τὴ χήρα ἐκείνη τῶν δύο λεπτῶν.

Αὐτὰ ἔχουν λεχθεῖ γιὰ τοὺς ἁμαρτωλούς. Διότι οἱ δίκαιοι κατασφαζόμενοι καὶ θανατούμενοι τὸν ὑπερευχαριστοῦν, σύμφωνα μὲ τὸν ἅγιο Παῦλο ποὺ λέγει· «εὐχαριστεῖτε αὐτόν»[81], δηλαδὴ τὸ Θεό.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

79. Ψαλμ. 103,15.
80. Ματθ. 4,4.
81. Α' Θεσ. 5,18.

ΟΕ'

Ἐρώτησις *αὐτοῦ.*

Ἆρα δυνατόν ἐστι τοὺς δαίμονας ἀγαθοποιῆσαί τινα; καὶ πῶς φανεροῦται ὅτι δαιμονιῶδές ἐστι; καὶ τίς ἡ διαφορὰ αὐτοῦ καὶ τοῦ θεϊκοῦ ἀγαθοῦ;

Ἀπόκρισις *Βαρσανουφίου.*

Ἐνδέχεται μὲν δόξῃ γίνεσθαί τινι ἀγαθὸν πρὸς ἀπάτην ἐκ τοῦ πονηροῦ. Ἀλλὰ πᾶν ἀγαθὸν γινόμενον ἐκ τοῦ διαβόλου πρὸς τὴν ἀπάτην τοῦ ἀνθρώπου, ψηλαφώμενον μετὰ ἀκριβείας, εὑρίσκεται μετασχηματισμός· ψεύστης γάρ ἐστι καὶ ἀλήθειαν ἐν αὐτῷ οὐχ εὑρίσκεις, καθὼς τὰ ἔσχατα τῆς ἐκβάσεως μαρτυρεῖ. Τὰ γὰρ ἔσχατα τοῦ φωτὸς αὐτοῦ, σκότος, κατὰ τὸν Ἀπόστολον, λέγοντα περὶ τῶν ἀγγέλων τοῦ διαβόλου τῶν μετασχηματιζομένων εἰς διακόνους δικαιοσύνης, «ὧν τὸ τέλος κατὰ τὰ ἔργα αὐτῶν»· καὶ κατὰ τὸν Σωτῆρα λέγοντα· «ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς».

Ἐὰν ἐρευνήσῃς ἐν γνώσει καὶ διακρίσει, εὑρίσκεις πάντως εἰς τὸ ὑπὸ τοῦ διαβόλου νομιζόμενον ἀγαθόν, μὴ ὂν τίποτε ἴχνος ἀγαθοῦ, ἀλλ' ἢ κενοδοξίαν ἢ τάραχον ἢ ἄλλο τι τοιοῦτον· τὸ δὲ τοῦ Θεοῦ ἀγαθόν, ἀεὶ πλεονάζει φωτισμὸν καὶ ταπείνωσιν καρδίας καὶ εἰς γαλήνην φέρει τὸν ἄνθρωπον. Ἐὰν δὲ μὴ εἰδότες πάθωμέν τι ἐκ τῆς ἀπάτης τοῦ πονηροῦ καὶ ὕστερον μάθωμεν τὸν πειρασμόν, ἀνακαλεσώμεθα ἑαυτοὺς καὶ προσφύγωμεν τῷ δυναμένῳ καταργῆσαι τὸν πειρασμόν. Γινώσκειν μὲν δεῖ, ὅτι τοῖς μὲν ἄλλοις εὐθὺς ἐξαρχῆς εὐκατάληπτός ἐστιν ἡ διαφορά,

405

Ἐρώτηση τοῦ ἰδίου.

Ἄραγε εἶναι δυνατὸν οἱ δαίμονες νὰ κάνουν καλὸ σὲ κάποιον; καὶ πῶς φανερώνεται ὅτι αὐτὸ εἶναι δαιμονιῶδες; Καὶ ποιά ἡ διαφορὰ αὐτοῦ καὶ τοῦ θεϊκοῦ ἀγαθοῦ;

Ἀπόκριση Βαρσανουφίου.

Ενδέχεται βέβαια νὰ φανεῖ ὅτι γίνεται κάποιο ἀγαθὸ πρὸς ἀπάτη ἀπὸ τὸν πονηρό. Ἀλλὰ κάθε ἀγαθὸ ποὺ γίνεται ἀπὸ τὸν διάβολο γιὰ ἐξαπάτηση τοῦ ἀνθρώπου, ἂν ψηλαφηθεῖ μὲ ἀκρίβεια, βρίσκεται νὰ εἶναι μετασχηματισμός· διότι εἶναι ψεύτης καὶ δὲν βρίσκεις ἀλήθεια σ' αὐτόν, ὅπως βεβαιώνουν τὰ ἔσχατα τῆς ἐκβάσεως. Διότι τὰ ἔσχατα τοῦ φωτός του εἶναι σκοτάδι, σύμφωνα μὲ τὸν Ἀπόστολο ποὺ λέγει γιὰ τοὺς ἀγγέλους τοῦ διαβόλου ποὺ μετασχηματίζονται σὲ διακόνους δικαιοσύνης, «τῶν ὁποίων τὸ τέλος εἶναι σύμφωνα μὲ τὰ ἔργα τους»[82], καὶ σύμφωνα μὲ τὸν Σωτήρα ποὺ λέγει· «ἀπὸ τοὺς καρπούς τους θὰ τοὺς καταλάβετε»[83].

Ἐὰν ἐρευνήσεις μὲ γνώση καὶ διάκριση θὰ βρεῖς ὁπωσδήποτε στὸ ἀπὸ τὸν διάβολο θεωρούμενο ἀγαθὸ νὰ μὴ ὑπάρχει οὔτε ἴχνος ἀγαθοῦ, παρὰ κενοδοξία ἢ ταραχὴ ἢ κάτι ἄλλο παρόμοιο, ἐνῶ τὸ ἀγαθὸ τοῦ Θεοῦ πάντοτε εἶναι γεμᾶτο μὲ φωτισμὸ καὶ ταπείνωση καρδιᾶς καὶ ὁδηγεῖ τὸν ἄνθρωπο στὴ γαλήνη. Ἐὰν ὅμως χωρὶς νὰ γνωρίζουμε πάθουμε κάτι ἀπὸ τὴν ἀπάτη τοῦ πονηροῦ καὶ μάθουμε ὕστερα τὸν πειρασμό, ἂς ἀνακαλέσουμε τοὺς ἑαυτούς μας καὶ ἂς προσφύγουμε σ' αὐτὸν ποὺ μπορεῖ νὰ καταργήσει τὸν πειρασμό. Πρέπει νὰ γνωρίζουμε ὅτι στοὺς ἄλλους ἡ διαφορὰ εἶναι εὐθὺς ἐξαρχῆς ἀντιληπτή, ἐνῶ στοὺς ἁμαρτωλοὺς γίνεται ἀντιληπτὴ ἀπὸ τὴν ἔκβαση· ὅπως ἂν

82. Β' Κορ. 11,15.
83. Ματθ. 7,16.

τοῖς δὲ ἁμαρτωλοῖς ἐκ τῆς ἀποβάσεως· ὥσπερ ἐάν τις δόκιμος χρυσοχόος λάβῃ χρυσὸν δύναται πρὸ τοῦ πυρῶσαι εἰπεῖν, τί ἐστίν, ὁ δὲ μὴ δόκιμος, ἡνίκα πυρώσῃ, τότε μανθάνει.

ΥϚʹ

Ἐρώτησις

Ἐὰν φανερωθῇ τὸ ἐκ τῶν δαιμόνων νομιζόμενον ἀγαθόν, σαφήνισόν μοι πῶς τις ἐκφύγῃ τὸν ἐξ αὐτοῦ κίνδυνον;

Ἀπόκρισις

Τὸ λογίζεσθαι τὰ καλὰ ὡς καλά, ὀφείλομεν ἀεί. Ἐὰν δὲ δοκιμασθῇ τὸ καλὸν γινόμενον, εὑρεθῇ δὲ κακόν, χρὴ ἀποβάλλειν αὐτό. Ὃν τρόπον γὰρ βλέπει τις βρώσιμόν τι καὶ νομίζει καλὸν εἶναι, γευόμενος δὲ εὑρίσκει αὐτὸ πικρὸν καὶ εὐθὺς ἀποβάλλει ἀπὸ τοῦ στόματος καὶ ναρκεῖ ἀπ' αὐτοῦ διὰ τὴν πικρίαν, οἷον κάρυον, ἀμύγδαλον καὶ τὰ λοιπά, οὐκ ἐγκαλεῖται διὰ τὴν γεῦσιν· ἀλλ', ἐὰν μάθῃ τὴν πικρίαν αὐτοῦ καὶ ἐμμείνῃ τρώγων αὐτό, ἐμπιπλᾷ τὴν γαστέρα αὐτοῦ τῆς πικρίας καὶ αἴτιος ὁ αὐτὸς τυγχάνει.

Οὕτω καὶ ἐνταῦθα. Ἐὰν οὖν χλευασθῇ ὁ ἄνθρωπος καὶ μάθῃ καὶ εἴπῃ, 'ἐχλευάσθην, Δέσποτα Κύριε, συγχώρησόν μοι', συγχωρεῖ· ἐλεήμων γάρ ἐστι. Τοῦτο δὲ μάθε, ἀγαπητέ, ὅτι ὁ Θεὸς οὐκ ἀφίησί τινα πειρασθῆναι ὑπὲρ ὃ δύναται. Ἐν παντὶ οὖν προσφέρωμεν αὐτῷ τὴν ἱκεσίαν, καὶ αὐτὸς διακρινεῖ ἡμῶν τὸ ἀγαθὸν ἀπὸ τοῦ νομιζομένου ἀγαθοῦ.

Αὐτῷ ἡ δοξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΖʹ

Ἐὰν φαίνηταί μοι τὸ πρᾶγμα, ὅτι κατὰ Θεόν ἐστι, ἀντιπράττει δὲ ἐναντίον ὁ λογισμός, κωλύων με ποιῆσαι αὐτό,

κάποιος δόκιμος χρυσοχόος πάρει χρυσὸ μπορεῖ πρὶν τὸν βάλλει στὴ φωτιὰ νὰ πεῖ τί εἶναι, ἐνῶ ἐκεῖνος ποὺ δὲν εἶναι δόκιμος, ὅταν τὸν πυρώσει, τότε μαθαίνει.

406

Ἐρώτηση

Ἐὰν φανερωθεῖ τὸ νομιζόμενο ἀπὸ τοὺς δαίμονες ἀγαθό, διασαφήνισέ μου, πῶς θὰ ἀποφύγει κανεὶς τὸν κίνδυνο ἀπὸ αὐτό;

Ἀπόκριση

Ὀφείλουμε πάντοτε νὰ θεωροῦμε τὰ καλὰ ὡς καλά. Ἐὰν ὅμως δοκιμασθεῖ τὸ καλὸ ποὺ γίνεται καὶ βρεθεῖ κακό, πρέπει νὰ τὸ ἀποβάλλουμε. Ὅπως δηλαδή, ὅταν κάποιος βλέπει κάτι φαγώσιμο καὶ νομίζει ὅτι εἶναι καλό, ὅταν ὅμως τὸ γεύεται τὸ βρίσκει πικρὸ καὶ ἀμέσως τὸ ἀποβάλλει ἀπὸ τὸ στόμα καὶ μουδιάζει ἀπὸ αὐτὸ ἐξαιτίας τῆς πίκρας, ὅπως εἶναι τὸ καρύδι, τὸ ἀμύγδαλο καὶ τὰ ὑπόλοιπα, καὶ δὲν κατηγορεῖται γιὰ τὴ γεύση αὐτοῦ· ἐὰν ὅμως μάθει τὴν πίκρα του καὶ ἐξακολουθήσει νὰ τὸ τρώγει γεμίζει τὴν κοιλιά του μὲ τὴν πίκρα καὶ γίνεται ὁ ἴδιος αἴτιος.

Ἔτσι καὶ ἐδῶ. Ἐὰν λοιπὸν χλευασθεῖ ὁ ἄνθρωπος καὶ μάθει καὶ πεῖ, 'χλευάσθηκα, Δέσποτα Κύριε, συγχώρεσέ με', τὸν συγχωρεῖ, διότι εἶναι ἐλεήμων. Καὶ μάθε αὐτό ἀγαπητέ, ὅτι ὁ Θεὸς δὲν ἀφήνει κανένα νὰ πειρασθεῖ περισσότερο ἀπὸ ὅσο μπορεῖ. Σὲ κάθε τι λοιπὸν νὰ τοῦ προσφέρουμε ἱκεσία, καὶ αὐτὸς θὰ διακρίνει τὸ ἀγαθό μας ἀπὸ τὸ θεωρούμενο ἀγαθό.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

407

Ἐὰν μοῦ φαίνεται κάποιο πρᾶγμα ὅτι εἶναι κατὰ Θεό, ἀντιτίθεται ὅμως ὁ λογισμός μου καὶ μὲ ἐμποδίζει νὰ τὸ

ὡς μὴ ὂν ἀγαθόν, πόθεν δύναμαι κατανοῆσαι, εἴ ἐστιν ἀληθῶς ἀγαθόν;.

Ἀπόκρισις

Ἐὰν φαίνηταί σοι τὸ πρᾶγμα ὅτι κατὰ Θεόν ἐστιν, ἀντιπράττῃ δὲ ἐναντίος λογισμός, ἐκ τούτου δοκιμάζεται εἴ ἐστιν ἀληθῶς κατὰ Θεόν· ἐὰν γὰρ ἡμῶν προσευχομένων στερεοῦται ἡ καρδία ἡμῶν εἰς τὸ ἀγαθὸν καὶ αὔξει μᾶλλον, ἢ γὰρ μειοῦται, τότε κἄν τε ἐπιμείνῃ ὁ ἐναντίος λογισμὸς θλίβων ἡμᾶς, κἄν τε μή, μάθωμεν ὅτι κατὰ Θεόν ἐστι τὸ πρᾶγμα· τῷ γὰρ ἀγαθῷ θλῖψις μὲν ἀντίκειται ἐκ τοῦ φθόνου τοῦ διαβόλου, αὐτὸ δὲ διὰ προσευχῆς μᾶλλον πλεονάζει. Ἐὰν δὲ ἐκ τοῦ διαβόλου ὑπεβλήθη τὸ νομιζόμενον ἀγαθόν, πρὸς ὃ καὶ ἡ ἀντίστασις αὐτοῦ ἐστι, τότε καὶ αὐτὸ τὸ δοκοῦν ἀγαθὸν μειοῦται, καὶ ἡ δοκοῦσα εἶναι ἀντίστασις· ὁ γὰρ ἐχθρὸς δοκεῖ ἀνθίστασθαι τῷ λογισμῷ τῷ παρ᾽ αὐτοῦ ὑποβαλλομένῳ, ὥστε ἐκ τούτου πλανῆσαι ἡμᾶς, ἡγεῖσθαι αὐτὸ ὡς ἀγαθόν.

ΥΗ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Τί οὖν; Ὅταν γίνηται τὸ ἀγαθὸν ἀθλίπτως, οὐκ ἔστι κατὰ Θεόν; καὶ ὅταν συμβῇ μικρὰν ποιῆσαι εὐποιΐαν καὶ εὑρεῖν τὸν λογισμὸν ἄθλιπτον, ἆρα ἀκαίρως ἐποίησα καὶ οὐκ ἀρέσκει τῷ Θεῷ τὸ γινόμενον; Φώτισόν μου τὴν καρδίαν, πάτερ, παρακαλῶ.

Ἀπόκρισις

Ἐάν τις ἀγαθὸν ποιήσας εὕρῃ τὸν λογισμὸν ἄθλιπτον, οὐκ ὀφείλει θαρρῆσαι, ὅτι ἄνευ θλίψεως παρέρχεται. Πᾶν γὰρ ἀγαθὸν τῆς ὁδοῦ τοῦ Θεοῦ ἐστι καὶ οὐ ψεύδεται ὁ λέγων· «στενὴ καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν

πράξω, ἐπειδὴ τάχα δὲν εἶναι ἀγαθό, ἀπὸ ποῦ μπορῶ νὰ καταλάβω, ἂν εἶναι πραγματικὰ ἀγαθό;

Ἀπόκριση

Ἐὰν σοῦ φαίνεται τὸ πρᾶγμα ὅτι εἶναι κατὰ Θεό, ἀντιπράττει ὅμως ὁ ἀντίθετος λογισμός, ἀπὸ τὸ ἑξῆς δοκιμάζεται ἐὰν εἶναι πραγματικὰ κατὰ Θεό. Δηλαδὴ ἄν, ἐνῶ ἐμεῖς προσευχόμαστε, στερεώνεται ἡ καρδιά μας στὸ ἀγαθὸ καὶ μᾶλλον αὐξάνεται παρὰ μειώνεται, τότε ἀκόμα εἴτε ἐπιμείνει ὁ ἀντίθετος λογισμὸς νὰ μᾶς θλίβει εἴτε ὄχι, πρέπει νὰ ξέρουμε ὅτι τὸ πρᾶγμα εἶναι κατὰ Θεό· διότι στὸ ἀγαθὸ ἀντιτίθεται θλίψη ἀπὸ τὸ φθόνο τοῦ διαβόλου, αὐτὸ ὅμως μὲ τὴν προσευχὴ αὐξάνεται περισσότερο. Ἐὰν πάλι τὸ θεωρούμενο ἀγαθὸ ὑποβλήθηκε ἀπὸ τὸν διάβολο καὶ πρὸς αὐτὸ ἀναφέρεται ἡ ἀντίσταση αὐτῶν, τότε καὶ αὐτὸ τὸ φαινομενικὰ ἀγαθὸ μειώνεται, καθὼς ἐπίσης καὶ ἡ φαινομενικὴ ἀντίστασή του· διότι ὁ ἐχθρὸς ἀντιστέκεται στὸ λογισμὸ ποὺ ὑποβάλλεται ἀπὸ αὐτόν, ὥστε μὲ αὐτὸ νὰ μᾶς πλανήσει νὰ τὸ θεωρήσουμε ὡς ἀγαθό.

408

Ἐρώτηση τοῦ ἰδίου.

Τί λοιπὸν συμβαίνει; Ὅταν τὸ ἀγαθὸ γίνεται χωρὶς θλίψη δὲν εἶναι κατὰ Θεό; Καὶ ὅταν συμβεῖ νὰ κάνω μικρὴ εὐεργεσία καὶ βρῶ τὸν λογισμὸ χωρὶς θλίψη, ἄραγε ἄκαιρα τὸ ἔκανα καὶ δὲν ἀρέσει στὸ Θεὸ αὐτὸ ποὺ γίνεται; Σὲ παρακαλῶ, πάτερ, φώτισέ μου τὴν καρδιά.

Ἀπόκριση

Ἐὰν κανείς, ἀφοῦ ἔκανε ἀγαθό, βρεῖ τὸν λογισμὸ χωρὶς νὰ ἔχει θλίψη, δὲν πρέπει νὰ πάρει θάρρος, διότι τὸ ἀγαθὸ χωρὶς θλίψη παρέρχεται. Πράγματι κάθε ἀγαθὸ εἶναι τῆς ὁδοῦ τοῦ Θεοῦ καὶ δὲν ψεύδεται ἐκεῖνος ποὺ λέγει·

ζωήν». Κἂν γὰρ μὴ τῷ καιρῷ τῆς πράξεως τοῦ ἀγαθοῦ συμβῇ θλῖψις, ἀλλὰ δεῖ μετὰ ταῦτα θλιβῆναι τὸν ἄνθρωπον. Ἡνίκα δὲ μετὰ προθυμίας ποιῇ τις τὸ ἀγαθον, οὐκ αἰσθάνεται αὐτῆς, ἀλλ' οὐδὲ πάλιν αἰσθάνεται, ὅτι πολυτρόπως ἡ θλῖψις συμβαίνει. Κἂν θέλωμεν ἀκριβολογήσασθαι, πάντως εὑρίσκομεν αὐτὴν ἢ διὰ κενοδοξίας κεκρυμμένην, καὶ τοῦτο γὰρ τῶν θλίψεών ἐστιν, ἢ διὰ προσώπου κωλύοντος ἡμᾶς, ἢ διὰ τὸ μετὰ ταῦτα χρήζειν τῶν παρ' ἡμῶν ἐν εὐποιΐᾳ δοθέντων. Μὴ εὑρίσκοντες γὰρ εἰς τὰς χεῖρας, εἰς μετάμελον τρεπόμεθα· καὶ τότε ποῦ εὑρίσκομεν τὸν ἄθλιπτον λογισμόν;

Πρὸ ταῦτα οὖν οὐ δεῖ θαρρῆσαι· τηρεῖ γὰρ τὴν θλῖψιν καὶ εἰς τὸ μετὰ ταὐτα τοῖς ἀσυνέτοις· ὃ γὰρ συνιεῖς πάντοτε, ἀεὶ προσδόκα τὴν θλῖψιν. Ἐὰν μὴ σήμερον, αὔριον, καὶ οὐ ταράττῃ· «ἡτοιμάσθην γάρ», φησί, «καὶ οὐκ ἐταράχθην»· καὶ μακάριος ὁ ἔχων πρὸ ὀφθαλμῶν πάντοτε, «ὅτι τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς», καὶ λογιζόμενος, ὅτι ὡς θέλει δυνατός ἐστιν οἰκονομῆσαι μετὰ τῶν δούλων αὐτοῦ· ὁ γὰρ τοιοῦτος, οὐ μεταγινώσκει περὶ τῶν δοθέντων. Κἂν οὖν εὕρωμεν θλῖψιν, μάθωμεν, ὅτι πρὸς δοκιμὴν ἡμῶν συγχωρεῖ ὁ Θεός· ἐπεὶ οὐδέποτε παραβλέπει τοὺς φοβουμένους αὐτόν· μάλιστα τοὺς διὰ τὸ ὄνομα αὐτοῦ ποιοῦντας.

ΥΘ'

Ἐρώτησις

Ἆρα ἐνθυμεῖταί τι ἀγαθὸν ἐξ ἰδίας προαιρέσεως ὁ ἄνθρωπος;

«στενὴ καὶ γεμάτη θλίψεις εἶναι ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὴ ζωή»[84]· διότι, κι ἂν ἀκόμα δὲν συμβεῖ θλίψη κατὰ τὴ διάρκεια τῆς ἐκτλέσεως τοῦ ἀγαθοῦ, ὅμως στὴ συνέχεια πρόκειται νὰ θλιβεῖ ὁ ἄνθρωπος. Ὅταν κάνει κανεὶς μὲ προθυμία τὸ ἀγαθό, δὲν τὴν αἰσθάνεται, ἀλλὰ οὔτε ἔπειτα τὴν αἰσθάνεται, διότι ἡ θλίψη συμβαίνει μὲ πολλοὺς τρόπους. Καὶ ἂν θέλουμε νὰ ἀκριβολογήσουμε, ὁπωσδήποτε τὴ βρίσκουμε ἢ κρυμμένη μὲ τὴν κενοδοξία, διότι καὶ αὐτὸ εἶναι ἐπακόλουθο τῶν θλίψεων, ἢ μὲ πρόσωπο ποὺ μᾶς ἐμποδίζει ἢ μὲ τὸ νὰ χρειαζόμαστε ἔπειτα ἐκεῖνα ποὺ δώσαμε μὲ τὴν εὐεργεσία. Διότι, μὴ βρίσκοντάς τα στὰ χέρια μας, στρεφόμαστε σὲ μεταμέλεια· καὶ τότε ποῦ βρίσκουμε τὸν χωρὶς θλίψη λογισμό;

Δὲν πρέπει λοιπὸν πρὶν ἀπὸ αὐτὰ νὰ δείχνουμε θάρρος· διότι φυλάγει τὴν θλίψη καὶ στὰ μετὰ ἀπὸ αὐτὰ γιὰ τοὺς ἀσύνετους· ὅ,τι παρατηρεῖς πάντοτε, νὰ προσδοκᾶς πάντοτε τὴ θλίψη. Ἐὰν ὄχι σήμερα, αὔριο, καὶ μὴ ταράζεσαι· διότι λέγει «ἑτοιμάσθηκα καὶ δὲν ταράχθηκα»[85]· καὶ μακάριος εἶναι ἐκεῖνος ποὺ ἔχει πάντα μπροστὰ στὰ μάτια του τό, «ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς εἶναι τοῦ Κυρίου»[86], καὶ σκέπτεται, ὅτι εἶναι δυνατὸς νὰ οἰκονομήσει τὰ πράγματα μὲ τοὺς δούλους του ὅπως θέλει· διότι αὐτὸς δὲ μετανοεῖ γιὰ ἐκεῖνα ποὺ ἔδωσε. Καὶ ἂν ἀκόμα λοιπὸν συναντήσουμε θλίψη, ἂς ξέρουμε ὅτι ὁ Θεὸς τὴν παραχωρεῖ γιὰ δοκιμασία μας· διότι ποτὲ δὲν παραβλέπει ἐκείνους ποὺ τὸν φοβοῦνται, καὶ πρὸ πάντων ἐκείνους ποὺ τὸ κάνουν χάριν τοῦ ὀνόματός του.

409

Ἐρώτηση

Ἄραγε ὁ ἄνθρωπος ἐνθυμεῖται κάτι ἀγαθὸ ἀπὸ δική του προαίρεση;

84. Ματθ. 7,14.
85. Ψαλμ. 118,60.
86. Α΄ Κορ. 10,26.

Ἀπόκρισις

Συμβαίνει μὲν πολλάκις ὑπὸ κινήσεως τοῦ φυσικοῦ λογισμοῦ ἐνθυμεῖσθαί τινα τὸ ἀγαθόν, ἀλλὰ καὶ οὕτως ἐπιγράφειν δεῖ τῷ Θεῷ· ἡ γὰρ φύσις ποίημα αὐτοῦ ἐστι. Γινώσκειν δὲ ὀφείλομεν, ὅτι οὐκ ἄγομεν αὐτὸ εἰς τέλος, εἰ μὴ διὰ τῆς τοῦ Θεοῦ ἐντολῆς. Ὅταν γὰρ προτιθώμεθα αὐτὴν πρὸ ὀφθαλμῶν, τότε στερεοῦται ἐν αὐτῇ ἡ καρδία ἡμῶν πληρῶσαι τὸ ἀγαθόν.

ΥΙ΄

Ἐρώτησις

Ὁμοίως ὅταν ποιῶ τι ἀγαθόν, πῶς ὀφείλω ταπεινῶσαί μου τὸν λογισμόν; Καὶ πῶς βαστάσω τὴν ἐμαυτοῦ μέμψιν, πράξας τὸ ἀγαθόν;

Ἀπόκρισις

Εἰς ταπείνωσιν τοῦ λογισμοῦ, ὅταν ποιήσῃς πᾶν ἀγαθὸν καὶ φυλάξῃς πάσας τὰς ἐντολάς, μνημόνευσον τοῦ εἰπόντος· «ὅταν ταῦτα πάντα ποιήσητε, εἴπατε, ὅτι 'ἀχρεῖοι δοῦλοί ἐσμεν, ὅτι, ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν'». Πόσῳ μᾶλλον ὅτι οὔπω ἐφθάσαμεν πληρῶσαι μίαν ἐντολήν; Καὶ οὕτω δεῖ φρονεῖν πάντοτε καὶ ἐπὶ τῷ ἀγαθῷ ἔργῳ βαστάζειν τὴν μέμψιν, καὶ ὅτι οὐκ οἶδα εἰ ἀρέσκει τῷ Θεῷ.

Τὸ γὰρ ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ, μέγα ἐστί· τὸ δὲ πληρῶσαι, μεῖζον· συμπλήρωσις γάρ ἐστι πασῶν τῶν ἐντολῶν· τὸ γὰρ ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ μερικόν ἐστι καὶ μικρότερον τοῦ πληρῶσαι. Διὰ τοῦτο εἶπεν ὁ Ἀπόστολος· «τῶν ὄπισθεν ἐπιλανθανόμενος καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος». Λοιπὸν

Ἀπόκριση

Συμβαίνει πολλὲς φορὲς νὰ θυμηθεῖ κάποιος τὸ ἀγαθὸ ἀπὸ κίνηση τοῦ φυσικοῦ λογισμοῦ, ἀλλὰ καὶ τότε πρέπει νὰ τὸ ἀποδίδει στὸ Θεό· διότι ἡ φύση εἶναι ποίημά του. Καὶ πρέπει νὰ γνωρίζουμε ὅτι δὲν μποροῦμε νὰ τὸ τελειώσουμε, παρὰ μόνο μὲ τὴν ἐντολὴ τοῦ Θεοῦ. Διότι, ὅταν βάζουμε αὐτὴν τὴν ἐντολὴ μπροστὰ στὰ μάτια, τότε στερεώνεται σ' αὐτὴν ἡ καρδιά μας γιὰ νὰ πραγματοποιήσει τὸ ἀγαθό.

410

Ἐρώτηση

Ὅμοια, ὅταν κάνω κάτι ἀγαθό, πῶς ὀφείλω νὰ ταπεινώσω τὸν λογισμό μου; Καὶ πῶς θὰ τηρήσω τὴ μέμψη τοῦ ἑαυτοῦ μου, ἀφοῦ ἔκανα τὸ ἀγαθό.

Ἀπόκριση

Ὡς πρὸς τὴν ταπείνωση τοῦ λογισμοῦ, ὅταν κάνεις κάθε ἀγαθὸ καὶ φυλάξεις ὅλες τὶς ἐντολές, θυμήσου ἐκεῖνον ποὺ εἶπε· «ὅταν τὰ κάνετε ὅλα αὐτά, πέστε, ὅτι εἴμαστε ἀχρεῖοι δοῦλοι, διότι ἔχουμε κάνει ἐκεῖνο ποὺ ὀφείλουμε νὰ κάνουμε»[87], πόσο μᾶλλον ἐμεῖς ποὺ δὲν φθάσαμε νὰ πραγματοποιήσουμε οὔτε μία ἐντολή; Καὶ ἔτσι πρέπει νὰ σκεπτόμαστε πάντοτε καὶ νὰ τηροῦμε τὴ μέμψη στὸ ἀγαθὸ ἔργο, μὲ τὴ σκέψη ὅτι δὲν γνωρίζω, ἂν ἀρέσει στὸ Θεό.

Πράγματι τὸ νὰ κάνεις τὸ θέλημα τοῦ Θεοῦ εἶναι μεγάλο πρᾶγμα, τὸ νὰ τὸ ἐκπληρώσεις ὅμως εἶναι μεγαλύτερο· διότι αὐτὸ εἶναι συμπλήρωση ὅλων τῶν ἐντολῶν. Τὸ νὰ κάνεις τὸ θέλημα τοῦ Θεοῦ εἶναι μερικὸ καὶ μικρότερο τῆς ἐκπληρώσεως. Γι' αὐτὸ ὁ Ἀπόστολος εἶπε· «ξεχνώντας τὰ ὀπίσω καὶ ἐπεκτει-

---

87. Λουκᾶ 17,10.

γὰρ ὅσον τις ἐπεκτείνεται, οὐκ ἔχει διακοπήν, ἀλλὰ πάντοτε βλέπει ἑαυτὸν ὑστερούμενον, καὶ προκόπτει. Αὐτὸς γὰρ εἶπεν· «ὅσοι τέλειοι, τοῦτο φρονοῦμεν», τουτέστι τὸ προκόπτειν· εἶπε δέ, ὅτι, εἰ καὶ ἄλλο τι φρονεῖτε, καὶ τοῦτο ὑμῖν ἀποκαλύψει ὁ Κύριος.

ΥΙΑ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Ὅταν ποιῶ ἐντολήν, πῶς δύναμαι φυγεῖν τὴν ὑψηλοφροσύνην, ἵνα εἰδῶ, ὅτι καὶ ἀγαθὸν ποιήσας, ἀλλότριός εἰμι αὐτοῦ;

Ἀπόκρισις

Ἀ*δελφέ, τὰ καλὰ πράγματα, καλὰ ὀφείλομεν ἔχειν καὶ προστρέχειν αὐτοῖς ὡς καλοῖς· οὐ πρέπει γὰρ τὸ καλὸν ἔχειν ὡς κακόν, ἀλλ' ὅτε μὴ πράττῃ τις τὸ καλὸν κατὰ τὸ ἀρέσκον Θεῷ· καὶ τοῦτο εὑρίσκεται κακῶς γινόμενον, διὰ τὴν τοῦ ποιοῦντος διάκρισιν. Σπουδὴν δέ τις ὀφείλει ἔχειν τοῦ πάντοτε τὸ καλὸν ποιεῖν· καὶ ὑστεροῦντι, Θεοῦ χάριτι προσγίνεται αὐτῷ τὸ κατὰ φόβον Θεοῦ γενέσθαι.*

Ὅταν οὖν γίνηται διὰ σοῦ τὸ ἀγαθόν, εὐχαρίστησον τῷ δοτῆρι τῶν ἀγαθῶν, ὡς αὐτοῦ ὑπάρχοντος τοῦ ἀγαθοῦ· σεαυτὸν δὲ μέμψαι λέγων, 'εἰ καλῶς κἀγὼ μετῆλθον τὸ πρᾶγμα, συμμέτοχος εἶχον εἶναι τοῦ ἀγαθοῦ'· καὶ τότε εὑρίσκεις δεηθῆναι τοῦ Θεοῦ μετὰ κατανύξεως καταξιῶσαί σε τοῦ γενομένου διὰ σοῦ ἀγαθοῦ.

νόμενος στὰ ἐμπρός»[88]. Ὅσο λοιπὸν ἐπεκτείνεται κάποιος, δὲν ἔχει διακοπή, ἀλλὰ πάντοτε βλέπει τὸν ἑαυτό του νὰ ὑστερεῖ καὶ ἔτσι προκόβει. Διότι αὐτὸς εἶπε· «ὅσοι εἴμαστε τέλειοι σκεπτόμαστε αὐτό»[89], δηλαδὴ τὴν προκοπή· καὶ εἶπε ἐπίσης ὅτι, «ἐὰν σκέπτεστε καὶ κάτι ἄλλο, καὶ αὐτὸ θὰ σᾶς τὸ ἀποκαλύψει ὁ Κύριος»[89].

411

Ἐρώτηση τοῦ ἰδίου.

Ὅταν ἐκτελῶ ἐντολή, πῶς μπορῶ νὰ ἀποφύγω τὴν ὑψηλοφροσύνη, γιὰ νὰ γνωρίσω, ὅτι, κι ἂν ἀκόμη ἔκανα ἀγαθό, εἶμαι ξένος πρὸς αὐτό;

Ἀπόκριση

Ἀδελφέ, τὰ καλὰ πράγματα ὀφείλουμε νὰ τὰ θεωροῦμε καλὰ καὶ νὰ προστρέχουμε σ' αὐτὰ ὡς καλά· διότι δὲν πρέπει τὸ καλὸ νὰ τὸ θεωρεῖ κανεὶς σὰν κακό, παρὰ μόνο ὅταν δὲν κάνει τὸ καλὸ σύμφωνα μ' αὐτὸ ποὺ ἀρέσει στὸ Θεό· καὶ αὐτὸ συμβαίνει νὰ γίνεται ἄσχημα ἐξαιτίας τῆς διακρίσεως αὐτοῦ ποὺ τὸ κάνει. Ὀφείλει κανεὶς νὰ φροντίζει, ὥστε νὰ κάνει πάντοτε τὸ καλό· καὶ ἐὰν ὑστερεῖ, μὲ τὴ χάρη τοῦ Θεοῦ, προστίθεται σ' αὐτὸν ἡ δύναμη, ὥστε νὰ γίνει αὐτὸ σύμφωνα μὲ τὸ φόβο Θεοῦ.

Ὅταν λοιπὸν γίνεται ἀπὸ σένα τὸ ἀγαθό, εὐχαρίστησε τὸν δωρητὴ τῶν ἀγαθῶν, μὲ τὴ βεβαιότητα ὅτι αὐτὸς εἶναι τὸ ἴδιο τὸ ἀγαθό, καὶ κατάκρινε τὸν ἑαυτό σου λέγοντας, 'ἐὰν ἐνεργοῦσα καὶ ἐγὼ τὸ πρᾶγμα καλῶς θὰ ἤμουν συμμέτοχος τοῦ ἀγαθοῦ'. Καὶ τότε βρίσκεις τὸν τρόπο νὰ παρακαλέσεις τὸ Θεὸ μὲ κατάνυξη νὰ σὲ καταξιώσει τὸ ἀγαθὸ ποὺ γίνεται διὰ μέσου σοῦ.

---

88. Φιλ. 3,13.
89. Φιλ. 3,15.

ΥΙΒ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐὰν συμβῇ με μακροθυμῆσαι ἐν πράγματι καὶ ὑψηλοφρονεῖ ὁ λογισμός, τί οὖν δεῖ με λογίζεσθαι;

Ἀπόκρισις

Καὶ ἤδη εἶπόν σοι, ὅτι 'ἐὰν συμβῇ σε ὅτι δήποτε ἀγαθὸν ποιῆσαι, γινώσκειν ὀφείλεις ὅτι αὕτη ἡ δωρεὰ τοῦ Θεοῦ ἐστι διὰ τὴν ἰδίαν ἀγαθότητα'· πάντας γὰρ ἐλεεῖ. Πρόσεχε δὲ σεαυτῷ, μὴ διὰ τὴν σὴν ἀσθένειαν ἀπολέσῃς τὸ παρ' αὐτοῦ γινόμενον πρὸς σὲ ἔλεος, ὅπερ καὶ εἰς πάντας γίνεται τοὺς ἁμαρτωλούς. Εἰ οὖν αὐτὸς καλῶς ἔδωκε, σὺ μὴ ἀπολέσῃς κακῶς. Ὁ τρόπος δὲ τῆς ἀπωλείας τοῦ πράγματος ἔστιν οὗτος· τὸ ἐπαινέσαι σεαυτὸν μακροθυμήσαντα, καὶ ἐπιλαθέσθαι τοῦ εὐεργατήσαντός σε Θεοῦ. Οὐ μόνον δέ, ἀλλὰ καὶ κατάκρισιν σεαυτῷ προξενεῖς, τολμῶν σεαυτῷ τοῦτο ἐπιγράφειν, ἐφ' ᾧ μᾶλλον δεῖ τὴν εὐχαριστίαν ἀναπέμπειν τῷ φιλανθρώπῳ Θεῷ. Φησὶ γὰρ ὁ Ἀπόστολος, «τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;».

Λέγε δὲ τῷ ἐπαινοῦντί σε ἐν οἱῳδήποτε πράγματι λογισμῷ, ὅτι οἱ ἐν θαλάσσῃ πλέοντες, κἂν συμβῇ αὐτοὺς γαληνιάσαι, ἀλλ' ἔτι ἐν τῷ πελάγει ὑπάρχουσι καὶ προσδοκῶσι τὴν ζάλην καὶ τὸν κίνδυνον καὶ τὸ ναυάγιον καὶ οὐδὲν αὐτοὺς ὠφέλησεν ἡ πρὸς μικρὸν γαλήνη· τότε γὰρ καὶ μόνον ἔχουσι τὸ ἀσφαλές, ὅταν εἰς αὐτὸν ἔλθωσι τὸν λιμένα· πολλοὶ δὲ καὶ ἐν αὐτῷ τῷ στομίῳ ἐναυάγησαν.

Οὕτω γοῦν καὶ ὁ ἁμαρτωλός, ἐφ' ὅσον ἐστὶν ἐν τῷ κόσμῳ, τρέμειν ὀφείλει τὸ ναυάγιον πάντοτε. Μηδέποτε οὖν πλανηθῇς

412

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν μοῦ συμβεῖ νὰ μακροθυμήσω σὲ κάτι καὶ ὑψηλοφρονεῖ ὁ λογισμός, τί πρέπει τότε νὰ σκέπτομαι;

Ἀπόκριση

Σοῦ εἶπα ἤδη, ὅτι, ἐὰν σοῦ συμβεῖ νὰ κάνεις ὁποιοδήποτε ἀγαθό, ὀφείλεις νὰ γνωρίζεις ὅτι αὐτὴ ἡ δωρεὰ εἶναι τοῦ Θεοῦ, προερχόμενη ἀπὸ τὴν ἀγαθότητά του· διότι ὅλους τοὺς ἐλεεῖ. Καὶ πρόσεχε τὸν ἑαυτό σου, μήπως ἐξαιτίας τῆς ἀσθένειάς σου χάσεις τὸ ἔλεος ποὺ σοῦ παρέχει αὐτός, πρᾶγμα ποὺ γίνεται σὲ ὅλους τοὺς ἁμαρτωλούς. Ἐὰν λοιπὸν αὐτὸς τὸ ἔδωσε καλῶς, ἐσὺ νὰ μὴ τὸ χάσεις κακῶς. Καὶ ὁ τρόπος τῆς ἀπώλειας τοῦ πράγματος εἶναι αὐτός· τὸ νὰ ἐπαινέσεις τὸν ἑαυτό σου ποὺ μακροθύμησε καὶ νὰ ξεχάσεις τὸ Θεὸ ποὺ σὲ εὐεργέτησε. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ προξενεῖς καὶ κατάκριση στὸν ἑαυτό σου, τολμώντας ν' ἀποδώσεις αὐτὸ στὸν ἑαυτό σου, ἐνῶ μᾶλλον πρέπει νὰ ἀναπέμπεις τὴν εὐχαριστία στὸν φιλάνθρωπο Θεό. Διότι ὁ Ἀπόστολος λέγει· «τί ἔχεις λοιπὸν ποὺ δὲν τὸ ἔλαβες; καὶ ἐὰν τὸ ἔλαβες, γιατί καυχιέσαι σὰν νὰ μὴ τὸ ἔλαβες;»[90].

Λέγε λοιπὸν στὸ λογισμὸ ποὺ σὲ ἐπαινεῖ γιὰ ὁποιοδήποτε πρᾶγμα, ὅτι αὐτοὶ ποὺ πλέουν στὴ θάλασσα, κι ἂν ἀκόμα τοὺς συμβεῖ νὰ βροῦν γαλήνη, βρίσκονται ἀκόμα στὸ πέλαγος καὶ προσδοκοῦν τὴν τρικυμία καὶ τὸν κίνδυνο καὶ τὸ ναυάγιο, καὶ καθόλου δὲν τοὺς ὠφέλησε ἡ πρὸς στιγμὴ γαλήνη. Διότι τότε καὶ μόνο ἔχουν τὴν ἀσφάλεια, ὅταν φθάσουν μέσα στὸ λιμάνι· πολλοὶ μάλιστα ναυάγησαν καὶ σ' αὐτὸ ἀκόμα τὸ στόμιό του.

Ἔτσι λοιπὸν καὶ ὁ ἁμαρτωλός, ἐφόσον βρίσκεται μέσα στὸν κόσμο, ὀφείλει νὰ τρέμει πάντοτε τὸ ναυάγιο. Νὰ μὴ πλα-

90. Α' Κορ. 4,7.

πιστεῦσαι τῷ ἐπαινοῦντί σε λογισμῷ ἐπὶ καλῷ πράγματι· τὸ γὰρ καλὸν τοῦ Θεοῦ ἐστι, καὶ οὐ δυνάμεθα θαρρῆσαι, ὅτι παραμένει μεθ' ἡμῶν διὰ τὴν ἡμετέραν ἀμέλειαν· καὶ πῶς τολμήσωμεν ὑψηλοφρονῆσαι;

ΥΙΓ'

Ἐρώτησις

Ἐὰν δὲ εἴπω τῷ λογισμῷ, θέλων αὐτὸν ταπεινῶσαι, ὅτι οὐδὲ ἐκ τοῦ Θεοῦ ἐγένετό μοι ἡ μακροθυμία, ἀλλ' ἐκ τοῦ πονηροῦ πρὸς ἀπάτην εἰς τὸ ὑψηλοφρονῆσαι, μὴ παροργίζω ἐν τούτῳ τὸν Θεόν, ἐπειδὴ πάντα τὰ καλὰ ἐκ τοῦ Θεοῦ;

Ἀπόκρισις

Ο*ὐκ ἔστι βαρὺ τὸ λέγειν 'μὴ εἶναι αὐτὸ ἐκ τοῦ Θεοῦ'· οὐ γὰρ παροργίζεται ἐν τούτῳ ὁ Θεός, ἐπειδὴ εἰς καθαίρεσιν τοῦ πονηροῦ λογισμοῦ λέγεται παρὰ σοῦ· καὶ γάρ τις τῶν ἁγίων εἶπέ τισιν ἐλθοῦσι πρὸς αὐτὸν περὶ τοῦ ἀποθανόντος ἐν τῇ ὁδῷ ὄνου μετ' αὐτῶν, καὶ θαυμάσαντες ἐκεῖνοι ἠρώτησαν, 'πόθεν ἔμαθε;' Καὶ εἶπεν αὐτοῖς· 'οἱ δαίμονές μοι εἶπον'. Καίτοι ἐκ Θεοῦ ὑπῆρξεν αὐτῷ ἡ γνῶσις τοῦ γενομένου, ἀλλὰ πρὸς ὠφέλειαν ἐκείνων τοῦτο ἀπεκρίνατο· καὶ οὐ παρώργισε τὸν Θεόν.*

ΥΙΔ'

Ἐρώτησις

Ἐὰν οὖν γίνωνται ὀπτασίαι ἁμαρτωλῷ, ἆρα οὐκ ὀφείλει ὅλως πιστεύειν ὅτι ἐκ τοῦ Θεοῦ εἰσιν;

νηθεῖς λοιπὸν ποτὲ νὰ πιστέψεις στὸ λογισμὸ ποὺ σὲ ἐπαινεῖ γιὰ κάποιο καλὸ πρᾶγμα· διότι τὸ καλὸ εἶναι τοῦ Θεοῦ καὶ δὲν μποροῦμε νὰ πάρουμε θάρρος ὅτι θὰ παραμένει μαζί μας ἐξ αἰτίας τῆς ἀμέλειάς μας. Πῶς λοιπὸν θὰ τολμήσουμε νὰ ὑψηλοφρονήσουμε;

413

Ἐρώτηση

Ἐὰν ὅμως πῶ στὸ λογισμό, θέλοντας νὰ τὸν ταπεινώσω, ὅτι ἡ μακροθυμία δὲν μοῦ ἔγινε ἀπὸ τὸ Θεό, ἀλλὰ ἀπὸ τὸν πονηρὸ γιὰ ἐξαπάτηση, ὥστε νὰ ὑψηλοφρονήσω, μήπως παροργίζω μ' αὐτὸ τὸ Θεό, ἐπειδὴ ὅλα τὰ καλὰ προέρχονται ἀπὸ τὸ Θεό;

Ἀπόκριση

Δὲν εἶναι βαρὺ τὸ νὰ λέγεις ὅτι 'αὐτὸ δὲν εἶναι ἀπὸ τὸ Θεό'· δὲν παροργίζεται μ' αὐτὸ ὁ Θεός, ἐφ' ὅσον τὸ λέγεις γιὰ καθαίρεση τοῦ πονηροῦ λογισμοῦ. Πράγματι κάποιος ἀπὸ τοὺς ἁγίους εἶπε σὲ μερικοὺς ποὺ ἦρθαν σ' αὐτὸν γιὰ τὸν ὄνο ποὺ εἶχαν μαζί τους καὶ πέθανε στὸ δρόμο· ἀπορώντας ἐκεῖνοι τὸν ἐρώτησαν, ἀπὸ ποῦ τὸ ἔμαθε. Καὶ τοὺς εἶπε, 'οἱ δαίμονες μοῦ τὸ εἶπαν', ἂν καὶ βέβαια ἡ γνώση τοῦ συμβάντος τοῦ εἶχε δοθεῖ ἀπὸ τὸ Θεό· ὅμως αὐτὸς ἔδωσε αὐτὴν τὴν ἀπόκριση γιὰ νὰ ὠφελήσει ἐκείνους, καὶ δὲν παρόργισε τὸ Θεό.

414

Ἐρώτηση

Ἐὰν λοιπὸν γίνονται ὀπτασίες στὸν ἁμαρτωλό, δὲν ὀφείλει αὐτὸς νὰ πιστεύει γενικὰ ὅτι προέρχονται ἀπὸ τὸ Θεό;

Ἀπόκρισις

Οταν τοῦτο γίνηται ἁμαρτωλῷ, φανερόν ἐστιν ὅτι ἐκ τῶν πονηρῶν δαιμόνων ἐστί, πρὸς τὸ ἀπατῆσαι τὴν ἀθλίαν ψυχὴν εἰς ἀπώλειαν. Οὐ δεῖ οὖν οὐδέποτε πιστεύειν αὐτοῖς, ἀλλ' ἐπιγινώσκειν τὰς ἰδίας ἁμαρτίας καὶ τὴν αὐτοῦ ἀσθένειαν, καὶ ἐν τρόμῳ καὶ φόβῳ πάντοτε διάγειν.

ΥΙΕ'

Ἐρώτησις

Ἆρα καὶ ὅτε ἐν σχήματι τοῦ Δεσπότου Χριστοῦ φαίνωνται, καὶ τότε δεῖ αὐτοὺς ἀποστρέφεσθαι;

Ἀπόκρισις

Τότε πολλῷ πλέον τὴν αὐτῶν πονηρίαν καὶ τὴν πλάνην ἀποστρέφεσθαι καὶ ἀναθεματίζειν χρή. Μηδέποτε οὖν πλανηθῇς, ἀδελφέ, εἰς τὴν τοιαύτην δαιμονιώδη πληροφορίαν· τοῖς γὰρ ἁγίοις αἱ θεϊκαὶ γίνονται ὀπτασίαι· καὶ ἀεὶ προτρέχει γαλήνη καὶ εἰρήνη καὶ εὐθυμία ἐν ταῖς ἑαυτῶν καρδίαις. Καὶ ὅμως τὴν ἀλήθειαν ἐπιγινώσκοντες, ἀναξίους ἑαυτοὺς κρίνουσι· πόσῳ μᾶλλον χρὴ τοὺς ἁμαρτωλοὺς μηδέποτε τούτοις πιστεύειν, εἰδότας τὴν ἰδίαν ἀναξιότητα.

ΥΙϚ'

Ἐρώτησις.

Εἰπέ μοι, δέσποτα, πῶς τολμᾷ ὁ διάβολος εἴτε κατ' ὀπτασίαν εἴτε κατὰ φαντασίαν ὀνείρων δεῖξαι τὸν Δεσπότην Χριστὸν ἢ τὴν ἁγίαν Κοινωνίαν;

Ἀπόκριση

Όταν γίνεται αὐτὸ στὸν ἁμαρτωλό, εἶναι φανερὸ ὅτι προέρχεται ἀπὸ τοὺς πονηροὺς δαίμονες, γιὰ νὰ ἀπατήσουν τὴν ἄθλια ψυχή του καὶ νὰ τὴν ὁδηγήσουν στὴν ἀπώλεια. Δὲν πρέπει λοιπὸν ποτὲ νὰ τοὺς πιστεύει κανείς, ἀλλὰ ν' ἀναγνωρίζει τὶς ἁμαρτίες του καὶ τὴν ἀσθένειά του καὶ νὰ ζεῖ πάντα μὲ τρόμο καὶ φόβο.

415

Ἐρώτηση

Ἄραγε καὶ ὅταν ἐμφανίζονται μὲ τὸ σχῆμα τοῦ Δεσπότη Χριστοῦ, καὶ τότε πρέπει νὰ τοὺς ἀποστρεφόμαστε;

Ἀπόκριση

Τότε πολὺ περισσότερο πρέπει νὰ ἀποστρεφόμαστε καὶ νὰ ἀναθεματίζουμε τὴν πονηρία καὶ τὴν πλάνη τους. Ποτὲ λοιπὸν νὰ μὴ πλανηθεῖς, ἀδελφέ, μ' αὐτὴ τὴ δαιμονιώδη πληροφορία· διότι οἱ θεϊκὲς ὀπτασίες γίνονται μόνο στοὺς ἁγίους, καὶ πάντοτε προηγεῖται γαλήνη καὶ εἰρήνη καὶ εὐθυμία στὶς καρδιές τους. Καὶ ὅμως αὐτοί, ἂν καὶ γνωρίζουν τὴν ἀλήθεια, κρίνουν ἀνάξιους τοὺς ἑαυτούς τους. Πόσο περισσότερο πρέπει οἱ ἁμαρτωλοὶ νὰ μὴ τοὺς πιστεύουν ποτέ, γνωρίζοντας τὴν ἀναξιότητά τους;

416

Ἐρώτηση

Πές μας, δέσποτα, πῶς τολμᾶ ὁ διάβολος εἴτε μὲ ὀπτασία εἴτε μὲ φαντασία ὀνείρων νὰ δείξει τὸν Δεσπότη Χριστὸ ἢ τὴν ἁγία Κοινωνία;

Ἀπόκρισις

Οὐκ αὐτὸν τὸν Δεσπότην Χριστὸν οὐδὲ τὴν ἁγίαν Κοινωνίαν δύναται δεῖξαι· ἀλλὰ ψεύδεται καὶ σχηματίζεται οἱονδήποτε ἄνθρωπον καὶ ψιλὸν ἄρτον. Ἀμέλει τὸν ἅγιον Σταυρὸν οὐ δύναται δεῖξαι· οὐχ εὑρίσκει γὰρ αὐτὸν ἑτέρῳ σχήματι τυπῶσαι. Ἐπειδὴ γινώσκομεν αὐτοῦ τὸ ἀληθινὸν σημεῖον καὶ τὸν τύπον, καὶ αὐτῷ χρήσασθαι οὐ τολμᾷ, ἐν αὐτῷ γὰρ καθῃρέθη αὐτοῦ ἡ δύναμις καὶ δι' αὐτοῦ τὴν θανατηφόρον πληγὴν ἐδέξατο.

Τὸν Δεσπότην Χριστὸν κατὰ σάρκα οὐ γινώσκομεν, καὶ πειρᾶται ἡμᾶς διὰ τοῦ ψεύδους πεῖσαι, ὅτι αὐτός ἐστιν, ἵνα, τῇ πλάνῃ ὡς ἀληθείᾳ πιστεύσαντες, ἀπολώμεθα. Ὅταν οὖν ἴδῃς κατ' ὄναρ τὸν τύπον τοῦ Σταυροῦ, μάθε ὅτι ἀληθινὸν καὶ ἐκ τοῦ Θεοῦ τὸ ὄναρ ἐστί· ἀλλὰ σπούδασον παρὰ τῶν ἁγίων λαμβάνειν αὐτοῦ τὴν διάκρισιν καὶ μὴ πίστευε τῷ λογισμῷ τῷ ἰδίῳ.

Ὁ Κύριος φωτίσοι τοὺς λογισμοὺς τῆς διανοίας σου, ἀδελφέ, φυγεῖν πᾶσαν ἀπάτην τοῦ ἐχθροῦ.

ΥΙΖ'

Ἐρώτησις

Λέγει μοι ὁ λογισμός, ὅτι, 'ἐὰν φανῇ σοι ὁ ἅγιος Σταυρός, ὡς ἀνάξιος εὑρίσκῃ, καὶ ἔχεις ὑψηλοφρονῆσαι', καὶ δειλίαν μοι καὶ φόβον ἐμβάλλει.

Ἀπόκρισις

Περὶ τούτου μὴ μεριμνήσῃς· ἐὰν γὰρ ὅλως φανῇ σοι ὁ ἅγιος Σταυρός, αὐτὸς καταργεῖ τὸ φύσημα τῆς ὑψηλοφροσύνης· ὅπου γὰρ ὁ Θεός, ἐκεῖ κακὸν οὐκ ἔστι.

Ἀπόκριση

Δὲν μπορεῖ αὐτὸς νὰ δείξει οὔτε τὸν ἴδιο τὸν Δεσπότη Χριστό, οὔτε τὴν ἁγία Κοινωνία, ἀλλὰ ψεύδεται καὶ παίρνει τὸ σχῆμα ὁποιουδήποτε ἀνθρώπου καὶ ἁπλοῦ ἄρτου. Χωρὶς ἀμφιβολία δὲν μπορεῖ νὰ δείξει τὸν ἅγιο Σταυρό, διότι δὲ βρίσκει νὰ τὸν τυπώσει μὲ ἄλλο σχῆμα. Ἐπειδὴ γνωρίζουμε τὸ ἀληθινὸ σημεῖο καὶ τὸν τύπο αὐτοῦ, δὲν τολμᾶ νὰ τὸν χρησιμοποιήσει, διότι μ' αὐτὸν καταργήθηκε ἡ δύναμή του καὶ ἀπὸ αὐτὸν δέχθηκε τὴ θανατηφόρα πληγή.

Δὲν γνωρίζουμε κατὰ σάρκα τὸν Δεσπότη Χριστὸ καὶ προσπαθεῖ νὰ μᾶς πείσει μὲ τὸ ψέμα, ὅτι εἶναι αὐτός, γιὰ νὰ καταστραφοῦμε, πιστεύοντας τὴν πλάνη ὡς ἀλήθεια. Ὅταν λοιπὸν δεῖς στὸ ὄνειρο τὸν τύπο τοῦ Σταυροῦ, μάθε ὅτι τὸ ὄνειρο εἶναι ἀληθινὸ καὶ προέρχεται ἀπὸ τὸ Θεό· ἀλλὰ φρόντισε νὰ λάβεις τὴ διάκριση αὐτοῦ ἀπὸ τοὺς ἁγίους καὶ νὰ μὴ ἔχεις ἐμπιστοσύνη στὸν δικό σου λογισμό.

Εἴθε ὁ Κύριος νὰ φωτίσει τοὺς λογισμοὺς τῆς διάνοιάς σου, ἀδελφέ, γιὰ νὰ ἀποφύγεις κάθε ἀπάτη τοῦ ἐχθροῦ.

417

Ἐρώτηση

Ὁ λογισμός μοῦ λέγει, 'ἐὰν σοῦ φανεῖ ὁ ἅγιος Σταυρός, θεωρεῖσαι ἄξιος καὶ μπορεῖς νὰ ὑψηλοφρονήσεις· αὐτὸ μοῦ προκαλεῖ δειλία καὶ φόβο.

Ἀπόκριση

Μὴ μεριμνήσεις γι' αὐτό· ἐὰν σοῦ ἐμφανισθεῖ ὁ ἅγιος Σταυρός, αὐτὸς θὰ καταργήσει τὸ φούσκωμα τῆς ὑψηλοφροσύνης· διότι, ὅπου βρίσκεται ὁ Θεός, ἐκεῖ δὲν ὑπάρχει κακό.

ΥΙΗ'

Ἐρώτησις

Ἤκουσα ὅτι, ἐαν φανῇ τινι ἐνύπνιον ἐκ τρίτου, καὶ αὐτὸ ἀληθινόν ἐστι· οὕτως ἔχει, πάτερ;

Ἀπόκρισις

Οὐκ ἔχει οὐδ' οὕτως, οὐδὲ δεῖ πιστεύειν τῷ τοιούτῳ ἐνυπνίῳ· ὁ γὰρ ἅπαξ φαινόμενός τινι ἐν ψεύδει, δύναται καὶ τρίτον καὶ πολλάκις τοῦτο ποιῆσαι. Μὴ οὖν χλευασθῇς, ἀλλὰ πρόσεχε σεαυτῷ, ἀδελφέ.

ΥΙΘ'

Ἐρώτησις

Ἔστιν ὅτε βλέπω ἐν τῇ καρδίᾳ μου, ὅτι οἱ πονηροὶ λογισμοὶ κύκλῳ εἰσὶ τοῦ ἐμοῦ λογισμοῦ ὡς θηρία καὶ ὅτι οὐδὲν ἐξ αὐτῶν ἀδικεῖ με· τί ἐστι τοῦτο;

Ἀπόκρισις

νὰ ἀφαιρέσει ἀπὸ αὐτὸν κάθε ἀπολογία καθὼς καὶ ἐκείνων ποὺ πάντοτε λέγουν, ὅτι 'ἂν τὸν ἄφηνε νὰ τὰ ἀπολαύσει, δὲν θὰ χανόταν καὶ δὲ θὰ γινόταν αὐτοκατάκριτος'· καὶ πραγματοποιήθηκε σ' αὐτὸν ἐκεῖνο ποὺ λέγει ὁ Ἀπόστολος, «ἐὰν ὁ ἄπιστος χωρίζεται, ἂς χωρισθεῖ»[34]. Τὸ ἴδιο ἰσχύει καὶ γιὰ τοὺς ἁμαρτωλοὺς καὶ γι' αὐτοὺς ποὺ δὲν μετανοοῦν.

Ἡ ἐντολὴ πάλι νὰ τοὺς ἐμποδίζει κανεὶς σύμφωνα μὲ τὸν ἅγιο Ἰωάννη, ἐννοοῦσε μὲ διδασκαλία καὶ ἐπιτίμηση, σχετικὰ μὲ τὴν κρίση καὶ κόλαση· διότι δὲν εἶπε νὰ τοὺς ὠθήσεις, οὔτε νὰ τοὺς κόψεις ἀπὸ τὴν Ἐκκλησία, ἀφοῦ οὔτε ὁ Ἰησοῦς ἔκανε κάτι τέτοιο στὸν Ἰούδα. Ἐὰν ὅμως μείνουν στὰ ἴδια πταίσματα καὶ προσέρχονται μὲ ἀδιαντροπιά, γίνονται αὐτοκατάκριτοι, ἀποχωρίζοντας τοὺς ἑαυτούς τους ἀπὸ τὴ δόξα τοῦ Θεοῦ. Τοὺς ἁμαρτωλοὺς ποὺ προσέρχονται στὰ ἅγια μυστήρια σὰν τραυματισμένοι καὶ χρειαζόμενοι ἔλεος, τοὺς θεραπεύει ὁ Κύριος καὶ τοὺς κάνει ἄξιους τῶν μυστηρίων του, αὐτὸς ποὺ εἶπε, «δὲν ἦρθα νὰ καλέσω δικαίους, ἀλλὰ ἁμαρτωλοὺς σὲ μετάνοια»[35], καὶ πάλι, «δὲν ἔχουν ἀνάγκη ἰατροῦ οἱ ὑγιεῖς, ἀλλὰ οἱ ἄρρωστοι»[36].

Πάλι ὅμως λέγω ἐκεῖνο ποὺ ἔλεγε ὁ ἅγιος Ἰωάννης, ἡ ἐμπόδιση τῶν ἁμαρτωλῶν ἀπὸ τὰ ἅγια μυστήρια εἶναι ἡ μαρτυρία τῆς συνειδήσεώς τους ὅτι εἶναι ἀξιοκατάκριτοι· διότι «αὐτὸς ποὺ τρώγει καὶ πίνει ἀνάξια τρώγει καὶ πίνει κρίμα γιὰ τὸν ἑαυτό του»[37], καὶ αὐτὸς εἶναι ἀπομακρισμένος ἀπὸ τὴν Ἐκκλησία τοῦ Θεοῦ· διότι δὲν ἔλαβε τίποτε, παρὰ μόνο κρίμα. Καὶ γι' αὐτὸ εἶπε, νὰ μὴ τοὺς κόψουμε, γιὰ νὰ ἀποφασίσουν μόνοι τους· κανένας δὲν μπορεῖ νὰ πεῖ τὸν ἑαυτό του ἄξιο τῆς μεταλήψεως· ἀλλὰ ὅτι εἶμαι ἀνάξιος καὶ πιστεύω ὅτι ἁγιάζομαι ὅταν μεταλαμβάνω. Καὶ γίνεται σ' αὐτὸν ἔτσι σύμφωνα μὲ τὴν πίστη του

35. Ματθ. 9,13.
36. Λουκᾶ 5,31.
37. Α' Κορ. 11,29.

βάνων. Καὶ γίνεται αὐτῷ οὕτω κατὰ τὴν πίστιν αὐτοῦ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΞΕ'

Ἐρώτησις

Τὸ εἰπεῖν τὸν Ἰούδαν, «ἥμαρτον παραδοὺς αἷμα ἀθῶον» καὶ τὸ ῥίψαι τὰ ἀργύρια, οὐ δοκεῖ μετανοίας εἶναι;

Ἀπόκρισις

Τότε μετάνοια ἦν τῷ Ἰούδᾳ, εἰ τῷ Κυρίῳ μετενόησε· φησὶ γάρ· «ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, ᾧ ἥμαρτες καὶ οὐκ ἄλλῳ». Αὐτὸς δὲ καὶ τὸ χεῖρον ἐποίησε· ἀπελθὼν δὲ ἀπώλεσεν ἑαυτὸν διὰ τῆς ἀνελπιστίας, καὶ διὰ τοῦτο οὐκ ἐδέχθη.

ΥΞS'

Ἐρώτησις

Δέσποτα, εἰπέ μοι, τί ἐστι 'Θεοῦ θέλημα' καὶ τί 'συγχώρησις' καὶ ὁποῖα τὰ ἐξ ἀμφοτέρων ἀποτελέσματα.

Ἀπόκρισις

Οταν ἔρχηταί σοι πρᾶγμα θλιβερόν, ἐρεύνησον, εἰ καταγινώσκει σου ὁ λογισμὸς ἔν τινι περὶ τοῦ πράγματος· καὶ ἐὰν μὴ εὕρῃς, πρὸς δοκιμὴν ἦλθέ σοι τὸ πρᾶγμα. Καὶ τοῦτό ἐστι τὸ 'κατὰ θέλημα Θεοῦ'. Ἐὰν δὲ εὕρῃς, τοῦτό ἐστι 'κατὰ συγχώρησιν' πρὸς παιδείαν· ὅμως καὶ τὰ δύο ὠφέλιμα τῷ ἀνθρώπῳ.

μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

465

Ἐρώτηση

Τὸ νὰ πεῖ ὁ Ἰούδας, «ἁμάρτησα, διότι παρέδωσα ἀθῶο αἷμα» καὶ τὸ νὰ ρίξει τὰ ἀργύρια, δὲ φαίνεται ὅτι εἶναι δεῖγμα μετάνοιας;

Ἀπόκριση

Τότε θὰ ἦταν μετάνοια γιὰ τὸν Ἰούδα, ἐὰν μετανοοῦσε στὸν Κύριο· διότι λέγει, «πήγαινε πρῶτα νὰ συμφιλιωθεῖς μὲ τὸν ἀδελφό σου στὸν ὁποῖο ἁμάρτησες καὶ ὄχι σὲ ἄλλον»[38]. Αὐτὸς ὅμως ἔκανε καὶ τὸ χειρότερο· ἀφοῦ ἔφυγε, κατέστρεψε τὸν ἑαυτό του μὲ τὴν ἀνελπιστία καὶ γι' αὐτὸ δὲν δέχθηκε.

466

Ἐρώτηση

Δέσποτα, πές μου, τί εἶναι θέλημα Θεοῦ καὶ τί παραχώρηση, καὶ ποιά τὰ ἀποτελέσματα καὶ τῶν δύο.

Ἀπόκριση

Ὅταν σοῦ συμβαίνει θλιβερὸ πρᾶγμα, ἐρεύνησε, ἐὰν σὲ κατακρίνει ὁ λογισμός σου ὡς πρὸς κάτι γιὰ τὸ πρᾶγμα αὐτό· καὶ ἐὰν δὲν βρεῖς, τὸ πρᾶγμα ἦρθε γιὰ δοκιμασία σου. Καὶ αὐτὸ εἶναι τὸ κατὰ θέλημα Θεοῦ. Ἐὰν ὅμως βρεῖς νὰ σὲ κατηγορεῖ, αὐτὸ εἶναι κατὰ παραχώρηση γιὰ παιδαγωγία· ὅμως καὶ τὰ δύο εἶναι ὠφέλιμα στὸν ἄνθρωπο.

---

38. Ματθ. 5,24.

ΥΞΖ'

Ἐρώτησις

Ἐπειδὴ καλόν ἐστιν, ὡς ἐδιδάξατε, τὸ ἀφιέναι τῷ Θεῷ τὸ θέλημα, ὅπερ φυλάττει τῷ ἀνθρώπῳ τὸ ἀτάραχον, ὁ δὲ κατ' ἐμὲ ἀσθενής, ἐὰν ἴδῃ πρᾶγμα μέλλον ἀπόλλυσθαι, ἢ ταράττεται ἢ μακροθυμῶν μεταμελεῖται ὡσαύτως, ἀπολέσας τὸ πρᾶγμα διὰ τῆς μακροθυμίας, ποῖον βέλτιον, καὶ πῶς χρὴ ἐλθεῖν εἰς διόρθωσιν, καὶ τί δεῖ λογίζεσθαι, ἵνα τις φύγῃ τὴν ταραχήν;

Ἀπόκρισις

Εἶπεν ὁ Κύριος· «χαίρετε ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις». Τῶν ποικίλων οὖν πειρασμῶν ἐστι καὶ οὗτος, εἰς ὃν ὀφείλει χαίρειν ὁ ἄνθρωπος. Ἐὰν δὲ ᾖ ἀσθενὴς καὶ μὴ δυνάμενος μακροθυμῆσαι χαίρων ἐπὶ τῇ ἀπωλείᾳ τοῦ πράγματος καὶ ρίπτων τῷ θελήματι τοῦ Θεοῦ, πολεμῆσαι ὀφείλει πρῶτον πρὸς τὴν ταραχήν, λέγων ἑαυτῷ, 'πρόσχες μὴ ταραχθῇς. Ἐὰν δὲ ᾖ θέλημα Θεοῦ τὸ σωθῆναι τὸ πρᾶγμα, σῴζεται'· καὶ εἴ τι ἀποβαίνει, δέξεται εὐχαρίστως. Οὐδὲν γὰρ ἀγαθὸν τῇ σπουδῇ ἡμῶν κατορθοῦται, ἀλλὰ τῇ δυνάμει καὶ τῷ θελήματι τοῦ Θεοῦ. Καὶ ὅμως ἀπαιτεῖ τὴν κατὰ Θεὸν σπουδὴν παρ' ἡμῶν ὁ Θεός, οὐ κατά τινα πανουργίαν ἢ ψεῦδος· ταῦτα γάρ εἰσι τοῦ πονηροῦ.

ΥΞΗ'

Ἐρώτησις

Ὅτε παρεμπίπτουσι πολλοὶ λογισμοὶ ρυπαροὶ καὶ εὐλαβοῦμαι ἀναθέσθαι τινὶ ἐξ αὐτῶν, τί ποιήσω;

467

Ἐρώτηση

Ἐπειδὴ εἶναι καλό, ὅπως διδάξατε, τὸ νὰ ἀφήνει κανεὶς τὸ θέλημα στὸ Θεό, πρᾶγμα το ὁποῖο ἐξασφαλίζει τὸ ἀτάραχο στὸν ἄνθρωπο, καὶ αὐτὸς ποὺ εἶναι ἀσθενὴς σὰν ἐμένα, ἂν δεῖ ὅτι ἕνα πρᾶγμα πρόκειται νὰ χαθεῖ, ἢ ταράζεται ἢ μακροθυμώντας μεταμελεῖται ἐπίσης, ἐπειδὴ ἔχασε τὸ πρᾶγμα ἀπὸ τὴ μακροθυμία· ποιό εἶναι καλύτερο; Καὶ πῶς πρέπει νὰ ἐνεργήσει γιὰ τὴ διόρθωση, καθὼς καὶ τί πρέπει νὰ σκέπτεται κανεὶς γιὰ ν' ἀποφύγει τὴν ταραχή.

Ἀπόκριση

Ο Κύριος εἶπε· «νὰ χαίρεσθε ὅταν πέσετε σὲ ποικίλους πειρασμούς»[39]. Ἕνας λοιπὸν ἀπὸ τοὺς ποικίλους πειρασμοὺς εἶναι καὶ αὐτός, στὸν ὁποῖο ὀφείλει νὰ χαίρεται ὁ ἄνθρωπος. Ἐὰν εἶναι ἀσθενὴς καὶ δὲν μπορεῖ νὰ μακροθυμήσει χαιρούμενος γιὰ τὴν ἀπώλεια τοῦ πράγματος καὶ ὑποτασσόμενος στὸ θέλημα τοῦ Θεοῦ, ὀφείλει νὰ πολεμήσει πρῶτα πρὸς τὴν ταραχή, λέγοντας στὸν ἑαυτό του, 'πρόσεχε μὴ ταραχθεῖς· ἐὰν εἶναι θέλημα Θεοῦ νὰ σωθεῖ τὸ πρᾶγμα, σώζεται'· καὶ τότε θὰ δεχθεῖ εὐχάριστα ὅ,τι συμβεῖ. Διότι τίποτε καλὸ δὲν κατορθώνεται μὲ τὴ φροντίδα μας, ἀλλὰ μὲ τὴ δύναμη καὶ τὸ θέλημα τοῦ Θεοῦ· καὶ ὅμως ὁ Θεὸς ἀπαιτεῖ τὴν κατὰ Θεὸ φροντίδα μας, ὄχι βέβαια μὲ κάποια πανουργία ἢ ψέμα· διότι αὐτὰ εἶναι τοῦ πονηροῦ.

468

Ἐρώτηση

Ὅταν εἰσορμοῦν πολλοὶ ἀκάθαρτοι λογισμοὶ καὶ διστάζω νὰ ἐμπιστευθῶ κάποιον ἀπὸ αὐτούς, τί νὰ κάνω;

---

39. Ἰακ. 1,2.

Ἀπόκρισις

Εἰπὲ τῷ Θεῷ· ‘Δέσποτα, συγχώρησόν μοι, εἴ τι παρὰ τὸ θέλημά σου ἐνεθυμήθην, ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ· ὅτι σοῦ ἐστι τὸ ἔλεος, εἰς τοὺς αἰῶνας’. Ἀμήν.

ΥΞΘ'

Ἐρώτησις

Ἆρα τὰ καλὰ διηγήματα ἀπὸ Γραφῆς καὶ βίον πατέρων, καλόν ἐστι πάντοτε διηγεῖσθαι ἢ οὔ;

Ἀπόκρισις

Ὅτι ἡδὺ τὸ μέλι, γνωστόν ἐστι πᾶσι καὶ ὅτι ὁ Παροιμιαστὴς εἶπε, «μέλι εὑρὼν φάγε τὸ ἱκανόν, μήποτε ἐμπλησθεὶς ἐμέσῃς». Καὶ τοῦτο οὐκ ἔστιν ἀγνώστως. Ἔστι γὰρ σακκία καὶ σακκία· ἔστι σακκίον, ὅπερ χωρεῖ ἓν μόδιον· καὶ ἄλλο χωρεῖ τρία· ἐὰν οὖν θελήσῃ τις ἀναγκάσαι τὸ τοῦ ἑνὸς μοδίου χωρῆσαι τὸ μέτρον τῶν τριῶν, οὐ δύναται δέξασθαι. Οὕτω καὶ ἐνταῦθα, οὐ δυνάμεθα ἰσῶσαι πάντας ἀνθρώπους· καὶ γὰρ δύναται ὁ μὲν ἀβλαβῶς λαλῆσαι, ὁ δὲ οὐ δύναται.

Καλὴ μὲν οὖν καὶ θαυμαστὴ ἡ σιωπὴ πρὸ πάντων· καὶ αὐτὴν ἐτίμων οἱ πατέρες καὶ ἠσπάζοντο καὶ ἐν αὐτῇ ἐδοξάσθησαν. Δεικνύων γὰρ τὴν καλλονὴν αὐτῆς Ἰακὼβ καὶ τὴν ἀπὸ τῆς λαλιᾶς κατάκρισιν, ἔλεγε· «βαλῶ τὸν δάκτυλον ἐπὶ τῷ στόματι», καὶ ὁ πρὸ τούτου πατριάρχης Ἀβραάμ, μετὰ τὴν λαλιὰν τῶν καλῶν ἐκείνων παρακλήσεων, εἶπεν, ὅτι «εἰμὶ γῆ καὶ σποδός· ἔτι

Ἀπόκριση

Πὲς στὸ Θεό· 'Δέσποτα, σύγχώρησέ με, ἐὰν σκέφθηκα κάτι παρὰ τὴ θέλησή σου, ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ· διότι δικό σου εἶναι τὸ ἔλεος στοὺς αἰῶνες'. Γένοιτο.

469

Ἐρώτηση

Ἄραγε τὰ καλὰ διηγήματα ποὺ προέρχονται ἀπὸ τὴ Γραφὴ καὶ ἀπὸ τὸν βίο τῶν πατέρων, εἶναι καλὸ νὰ τὰ διηγούμαστε πάντοτε ἢ ὄχι;

Ἀπόκριση

Εἶναι γνωστὸ σὲ ὅλους ὅτι τὸ μέλι εἶναι γλυκὸ καὶ ὅτι ὁ Παροιμιαστὴς εἶπε, «ὅταν βρεῖς μέλι, φάγε μὲ μέτρο, μὴ τυχὸν χορτάσεις καὶ κάνεις ἐμετό»[40]. Καὶ αὐτὸ δὲν εἶναι ἔξω ἀπὸ τὰ πράγματα. Διότι ὑπάρχουν σακκιὰ καὶ σακκιά· ὑπάρχει σακκί, τὸ ὁποῖο χωρεῖ ἕνα μόδιο καὶ ἄλλο ποὺ χωρεῖ τρία· ἐὰν θελήσει λοιπὸν κάποιος νὰ ἀναγκάσει τὸ σακκὶ τοῦ ἑνὸς μοδίου νὰ χωρέσει τὸ μέτρο τῶν τριῶν, δὲν μπορεῖ νὰ τὸ δεχθεῖ. Ἔτσι καὶ ἐδῶ, δὲ μποροῦμε νὰ ἐξισώσουμε ὅλους τοὺς ἀνθρώπους· διότι μπορεῖ ὁ ἕνας νὰ μιλήσει ἀβλαβῶς, ὁ ἄλλος ὅμως δὲ μπορεῖ.

Πρὸ πάντων λοιπὸν εἶναι καλὴ καὶ θαυμαστὴ ἡ σιωπή, καὶ αὐτὴν τιμοῦσαν καὶ ἀσπάζονταν οἱ πατέρες καὶ μὲ αὐτὴν δοξάσθηκαν. Διότι δείχνοντας ὁ Ἰακὼβ τὴν καλλονή της καὶ τὴν κατάκριση ἀπὸ τὴ λαλιά, ἔλεγε· «θὰ βάλω τὸ δάχτυλο στὸ στόμα»[41]· καὶ ὁ πρὶν ἀπὸ αὐτὸν πατριάρχης Ἀβραάμ, μετὰ τὴ λαλιὰ τῶν καλῶν ἐκείνων παρακλήσεων εἶπε, «εἶμαι χῶμα καὶ

---

40. Παρμ. 25,16.
41. Ἰὼβ 40,4 καὶ 29,9. Συνεπῶς ὄχι ὁ Ἰακώβ, ἀλλ' ὁ Ἰώβ.

ἅπαξ προσθήσω καὶ λαλήσω ἐνώπιον τοῦ Κυρίου», δεικνύων τὴν μετὰ ταῦτα σπουδήν. Ἀλλ' ἐπειδὴ ἡμεῖς διὰ τὴν ἡμετέραν ἀσθένειαν οὐκ ἐφθάσαμεν τὴν τῶν τελείων βαδίζειν ὁδόν, λαλήσωμεν τὰ συντείνοντα πρὸς οἰκοδομήν, ἀπὸ τῶν ρημάτων τῶν πατέρων καὶ μὴ βάλωμεν ἑαυτοὺς εἰς διηγήματα Γραφῶν· καὶ γὰρ κίνδυνον ἔχει τὸ πρᾶγμα τῷ μὴ εἰδότι. Πνευματικῶς γὰρ εἴρηνται καὶ ὁ σαρκικὸς διακρῖναι τὰ πνευματικὰ οὐ δύναται· φησὶ γάρ· «τὸ γράμμα ἀποκτέννει, τὸ δὲ πνεῦμα ζωοποιεῖ».

Φύγωμεν οὖν εἰς τὰ ρήματα τῶν πατέρων καὶ εὑρίσκομεν τὴν ἐν αὐτοῖς ὠφέλειαν. Καὶ τοῦτο μετὰ συντομίας, μνημονεύοντες τοῦ εἰπόντος· «ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν». Κἂν εἴπῃ ὁ λογισμός, 'καλοί εἰσιν οἱ λόγοι ἢ τὰ διηγήματα', μνησθῶμεν ὅτι οὔκ ἐσμεν ἐργάται τῶν ὑφ' ἡμῶν λαλουμένων, καὶ νομίζομεν ὅτι καὶ ἄλλους οἰκοδομοῦμεν ταῦτα λέγοντες· κατακρινόμεθα δὲ μᾶλλον, μὴ ὄντες αὐτῶν ἐργάται· ἀλλ' οὐ παρὰ τοῦτο κωλύομεν τὴν κατὰ Θεὸν ἐν αὐτοῖς ὁμιλίαν. Συμφέρει γὰρ ἐν αὐτοῖς ὁμιλεῖν, ἢ εἰς ἄλλα ἄτοπα· ἀλλ', ἵνα μὴ ἐμπέσωμεν εἰς ὑψηλοφροσύνην ἢ καυχήματος λογισμόν, ὀφείλομεν ἔχειν ὥς καί ἐστιν, ὅτι μὴ πράξαντες τὰ παρ' ἡμῶν λαλούμενα εἰς κατάκρισιν λαλοῦμεν αὐτά. Καὶ περὶ τούτων, ὡς καὶ περὶ τῶν ἄλλων σφαλμάτων, δεηθῶμεν τοῦ Θεοῦ λέγοντες· 'μὴ κρίνῃς με λαλήσαντα ταῦτα'.

ΥΟ'

Ἐρώτησις

Ἐπειδή ἐστί τινα διηγήματα μέσα, μήτε ἁμαρτίαν ἔχοντα μήτε ὠφέλειαν, ὥστε διηγεῖσθαι λοιπὸν περὶ ἀκαταστασίας πόλεως ἢ εἰρήνης, ἢ περὶ τῆς αὐτῶν εὐθηνίας, ἢ περὶ

στάχτη· ἀκόμα μιὰ φορὰ θὰ μιλήσω ἐνώπιον τοῦ Κυρίου», δείχνοντας τὴν στὴ συνέχεια φροντίδα. Ἀλλά, ἐπειδὴ ἐμεῖς ἐξαιτίας τῆς ἀσθένειάς μας δὲν φθάσαμε νὰ βαδίζουμε τὴν ὁδὸ τῶν τελείων, θὰ ποῦμε ἐκεῖνα ποὺ συμβάλλουν πρὸς οἰκοδομὴ ἀπὸ τὰ λόγια τῶν πατέρων καὶ ἂς μὴ ὑπεισέλθουμε σὲ διηγήματα Γραφῶν· διότι τὸ πρᾶγμα ἔχει κίνδυνο γιὰ ἐκεῖνον ποὺ δὲν γνωρίζει. Ἐκεῖνα ἔχουν λεχθεῖ πνευματικὰ καὶ ὁ σαρκικὸς δὲ μπορεῖ νὰ διακρίνει τὰ πνευματικά. Διότι λέγει· «τὸ γράμμα σκοτώνει, τὸ πνεῦμα ὅμως ζωοποιεῖ»[42].

Ἂς καταφύγουμε λοιπὸν στὰ λόγια τῶν πατέρων καὶ θὰ βροῦμε τὴν ὠφέλεια σ' αὐτά. Καὶ αὐτὸ μὲ συντομία, ἐνθυμούμενοι ἐκεῖνον ποὺ εἶπε· «δὲν θὰ ἀποφύγεις τὴν ἁμαρτία ἀπὸ τὴν πολυλογία»[43]. Καὶ ἂν πεῖ ὁ λογισμός, 'καλοὶ εἶναι οἱ λόγοι ἢ τὰ διηγήματα', ἂς θυμηθοῦμε ὅτι δὲν εἴμαστε ἐργάτες αὐτῶν ποὺ ἀναφέρουμε καὶ κακῶς νομίζουμε ὅτι λέγοντας αὐτὰ οἰκοδομοῦμε καὶ ἄλλους· πολὺ περισσότερο κατακρινόμαστε, ἐὰν δὲν εἴμαστε ἐργάτες τους, ἀλλὰ παρ' ὅλα αὐτὰ δὲν ἐμποδίζουμε τὴν μὲ βάση αὐτὰ ὁμιλία κατὰ Θεό. Διότι συμφέρει νὰ ὁμιλοῦμε γι' αὐτά, παρὰ γιὰ ἄλλα ἄτοπα· ἀλλὰ γιὰ νὰ μὴ πέσουμε σὲ ὑψηλοφροσύνη ἢ σὲ λογισμὸ καυχήματος, πρέπει νὰ τὰ ἐκλαμβάνουμε ὅπως εἶναι, διότι, ἂν δὲν πράξουμε τὰ ὅσα λέμε, τὰ λέμε γιὰ κατάκρισή μας. Καὶ γι' αὐτά, ὅπως καὶ γιὰ τὰ ἄλλα σφάλματα, ἂς παρακαλέσουμε τὸ Θεό, λέγοντας· 'μὴ μὲ κρίνεις ποὺ εἶπα αὐτὰ τὰ λόγια'.

470

Ἐρώτηση

Ἐπειδὴ ὑπάρχουν μερικὰ μέσα διηγήματα, ποὺ δὲν ἔχουν οὔτε ἁμαρτία οὔτε ὠφέλεια, ὅπως εἶναι οἱ διηγήσεις γιὰ ἀκαταστασία πόλεως ἢ εἰρήνης, ἢ γιὰ τὴν εὐημερία αὐ-

42. Β' Κορ. 3,6.
43. Παρμ. 10,19.

πολέμων κινουμένων, ἢ ὅσα τοιαῦτα· μὴ ἄτοπόν ἐστιν ἐκ τούτων λαλεῖν;

Ἀπόκρισις

Εἰ ἐν τοῖς καλοῖς διηγήμασιν ἡ σιωπὴ ἀναγκαιοτέρα ἐστί, πολλῷ μᾶλλον ἐν τοῖς μέσοις· ἀλλ', ἐὰν μὴ δυνάμεθα σιωπῆσαι, νικώμεθα δὲ πρὸς τὴν αὐτῶν λαλιάν, μὴ χρονίζωμεν ἐν τῇ ὁμιλίᾳ, ἵνα μὴ ἐμπέσωμεν ἐκ τῆς πολυλογίας εἰς τὴν τῶν ἐχθρῶν παγίδα.

ΥΟΑ'

Ἐρώτησις

Ἐπειδὴ οὖν πολλάκις ἐκ τῶν μέσων λαλῶν ἔρχομαι εἰς τὴν πολυλογίαν, ἐξ ἧς οὐκ ἐκφεύγει τις ἁμαρτίαν, τί με δεῖ ποιεῖν;

Ἀπόκρισις

Μετρήσωμεν ἑαυτοὺς ἐν τούτῳ τῷ τρόπῳ· ἐὰν οἴδαμεν ὅτι ἐλαλήσαμεν ἅπαξ ἡττηθέντες τῷ λογισμῷ, κωλύσωμεν τὸ δεύτερον κατὰ τὸ δυνατόν· ἐὰν δὲ καὶ τῷ δευτέρῳ ἡττηθῶμεν, ἐσώμεθα ἕτοιμοι κωλῦσαι τὸ τρίτον· καὶ οὕτω κατὰ πρόσβασιν ὅλων τῶν διηγημάτων. Ἐὰν γὰρ τυχὸν εὑρεθῇ ὁ ἀριθμὸς τούτων ἕως δέκα, εἴ τις ἡττᾶται εἰς τὰ ἐννέα καὶ κωλύει τὸ ἕν, καλλιώτερος εὑρίσκεται τοῦ τὰ δέκα διηγησαμένου.

ΥΟΒ'

Ἐρώτησις

Ἐὰν οὖν εὑρεθῶ μετά τινων λαλούντων περὶ σαρκικοῦ ἢ πνευματικοῦ πράγματος, τί ποιήσω; λαλήσω ἢ οὔ;

τῶν, ἢ γιὰ τοὺς πολέμους ποὺ ἀνακινοῦνται ἢ ὅσα ἄλλα τέτοια, μήπως εἶναι ἄτοπο νὰ ἀναφερόμαστε σ' αὐτά;

Ἀπόκριση

Εάν ἡ σιωπὴ εἶναι ἀναγκαία στὰ καλὰ διηγήματα, πολὺ περισσότερο στὰ μέσα. Ἐὰν ὅμως δὲν μποροῦμε νὰ σιωπήσουμε καὶ συρόμαστε στὴν ὁμιλία γι' αὐτά, νὰ μὴ μακρύνουμε τὴν ὁμιλία, γιὰ νὰ μὴ πέσουμε ἀπὸ τὴν πολυλογία στὴν παγίδα τῶν ἐχθρῶν.

471

Ἐρώτηση

Ἐπειδὴ λοιπὸν πολλὲς φορὲς μιλώντας ἀπὸ τὰ μέσα διηγήματα φθάνω στὴν πολυλογία, ἀπὸ τὴν ὁποία δὲν ἀποφεύγει κανεὶς τὴν ἁμαρτία, τί πρέπει νὰ κάνω;

Ἀπόκριση

Ας μετρήσουμε τοὺς ἑαυτούς μας μ' αὐτὸν τὸν τρόπο· ἐὰν γνωρίζουμε ὅτι μιλήσαμε κάποια φορὰ καὶ νικηθήκαμε ἀπὸ τὸ λογισμό, ἂς ἐμποδίσουμε τὴ δεύτερη κατὰ τὸ δυνατόν· ἂν ὅμως νικηθοῦμε καὶ τὴ δεύτερη, ἂς εἴμαστε ἕτοιμοι νὰ ἐμποδίσουμε τὴν τρίτη· καὶ αὐτὸ νὰ κάνουμε στὴ συνέχεια μὲ ὅλα τὰ διηγήματα. Διότι, ἐὰν τυχὸν φθάσει ὁ ἀριθμός τους μέχρι τὸ δέκα, ὅποιος νικιέται στὰ ἐννέα καὶ ἐμποδίζει τὸ ἕνα, εἶναι καλύτερος ἀπὸ ἐκεῖνον ποὺ διηγήθηκε τὰ δέκα.

472

Ἐρώτηση

Ἐὰν λοιπὸν βρεθῶ μὲ κάποιους ποὺ μιλοῦν γιὰ κάτι σαρκικὸ ἢ πνευματικό, τί νὰ κάνω, νὰ μιλήσω ἢ ὄχι.

Ἀπόκρισις

Ἐὰν εὑρεθῇς εἰς συντυχίαν τινῶν διηγουμένων περὶ πράγματος κοσμικοῦ ἢ πνευματικοῦ, δόξον καὶ σὺ λέγειν τινὰ μὴ ἔχοντα βλάβην ψυχῆς· ἀλλ' ἐν γνώσει πρὸς τὸ φυγεῖν τοὺς ὑπ' ἐκείνων ἐπαίνους, μήποτε νομισθῇς αὐτοῖς σιωπηλὸς καὶ βαρηθῇς ἐκ τούτου. Ἀλλ' ἐὰν καὶ τοῦτο ποιήσῃς, πρόσχες, λαλῶν ὀλίγα, μὴ κατακρίνῃς ἐκείνους ὡς πολλὰ λαλοῦντας· οὐκ οἶδας γὰρ εἰ βαρεῖ σε ὁ εἷς λόγος, ὃν ἐλάλησας, ἤ περ ἐκείνους οἱ πολλοί.

ΥΟΓ'

Ἐρώτησις

Πόθεν μοι συμβαίνει τοῦτο, μετὰ ταραχῆς ἐν πράγματι λαλεῖν μετά τινος καὶ πολλάκις μεταμελοῦμαι καὶ εἰς αὐτὸ πάλιν ἐμπίπτω καὶ μὴ θέλων, θλίβει δέ με ἡ ἀκηδία;

Ἀπόκρισις

Τοῦτο συμβαίνει, ἐκ τοῦ μὴ ἔχειν τὴν καρδίαν ἡμῶν εἰς ἐργασίαν· διὰ τοῦτο γὰρ καὶ τῇ ἀκηδίᾳ περιπίπτομεν καὶ ἄλλοις κακοῖς πολλοῖς.

ΥΟΔ'

Ἐρώτησις

Ἐπειδὴ εἶπεν ὁ μέγας Γέρων ὅτι 'ἕως αἰσθάνεταί τις ταραχῆς τῷ λογισμῷ, κἂν μέχρι τριχός, ἐκ τοῦ πονηροῦ ἐστι', σαφήνισόν μοι αὐτό.

Ἀπόκριση

Ἐὰν βρεθεῖς σὲ συνάντηση μὲ κάποιους ποὺ διηγοῦνται γιὰ κάποιο πρᾶγμα κοσμικὸ ἢ πνευματικό, ἀποφάσισε καὶ σὺ νὰ λέγεις πράγματα ποὺ δὲν ἔχουν βλάβη ψυχῆς· ἀλλὰ μὲ τὴν πεποίθηση ὅτι τὸ κάνεις γιὰ ν' ἀποφύγεις τοὺς ἐπαίνους ἀπὸ ἐκείνους, μήπως θεωρηθεῖς ἀπὸ αὐτοὺς σιωπηλὸς καὶ στενοχωρηθεῖς ἀπὸ αὐτό. Ἀλλὰ ἐὰν τὸ κάνεις καὶ αὐτό, πρόσεχε νὰ λὲς λίγα καὶ μὴ κατακρίνεις ἐκείνους ὅτι λέγουν πολλά, διότι δὲν γνωρίζεις ἐὰν ἐνοχλεῖ ἐσένα ὁ ἕνας λόγος ποὺ εἶπες, περισσότερο ἀπὸ ὅσο ἐκείνους οἱ πολλοί.

473

Ἐρώτηση

Ἀπὸ ποῦ μοῦ συμβαίνει αὐτό, νὰ ὁμιλῶ μὲ κάποιον μὲ ταραχὴ γιὰ ἕνα πρᾶγμα καὶ πολλὲς φορὲς νὰ μετανοιώνω καὶ πάλι νὰ πέφτω σ' αὐτὸ χωρὶς νὰ τὸ θέλω; Ἐπίσης μὲ στενοχωρεῖ καὶ ἡ ἀκηδία.

Ἀπόκριση

Αὐτὸ συμβαίνει, ἐπειδὴ δὲν ἔχουμε τὴν καρδιά μας στὴν ἐργασία. Γι' αὐτὸ λοιπὸν πέφτουμε καὶ στὴν ἀκηδία καὶ σὲ πολλὰ ἄλλα κακά.

474

Ἐρώτηση

Ἐπειδὴ εἶπε ὁ μεγάλος Γέροντας ὅτι, 'ὅταν αἰσθάνεται κανεὶς ταραχὴ στὸ λογισμό, ἀκόμα καὶ μέχρι μιὰ τρίχα, προέρχεται ἀπὸ τὸν πονηρό', διασαφήνισέ μού το αὐτό.

Ἀπόκρισις

Ἐάν τι λογίζῃ ποιῆσαι καὶ βλέπῃς ταραχὴν ἐν τῷ λογισμῷ καὶ ἐπικαλουμένου σου τὸ ὄνομα τοῦ Θεοῦ, ἐπιμείνῃ κἂν ἕως τριχός, τότε νόησον, ὅτι ὃ θέλεις ποιῆσαι ἐκ τοῦ πονηροῦ ἐστι καὶ μὴ ποιήσῃς αὐτό. Ἐὰν δὲ μετὰ τὸ λογίσασθαι ὑποβληθῇ ταραχὴ καὶ κατακυριευθῇ ὑπ' αὐτοῦ ὁ λογισμός, καὶ οὕτως οὐ χρὴ ὃ ἐλογίσω ποιῆσαι. Οὐδὲν γὰρ μετὰ ταραχῆς γινόμενον ἀρέσκει Θεῷ. Ἔαν δὲ ἀντιπράττῃ τις τῇ ταραχῇ, οὐ δεῖ ἡγεῖσθαι τὸ πρᾶγμα, πάντως εἶναι βλαβερόν, ἀλλὰ διακρίνειν αὐτό, εἴ ἐστι καλὸν ἢ μή. Καὶ εἰ μὲν οὐκ ἔστι καλόν, παραιτεῖσθαι, εἰ δὲ καλόν ἐστι, ποιῆσαι αὐτό, καταφρονοῦντα τῆς ταραχῆς διὰ τῆς βοηθείας τοῦ Θεοῦ.

ΥΟΕ'

Ἐρώτησις

Συμβαίνει ὅτι διαλέγομαί τινι καὶ μετὰ τὸ ἄρξασθαι τοῦ λόγου ὑποβάλλει τὴν ταραχήν. Τί οὖν ποιήσω; Ἐὰν γὰρ περιμείνω διακρῖναι τὸν λόγον πρὸς τὸ μαθεῖν, ὡς εἶπας, εἰ καλός ἐστιν ἢ μή, καταγινώσκομαι ὑπὸ τοῦ ἀκούοντος, ὡς αἰφνιδίως σιωπήσας.

Ἀπόκρισις

Ἐὰν οὐκ ᾖ φανερόν σοι ὅτι ἁμαρτίαν ἔχει ὁ λόγος, δεῖ πληρῶσαι αὐτὸν καὶ μετὰ ταῦτα διακρίνειν εἰ κακῶς ἐλαλήθη καὶ οὕτω παιδεύειν τὸν λογισμόν, κατακρίνοντα σεαυτὸν ὡς κακῶς λαλήσαντα τοῦ μὴ προσθῆναι ἔτι. Γέγραπται γάρ· «τέκνον, ἥμαρτες, μὴ προσθήσῃ»· καὶ προσέχειν ἀπ' ἄρτι λογίζεσθαι εἰ πρὸς τὸ συμφέρον λαλεῖται τὰ λαλούμενα

'Απόκριση

Ἐὰν σκέφτεσαι νὰ κάνεις κάτι καὶ βλέπεις ταραχὴ στὸ λογισμό, καὶ ἂν ἐπικαλεσθεῖς τὸ ὄνομα τοῦ Θεοῦ, ἐπιμείνει ἀκόμα ἔστω καὶ μιὰ τρίχα, τότε κατάλαβε, ὅτι αὐτὸ ποὺ θέλεις νὰ κάνεις εἶναι ἀπὸ τὸν πονηρό, καὶ μὴ τὸ κάνεις. Ἐὰν ὅμως ἡ ταραχὴ ὑποβληθεῖ μετὰ τὸ λογισμὸ καὶ κατακυριευθεῖ ἀπὸ αὐτὴ ὁ λογισμός, καὶ τότε δὲν πρέπει νὰ κάνεις αὐτὸ ποὺ σκέφθηκες. Διότι τίποτε ποὺ γίνεται μὲ ταραχὴ δὲν ἀρέσει στὸ Θεό. Ἐὰν ὅμως ἀντιπράττει κανεὶς στὴν ταραχή, δὲν πρέπει νὰ νομίσει ὅτι τὸ πρᾶγμα εἶναι ὁπωσδήποτε βλαβερό, ἀλλὰ νὰ τὸ διακρίνει, ἐὰν εἶναι καλὸ ἢ ὄχι. Καὶ ἐὰν δὲν εἶναι καλὸ νὰ παραιτηθεῖ, ἐὰν ὅμως εἶναι καλό, νὰ τὸ κάνει, ἀφοῦ περιφρονήσει τὴν ταραχὴ μὲ τὴ βοήθεια τοῦ Θεοῦ.

475

'Ερώτηση

Συμβαίνει νὰ συζητῶ μὲ κάποιον καὶ μόλις ἀρχίζω τὸν λόγο μοῦ ὑποβάλλει τὴν ταραχή. Τί νὰ κάνω λοιπόν; Διότι, ἐὰν περιμένω νὰ διακρίνω τὸν λόγο γιὰ νὰ μάθω, ὅπως εἶπες, ἐὰν εἶναι καλὸς ἢ ὄχι, θὰ κατακριθῶ ἀπὸ αὐτὸν ποὺ ἀκούει, ἐπειδὴ σιώπησα ξαφνικά.

'Απόκριση

Ἐὰν δὲν σοῦ εἶναι φανερὸ ὅτι ὁ λόγος ἔχει ἁμαρτία, πρέπει νὰ τὸν πραγματοποιήσεις καὶ μετὰ ἀπὸ αὐτὰ νὰ διακρίνεις, ἐὰν εἰπώθηκε κακῶς, καὶ ἔπειτα νὰ παιδεύεις τὸν λογισμό, κατακρίνοντας τὸν ἑαυτό σου ὅτι μίλησες ἄσχημα, γιὰ νὰ μὴ τὸ ξανακάνεις πιά. Διότι ἔχει γραφεῖ· «τέκνο, ἁμάρτησες, μὴ προσθέσεις ἄλλο ἁμάρτημα»[44]· καὶ νὰ προ-

44. Ἰω. 8,11.

καὶ τότε κεχρῆσθαι τῇ ὁμιλίᾳ. Ἐὰν δὲ φανερὸν ᾖ, ὅτι ἁμαρτίαν ἔχει ὁ λογισμός, τότε, καὶ μὴ ὑποβαλλομένης ταραχῆς, σπούδασον ἀποκόψαι αὐτόν, ἢ προσποιούμενος ἐπιλαθέσθαι αὐτοῦ, ἢ μεταφέρων αὐτὸν εἰς ἄλλην ὁμιλίαν χρησιμωτέραν, ἵνα μὴ ὑποπέσῃς τῇ ἐξ αὐτοῦ κατακρίσει.

ΥΟΣ'

Ἐρώτησις

Ἐπειδὴ εἶπας, πάτερ, ὅτι 'πρὶν ἄρξασθαι τῆς ὁμιλίας χρὴ διασκορπίσασθαι τὸν λογισμόν', τί οὖν ὅτε ἀπαιτεῖ ἡ χρεία ῥηθῆναι τὸν λόγον; ἢ ὡς ἐν συντυχίᾳ κάθημαι καὶ ἵνα μὴ δόξω σιωπῇ προσιέναι, θέλω κἀγὼ λαλῆσαι πρὸς τὰ λεγόμενα καὶ οὐ βλέπω φανερὰν ἁμαρτίαν ἐν τῷ λόγῳ, ἀλλὰ δοκεῖ μοι καλὸς εἶναι ἢ μέσος· τί οὖν κελεύεις ποιήσω, μὴ ἔχων καιρὸν ἀκριβῶς διακρῖναι, εἰ ἔστιν ἐν αὐτῷ κεκρυμμένη ἁμαρτία;

Ἀπόκρισις

Ἐὰν καλὸς φαίνηται ὁ λόγος ἢ καὶ μέσος καὶ ἀπαιτεῖ ἡ χρεία λαληθῆναι αὐτόν, πλήν, εἰ βλέπεις ἐκ τοῦ λόγου ἐσομένην σοι κενοδοξίαν, ἢ ἐπαινούντων σε τῶν ἀκουόντων οἱωσδήποτε, χρὴ προσδιαμαρτύρασθαι τὸν λογισμόν, μὴ δέξαθαι τὴν κενοδοξίαν. Ἐὰν δὲ ἴδῃς ὅτι νικᾶσαι ὑπ' αὐτῆς, συμφέρει μᾶλλον σιωπῆσαι ἢ βλαβῆναι.

ΥΟΖ'

Ἐρώτησις

Ἐφανέρωσάς μοι, πάτερ, πῶς τὰ μετὰ ταραχῆς καὶ κενο-

σέχεις ἀπὸ τώρα σκεπτόμενος ἐὰν τὰ λεγόμενα λέγονται γιὰ τὸ συμφέρον, καὶ τότε νὰ χρησιμοποιεῖς τὴν ὁμιλία. Ἐὰν ὅμως εἶναι φανερό, ὅτι ὁ λογισμὸς ἔχει ἁμαρτία, τότε καὶ ἂν ἀκόμα δὲν προξενεῖται ταραχή, φρόντισε νὰ τὸν ἀποκόψεις, ἢ προσποιούμενος ὅτι τὸν ξέχασες, ἢ μεταφέροντας αὐτὸν σὲ ἄλλη ὁμιλία χρησιμώτερη, γιὰ νὰ μὴ ὑποπέσεις στὴ κατάκριση ποὺ προέρχεται ἀπὸ αὐτόν.

476

Ἐρώτηση

Ἐπειδὴ εἶπες, πάτερ, ὅτι πρὶν ἀρχίσω τὴν ὁμιλία πρέπει νὰ διασκορπίσω τὸ λογισμό, τί πρέπει νὰ κάνω λοιπὸν ὅταν ἀπαιτεῖ ἡ ἀνάγκη νὰ εἰπωθεῖ ὁ λόγος; Ἢ ὅταν εἶμαι μὲ συντροφιά, καὶ γιὰ νὰ μὴ φανῶ ὅτι παραμένω σιωπηλός, θέλω καὶ ἐγὼ νὰ πῶ κάτι στὰ λεγόμενα καὶ δὲν βλέπω φανερὴ ἁμαρτία στὸ λόγο, ἀλλὰ μοῦ φαίνεται ὅτι εἶναι καλὸς ἢ μέσος; Τί μὲ διατάζεις λοιπὸν νὰ κάνω, ἐὰν δὲν ἔχω καιρὸ νὰ διακρίνω ἀκριβῶς, ἐὰν εἶναι κρυμμένη ἡ ἁμαρτία σ' αὐτόν;

Ἀπόκριση

Ἐὰν ὁ λόγος φαίνεται καλὸς ἢ καὶ μέσος καὶ ἀπαιτεῖ ἡ ἀνάγκη νὰ εἰπωθεῖ αὐτός, νὰ μιλήσεις. Ἂν ὅμως βλέπεις ὅτι σοῦ δημιουργεῖται ἀπὸ τὸν λόγο κενοδοξία, ἢ ἂν σὲ ἐπαινοῦν ὁπωσδήποτε αὐτοὶ ποὺ ἀκούουν, πρέπει νὰ διαμαρτυρηθεῖς ἀπὸ πρὶν στὸ λογισμό, νὰ μὴ δεχθεῖ τὴν κενοδοξία. Ἐὰν ὅμως δεῖς ὅτι νικιέσαι ἀπὸ αὐτήν, συμφέρει μᾶλλον νὰ σιωπήσεις παρὰ νὰ βλαβεῖς.

477

Ἐρώτηση

Πάτερ, μοῦ φανέρωσες, πῶς αὐτὰ ποὺ γίνονται μὲ ταραχὴ

δοξίας γινόμενα τῶν δαιμόνων ἐστί· καὶ εὐχαριστῶ τῷ Κυρίῳ τῷ φωτίσαντί με διὰ τῆς πνευματικῆς ὑμῶν διδασκαλίας καὶ χαρισαμένῳ τοῖς ἁμαρτωλοῖς διὰ τῶν ἁγίων γνῶναι τὴν ὁδὸν τῆς ζωῆς· ἀλλὰ παρακαλῶ καὶ τοῦτο δίδαξόν με, τί ἐστι τὸ δικαίωμα;

Ἀπόκρισις

Δικαίωμά ἐστιν, ὅπερ καύχησιν μὲν οὐκ ἔχει, ἄρνησιν δὲ τοῦ σφάλματος· ὡς ἐπὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας καὶ τοῦ Κάϊν καὶ τῶν τοιούτων· ἁμαρτήσαντες γὰρ καὶ θέλοντες ἑαυτοὺς δικαιῶσαι, ἠρνήσαντο τὸ ἁμάρτημα.

ΥΟΗ'

Ἐρώτησις

Ἔστιν ὅτε οὐ μόνον ὑποβάλλει μοι ταραχήν, ἀλλὰ καὶ κατεπείγει με ποιῆσαι τὸ πρᾶγμα, ἢ εἰπεῖν τὸν λόγον· συμβαίνει δὲ ὅτε ἐκ τοῦ ἐναντίου κωλύει με πληρῶσαι τὸν λόγον ἢ τὸ πρᾶγμα καὶ ἀνθίσταται διακόψαι θέλων. Τί οὖν ποιήσω;

Ἀπόκρισις

Προεῖπον, ὅτι περὶ παντὸς λογισμοῦ καὶ πράγματος, δεῖ διακρίνειν, εἰ καλόν ἐστιν ἢ μή, ὅπερ καταφρονεῖν ποιεῖ τούτων ἁπάντων. Κἂν μὲν ᾖ καλόν, ποίησον αὐτό, εἰ δὲ μή, μὴ ποιήσῃς. Πλήν, ἵνα μὴ τὸ καλὸν διὰ τοῦ θορύβου γένηται, ἐξετάζειν δεῖ τὸν ἡγεμονικὸν λογισμόν, κατὰ ποῖον λόγον ταῦτα ποιεῖ· καὶ ἐὰν κατὰ φόβον Θεοῦ ἐξετάσῃς, οὐκ ἀφίησιν ὁ Θεὸς πλανηθῆναι· πῶς γάρ, ὅτε εἰς ἑαυτὸν ὤμοσε λέγων, «ζῶ ἐγώ, λέγει Κύριος, οὐ θέλω τὸν θάνατον τοῦ

45. Ἰεζ. 33,11.

καὶ κενοδοξία εἶναι τῶν δαιμόνων· καὶ εὐχαριστῶ τὸν Κύριο ποὺ μὲ φώτισε μὲ τὴν πνευματική σας διδασκαλία καὶ χάρισε στοὺς ἁμαρτωλοὺς νὰ γνωρίσουν διὰ τῶν ἁγίων τὴν ὁδὸ τῆς ζωῆς. Ἀλλὰ παρακαλῶ δίδαξέ με καὶ αὐτό· τί εἶναι τὸ δικαίωμα;

Ἀπόκριση

Δικαίωμα εἶναι, ὅ,τι δὲν ἔχει καύχηση, ἔχει ὅμως ἄρνηση τοῦ σφάλματος· ὅπως στὴν περίπτωση τοῦ Ἀδὰμ καὶ τῆς Εὔας καὶ τοῦ Κάϊν καὶ τῶν ὁμοίων· διότι, ἐπειδὴ ἁμάρτησαν καὶ ἤθελαν νὰ δικαιώσουν τοὺς ἑαυτούς τους, ἀρνήθηκαν τὸ ἁμάρτημα.

478

Ἐρώτηση

Μερικὲς φορὲς ὄχι μόνο μοῦ ὑποβάλλει ταραχή, ἀλλὰ μὲ πιέζει νὰ κάνω τὸ πρᾶγμα ἢ νὰ πῶ τὸν λόγο γρήγορα. Συμβαίνει ἐπίσης μερικὲς φορὲς ἀντιθέτως νὰ μὲ ἐμποδίζει νὰ πραγματοποιήσω τὸν λόγο ἢ τὸ πρᾶγμα καὶ ἀντιστέκεται θέλοντας νὰ μὲ διακόψει· τί νὰ κάνω λοιπόν;

Ἀπόκριση

Προεῖπα, ὅτι πρέπει νὰ διακρίνουμε σὲ κάθε λογισμὸ καὶ πρᾶγμα, ἐὰν εἶναι καλὸ ἢ ὄχι, κάτι τὸ ὁποῖο κάνει νὰ περιφρονοῦμε ὅλα αὐτά. Καὶ ἂν εἶναι καλὸ νὰ τὸ κάνεις, ἐὰν ὅμως ὄχι, νὰ μὴ τὸ κάνεις. Ἀλλ' ὅμως γιὰ νὰ μὴ γίνει τὸ καλὸ μὲ θόρυβο, πρέπει νὰ ἐξετάζουμε τὸν ἡγεμονικὸ λογισμὸ μὲ ποιόν τρόπο τὰ κάνει αὐτά· καὶ ἐὰν βρεῖς ὅτι τὰ κάνει σύμφωνα μὲ τὸν φόβο τοῦ Θεοῦ, δὲν σὲ ἀφήνει ὁ Θεὸς νὰ πλανηθεῖς· διότι πῶς εἶναι δυνατό, ὅταν ὁρκίσθηκε στὸν ἑαυτό του λέγοντας, «ἐγὼ ζῶ, λέγει ὁ Κύριος· δὲν θέλω τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, ὡς ποὺ νὰ ἐπιστρέψει καὶ νὰ ζήσει αὐτός»[45], καὶ

ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν»; μάλιστα βλέπων σε ἐξετάζοντα τὸν λογισμὸν περὶ σωτηρίας ψυχῆς καὶ ἐπιστροφῆς τῆς εἰς αὐτόν; Πανταχοῦ οὖν ἐπικαλοῦ τὸ ὄνομα αὐτοῦ.

ΥΟΘʹ

Ἐρώτησις

Ἔστιν ὅτε ἐπικαλοῦμαι τὸ ὄνομα τοῦ Θεοῦ, καὶ ὅμως ἐναπομένει τῷ λογισμῷ ὥσπερ τι βάρος ἐκ τούτων· ποσάκις οὖν δεῖ ἐπικαλεῖσθαι;

Ἀπόκρισις

Αρκεῖ σοι τὸ ἅπαξ καὶ προσθῆναι μὴ ἀνάσχῃ, ἀλλὰ καταφρόνησον τοῦ βάρους· τῶν γὰρ δαιμόνων ἐστί. Τοῦτο δὲ λέγω ἡνίκα οὐ κεκώλυται τὸ λαλῆσαι ἢ ποιῆσαι τὸ πρᾶγμα, διὰ τὸ καλὸν εἶναι αὐτὸ ἢ μέσον· τότε γὰρ ἀρκέσει τὸ ἅπαξ, ἤγουν τὸ τρίτον.

ΥΠʹ

Ἐρώτησις

Ὅτε θέλω λαλῆσαι καλὸν πρᾶγμα ἢ ποιῆσαι, καὶ φοβούμενος τὸ μὴ γενέσθαι μοι ἐν αὐτῷ ταραχὴν ἐν τῇ καρδίᾳ, ἀποφεύγω αὐτό. Ἆρα καλῶς ποιῶ ἢ οὔ;

Ἀπόκρισις

Εάν, μέλλων πρᾶγμα ποιεῖν ἢ λέγειν, δειλιᾷς μήποτε κινηθῇ σοι ἐξ αὐτοῦ ταραχὴν καὶ διὰ τοῦτο ἀποφεύγεις αὐτό, οὐκ ὀρθῶς ποιεῖς· νῶτα γὰρ παρέχεις τῷ ἐχθρῷ καὶ οὐκ ἐκφεύγεις τὴν ταραχήν. Οὐ λείπει γὰρ αὐτῷ ἐν ἑκάστῳ πράγματι ὑποβαλεῖν σοι ταραχὴν καὶ χεῖρον γίνεταί σοι τὸ πά-

μάλιστα ὅταν σὲ βλέπει νὰ ἐξετάζεις τὸ λογισμὸ γιὰ τὴ σωτηρία τῆς ψυχῆς καὶ τὴν ἐπιστροφή της σ' αὐτόν; Παντοῦ λοιπὸν νὰ ἐπικαλεῖσαι τὸ ὄνομά του.

479

Ἐρώτηση

Μερικὲς φορὲς ἐπικαλοῦμαι τὸ ὄνομα τοῦ Θεοῦ καὶ ὅμως ἐναπομένει στὸ λογισμὸ κάποιο βάρος ἀπὸ αὐτά· πόσες φορὲς λοιπὸν πρέπει νὰ τὸ ἐπικαλοῦμαι;

Ἀπόκριση

Σοῦ ἀρκεῖ νὰ τὸ ἐπικαλεσθεῖς μία φορά, καὶ μὴ προβεῖς σὲ ἐπανάληψη, ἀλλὰ περιφρόνησε τὸ βάρος· διότι αὐτὸ εἶναι τῶν δαιμόνων. Αὐτὸ τὸ λέγω σὲ περίπτωση ποὺ δὲν ἔχει ἐμποδισθεῖ ἡ ὁμιλία ἢ ἡ ἐκτέλεση τοῦ πράγματος, ἐπειδὴ αὐτὸ εἶναι καλὸ ἢ μέσο· διότι τότε θὰ εἶναι ἀρκετὸ ἡ μία φορά, καὶ ὄχι οἱ τρεῖς.

480

Ἐρώτηση

Ὅταν θέλω νὰ πῶ ἢ νὰ κάνω κάτι καλό, ἐπειδὴ φοβᾶμαι νὰ μὴ δημιουργηθεῖ ταραχὴ ἀπὸ αὐτὸ στὴν καρδιά μου, τὸ ἀπογεύγω· ἄραγε κάνω καλὰ ἢ ὄχι;

Ἀπόκριση

Εάν, ὅταν πρόκειτια νὰ κάνεις ἢ νὰ πεῖς κάτι, δειλιάζεις μήπως σοῦ κινηθεῖ ταραχὴ ἀπὸ αὐτὸ καὶ γι' αὐτὸ τὸ ἀποφεύγεις, δὲν κάνεις σωστά· διότι παρέχεις νῶτα στὸν ἐχθρὸ καὶ δὲν ἀποφεύγεις τὴν ταραχή. Πράγματι δὲν στερεῖται αὐτὸς τῆς ἱκανότητας νὰ σοῦ ὑποβάλει ταραχὴ σὲ κάθε πρᾶγμα καὶ νὰ σοῦ γίνει χειρότερο τὸ πάθος. Ὅταν ὅμως κά-

θος. Ἐκ δὲ τοῦ ποιῆσαι τὸ πρᾶγμα μετὰ προσευχῆς καὶ φόβου Θεοῦ, διὰ τῆς αὐτοῦ βοηθείας καταργεῖται ἡ ταραχή.

ΥΠΑ'

Ἐρώτησις

Καὶ πῶς εἶπάς μοι, πάτερ, ὅτι 'καλή ἐστιν ἡ σιωπή'; ἐὰν οὖν ταύτῃ χρήσωμαι, δοκῶ ἀποφεύγειν καὶ βλάπτομαι. Πῶς οὖν ἐστιν;

Ἀπόκρισις

Ὅτε κατὰ ἄσκησιν μετέρχῃ τὴν σιωπήν, τότε καλή ἐστιν· ὅτε δὲ οὐχ οὕτως, ἀλλὰ φοβούμενος τὴν ταραχὴν σιωπᾷς, βλαβερόν ἐστι.

ΥΠΒ'

Ἐρώτησις

Ἐπειδὴ δὲ τὸν ἄνθρωπον αὐτεξούσιον ἐποίησεν ὁ Θεὸς καὶ οὐ βιάζεται αὐτὸν ποιῆσαι τὸ δίκαιον, εἰπέ μοι, πάτερ, πῶς βοηθεῖ τῷ ἀδικουμένῳ; καὶ πῶς εἴρηται «ἀθετεῖ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων»; Καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα ρυσθῶ ἐκ τῆς διαβολικῆς ἀπιστίας, καὶ νήψω εἰς τὴν πνευματικὴν ὑμῶν διδασκαλίαν.

Ἀπόκρισις

Ὁ Θεὸς οὐ καταναγκάζει ποιῆσαι τὸ δίκαιον διὰ τὸ αὐτεξούσιον· ἀλλ' ἐὰν ἀδικῆταί τις καὶ ᾖ ἄξιον ρυσθῆναι τῆς ἀδικίας, κωλύει ὁ Θεὸς τὸν ἀδικοῦντα καὶ οὐ λογίζεται αὐτῷ εἰς δικαιοσύνην, διὰ τὸ κακὴν ἔχειν τὴν προαίρεσιν,

νεις τὸ πρᾶγμα μὲ προσευχὴ καὶ φόβο Θεοῦ, μὲ τὴ βοήθειά του καταργεῖται ἡ ταραχή.

481

Ἐρώτηση

Καὶ πῶς μοῦ εἶπες, πάτερ, ὅτι 'εἶναι καλὴ ἡ σιωπή'; Ἐὰν τὴν χρησιμοποιήσω, φαίνομαι ὅτι ἀποφεύγω καὶ βλάπτομαι· πῶς εἶναι λοιπὸν σωστό;

Ἀπόκριση

Ὅταν ἀκολουθεῖς τὴ σιωπὴ σύμφωνα μὲ τὴν ἄσκηση, τότε εἶναι καλή· ὅταν ὅμως ὄχι ἔτσι, ἀλλὰ σιωπᾶς ἐπειδὴ φοβᾶσαι τὴν ταραχή, εἶναι βλαβερό.

482

Ἐρώτηση

Ἐπειδὴ ὁ Θεὸς ἔκανε αὐτεξούσιο τὸν ἄνθρωπο καὶ δὲν τὸν ἐξαναγκάζει νὰ κάνει τὸ δίκαιο, πές μου, πάτερ, πῶς βοηθεῖ αὐτὸν ποὺ ἀδικεῖται, καὶ πῶς ἔχει λεχθεῖ, «ἀθετεῖ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ σκέψεις ἀρχόντων»[46]; Καὶ προσευχήσου γιὰ μένα γιὰ νὰ σωθῶ ἀπὸ τὴ διαβολικὴ ἀπιστία καὶ νὰ ἀφιερωθῶ στὴν πνευματική σας διδασκαλία.

Ἀπόκριση

Ὁ Θεὸς δὲν καταναγκάζει κάποιον νὰ κάνει τὸ δίκαιο ἐξαιτίας τοῦ αὐτεξουσίου· ἀλλά, ἐὰν ἀδικεῖται κάποιος καὶ εἶναι ἄξιος νὰ προστατευθεῖ ἀπὸ τὴν ἀδικία, ὁ Θεὸς ἐμποδίζει αὐτὸν ποὺ ἀδικεῖ καὶ δὲ θεωρεῖται αὐτὸ σ' αὐ-

46. Ψαλμ. 32,10.

καὶ προαιρεῖσθαι αὐτὸν πληρῶσαι πᾶσαν ἀδικίαν. Ἠδίκουν γὰρ οἱ Χαλδαῖοι τοὺς περὶ τὸν Ἀζαρίαν, ῥίπτοντες αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· καὶ ἐπειδὴ ἄξιοι ἦσαν τοῦ λυτρωθῆναι, ἐφείσατο αὐτῶν ὁ Θεὸς καὶ ἐκώλυσε τὸ πῦρ ἀδικῆσαι αὐτούς. Καὶ οὐκ ἐπιγράφομεν τὸ δίκαιον τοῦτο τοῖς Χαλδαίοις, διὰ τὸ κακὸν ἔχειν τὸ θέλημα, ἀλλὰ τῷ Θεῷ τῷ διασκεδάσαντι τὰς τῶν ἐθνῶν βουλάς, διὰ τοὺς φοβουμένους αὐτόν, κἂν κωλυθῇ δὲ ἡ κακία διὰ τοὺς ἀξίους, ἀλλ' οἱ ἄδικοι ἀξίως τῶν κακιῶν τῆς ἀδικίας αὐτῶν λαμβάνουσι τὸν μισθόν.

Πρόσεχε σεαυτῷ μὴ πλανηθῇς ἀπὸ τῆς ἀληθείας, εἰς ἣν ὁδηγεῖ σε ὁ Θεὸς τῆς δόξης, εὐχαῖς ἁγίων. Ἀμήν.

ΥΠΓ'

Ἐρώτησις

Ἀδελφὸς συνεργαζόμενος ἄλλῳ ἀδελφῷ ἐτυπτήθη παρ' αὐτοῦ κατ' ἐνέργειαν τοῦ διαβόλου· καὶ ἐντεῦθεν ταραχθεὶς ἠβουλήθη ἀποχωρίσαι τοῦ συνεργάζεσθαι αὐτῷ· καὶ ἠρώτησε τὸν μέγαν Γέροντα περὶ τούτου.

Ἀπόκρισις *Βαρσανουφίου.*

Ἀδελφέ, περὶ ὧν ἠρώτησας, μὴ θορυβηθῇς τοῦ ποιῆσαί τί ποτε μετὰ ταραχῆς, μάλιστα περὶ ἀνθρώπου τεταραγμένου ἀπὸ λογισμῶν καὶ φθόνου τοῦ διαβόλου, καθὼς καὶ σὺ ἐπειράσθης καὶ ἠγριώθης ἀπὸ λογισμῶν καιρῷ· κἂν μνημονεύσῃς πῶς καὶ σὺ τότε ἔπαθες, οὐκ ἐξουδενώσῃς τὸν ἀδελφόν σου ἐν τῷ πειρασμῷ αὐτοῦ. Πολλοὶ γὰρ τῶν ἀσθενούντων ἀπὸ τῆς καρώσεως τοῦ ἐγκεφάλου τῆς ἀπὸ τοῦ σφοδροτάτου πυρετοῦ, εἴ τι δήποτε καὶ ἐνθυμοῦνται καὶ λαλοῦσι·

τὸν γιὰ δικαίωση, ἐπειδὴ ἔχει κακὴ τὴν προαίρεση, καὶ ἔχει τὴ διάθεση νὰ πραγματοποιήσει κάθε ἀδικία. Πράγματι ἀδικοῦσαν οἱ Χαλδαῖοι τοὺς γύρω ἀπὸ τὸν Ἀζαρία, ρίχνοντάς τους στὴν κάμινο τοῦ πυρός· καὶ ἐπειδὴ ἦταν ἄξιοι τῆς λυτρώσεως, τοὺς λυπήθηκε ὁ Θεὸς καὶ ἐμπόδισε τὴ φωτιὰ νὰ τοὺς ἀδικήσει. Καὶ δὲν ἀποδίδουμε αὐτὸ τὸ δίκαιο στοὺς Χαλδαίους, ἐπειδὴ εἶχαν κακὸ τὸ θέλημα, ἀλλὰ στὸ Θεὸ ποὺ διέλυσε τὶς σκέψεις τῶν ἐθνῶν, γιὰ χάρη αὐτῶν ποὺ τὸν φοβοῦνται. Κι ἂν ἀκόμα ἐμποδισθεῖ ἡ κακία γιὰ τοὺς ἄξιους, ὅμως οἱ ἄδικοι παίρνουν τὴν ἀμοιβὴ ἀντάξια τῶν κακιῶν τῆς ἀδικίας.

Πρόσεχε τὸν ἑαυτό σου, γιὰ νὰ μὴ πλανηθεῖς ἀπὸ τὴν ἀλήθεια, στὴν ὁποία σὲ ὁδηγεῖ ὁ Θεὸς τῆς δόξας μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

483

Ἐρώτηση

Ἀδελφὸς ποὺ συνεργαζόταν μὲ ἄλλον ἀδελφό, χτυπήθηκε ἀπὸ αὐτὸν ἀπὸ ἐνέργεια τοῦ διαβόλου· καὶ ἐπειδὴ ταράχθηκε ἀπὸ αὐτό, θέλησε ν' ἀποχωρισθεῖ ἀπὸ τὴ συνεργασία μ' αὐτόν· καὶ ἐρώτησε τὸν μεγάλο Γέροντα σχετικὰ μ' αὐτό.

Ἀπόκριση Βαρσανουφίου.

Ἀδελφέ, σχετικὰ μὲ ὅσα ἐρώτησες, μὴ θορυβηθεῖς καὶ κάνεις κάτι μὲ ταραχή, μάλιστα ἀφοῦ πρόκειται γιὰ ἄνθρωπο ποὺ ἔχει ταραχθεῖ ἀπὸ λογισμοὺς καὶ ἀπὸ φθόνο τοῦ διαβόλου, ὅπως καὶ σὺ πειράχθηκες κάποτε καὶ ἀγριώθηκες ἀπὸ τοὺς λογισμούς· καὶ ἂν θυμηθεῖς πῶς ἔπαθες καὶ σὺ τότε, δὲν θὰ ἐξουθενώσεις τὸν ἀδελφό σου στὸν πειρασμό του. Διότι πολλοὶ ἀσθενεῖς ἐξαιτίας τῆς ζάλης τοῦ ἐγκεφάλου ποὺ προκαλεῖται ἀπὸ σφοδρότατο πυρετό, ὁτιδήποτε τοὺς ἔρθει στὴ μνήμη τὸ λέγουν· καὶ ἂν ὑβρίζουν τοὺς ὑγιεῖς καὶ αὐτοὺς ποὺ

κἂν ὑβρίζωσι τοὺς ὑγιαίνοντας καὶ ὑπηρετοῦντας αὐτοῖς, οὐκ ἴσασι, κατεκυρίευσε γὰρ αὐτῶν ἡ νόσος.

Οὕτω καὶ νῦν, κἂν εἴπῃ τις αὐτῷ περὶ ἰατροῦ, οὐ δέχεται ἰατρείαν, οὐδὲ γὰρ οἶδε τί αὐτῷ συμφέρει· καὶ ὡσεὶ λῆρον δέχεται τὰ αὐτῷ λεγόμενα παρά τινος, καὶ ὑβρίζων καὶ ὀργιζόμενος καὶ αἰτῶν βρώματα βλάπτοντα ἢ ὠφελοῦντα, οὐκ οἶδε τί ποιεῖ. Οὕτως ἐστὶν ὁ πειραζόμενος· κἂν ἀπόλλῃ τὴν ψυχὴν αὐτοῦ, οὐκ οἶδε, κἂν τοὺς ἁγίους τοὺς συμπάσχοντας αὐτῷ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ὑβρίσῃ ἢ ἐξουθενώσῃ οὐκ οἶδε, κεκάρωται γὰρ τῷ πάθει τοῦ νοσήματος τοῦ ὑπεναντίου, τοῦ ἀεὶ στρέφοντος αὐτῷ τὰ πράγματα, ἕως οὗ ποιήσῃ αὐτὸν ἀρνήσασθαι καὶ αὐτὸν τὸν Θεόν.

Οὕτω καὶ ὧδε ἐν τῷ μέρει τούτῳ. Ἀλλ' εἰδὼς ταῦτα καὶ ὅτι οἰκονομικῶς ἀφίησιν ὁ Θεὸς ἡμᾶς πειρασθῆναι, ἵνα δόκιμοι φανῶμεν αὐτῷ, ἵνα βαστάζωμεν τὸν πλησίον ἐν καιρῷ τῆς αὐτοῦ ἀσθενείας, αἰσθητῆς τε καὶ νοητῆς· «ἀλλήλων», γάρ φησι, «τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ». Εἴ τις οὖν συνέλθῃ τῷ ἀσθενοῦντι, οὐκ ἐν τῷ ποιεῖν τὸ θέλημα αὐτοῦ ἐστι ἢ τῷ δοῦναι αὐτῷ τὰ βλάπτοντα αὐτόν, ἀλλ' ἐν τῷ βαστάσαι τὰς ὕβρεις αὐτοῦ καὶ φυλάξαι μὴ δοῦναι αὐτό τι βλαβερόν.

Οὕτω καὶ ὧδε, ἐν τῷ μέρει τούτῳ. Οὐκ ἐν τῷ ποιῆσαι τὸ θέλημα τοῦ ἀρρωστοῦντός ἐστιν ἡ κηδεμονία, ἀλλ' ἐν τῷ εὔξασθαι ὑπὲρ αὐτοῦ· κἂν μὴ ᾖ ἱκανὸς δεηθήτω τῶν δυναμένων δυσωπῆσαι τὸν Δεσπότην Θεὸν ρύσασθαι αὐτὸν ἀπὸ τοῦ ἐπικειμένου αὐτῷ πειρασμοῦ καὶ γίνεται ὁ τοιοῦτος κατὰ τὴν Μάρθαν καὶ Μαρίαν, ἀδελφὰς τοῦ Λαζάρου, λεγούσας τῷ Δεσπότῃ ἐγεῖραι τὸν αὐτῶν ἀδελφόν. Κἂν ποιήσῃ τις ταῦτα, μὴ μέγα φρονήσῃ, καθὼς γὰρ γίνεται αὐτῷ ὑπὸ ἄλλων, οὕτω καὶ αὐτὸς ποιεῖ· «ἐν ᾧ γὰρ μέτρῳ μετρεῖ τις, ἀντιμετρηθήσεται αὐτῷ». Καὶ μὴ νομίσῃς ὅτι ἐδάρης παρ' αὐτοῦ, ὅτι μέγα τι ἔπαθες· ὅτι ὁ

τοὺς ὑπηρετοῦν, δὲν τὸ γνωρίζουν, διότι τοὺς κατακυρίευσε ἡ ἀσθένεια.

Ἔτσι καὶ τώρα,. Ἂν τοῦ πεῖ κανεὶς γιὰ γιατρό, δὲ δέχεται γιατρειά, διότι δὲ γνωρίζει οὔτε τί τοῦ συμφέρει· καὶ δέχεται ὅσα τοῦ λέγει κάποιος σὰν ἀνοησία καὶ ὑβρίζει καὶ ὀργίζεται, καὶ ζητᾶ τροφὲς ποὺ τὸν βλάπτουν παρὰ τὸν ὠφελοῦν· δὲ γνωρίζει τί κάνει. Ἔτσι εἶναι αὐτὸς ποὺ πειράζεται· κι ἂν ἀκόμα χάσει τὴν ψυχή του, δὲν τὸ γνωρίζει, κι ἂν ἀκόμα ὑβρίσει ἢ ἐξουδενώσει τοὺς ἁγίους ποὺ συμπάσχουν μ' αὐτὸν γιὰ τὴν ψυχή του, δὲ τὸ γνωρίζει, διότι ζαλίστηκε ἀπὸ τὸ πάθος τοῦ νοσήματος τοῦ ἐχθροῦ ποὺ στρέφει πάντοτε σ' αὐτὸν τὰ πράγματα, ὥς ποὺ νὰ τὸν κάνει ν' ἀρνηθεῖ καὶ τὸν ἴδιο τὸ Θεό.

Ἔτσι καὶ ἐδῶ στὴν περίπτωση αὐτή. Ἀλλὰ γνωρίζοντας αὐτὰ τὰ πράγματα καὶ ὅτι ὁ Θεὸς κατ' οἰκονομία μᾶς ἀφήνει νὰ πειραχθοῦμε, γιὰ νὰ φανοῦμε ἄξιοι σ' αὐτὸν ἀπὸ τὴ δοκιμασία, πρέπει νὰ βαστάζουμε τὸν πλησίον κατὰ τὸν καιρὸ τῆς αἰσθητῆς καὶ νοητῆς ἀσθένειας· διότι λέγει, «νὰ βαστάζετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου, καὶ ἔτσι θὰ ἐκπληρώσετε τὸ νόμο τοῦ Χριστοῦ»[47]. Ἐὰν δηλαδὴ ἔλθει κανεὶς κοντὰ στὸν ἀσθενῆ, δὲν τὸ κάνει γιὰ νὰ κάνει τὸ θέλημά του ἢ γιὰ νὰ τοῦ δώσει αὐτὰ ποὺ τὸν βλάπτουν, ἀλλὰ γιὰ νὰ βαστάξει τὶς ὕβρεις του καὶ νὰ προσέξει νὰ μὴ τοῦ δώσει τίποτε βλαβερό.

Ἔτσι καὶ ἐδῶ στὴν περίπτωση αὐτή. Ἡ κηδεμονία δὲν εἶναι στὸ νὰ κάνει κανεὶς τὸ θέλημα τοῦ ἀρρώστου, ἀλλὰ στὸ νὰ προσεύχεται γι' αὐτόν· καὶ ἂν δὲν εἶναι ἱκανός, ἂς ζητήσει ἀπὸ αὐτοὺς ποὺ μποροῦν νὰ παρακαλέσουν τὸν Δεσπότη Θεὸ νὰ σώσει αὐτὸν ἀπὸ τὸν ἐπικείμενο πειρασμό, καὶ αὐτὸς θὰ γίνει ὅπως ἡ Μάρθα καὶ ἡ Μαρία, οἱ ἀδελφὲς τοῦ Λαζάρου, ποὺ ἔλεγαν στὸν Δεσπότη ν' ἀναστήσει τὸν ἀδελφό τους. Καὶ ἂν κανεὶς κάνει αὐτά, νὰ μὴ μεγαλοφρονήσει, διότι, ὅπως γίνεται σ' αὐτὸν ἀπὸ ἄλλους, ἔτσι κάνει καὶ αὐτός· διότι «μὲ ὅποιο μέτρο μετρᾶ κανείς, μ' αὐτὸ θὰ ἀντιμετρηθεῖ»[47α]. Καὶ μὴ νομίσεις, ὅτι

47. Γαλ. 6,2.

47α. Ματθ. 7,20.

Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐδάρη καὶ ὅλα τὰ ἑξῆς. Καὶ μὴ σαλευθῇς ἀπὸ τοῦ τόπου σου, μεταβῆναι καὶ ἀφορισθῆναι ἀπὸ τοῦ ἀδελφοῦ σου· οὐ γάρ ἐστι κατὰ Θεόν, ἀλλὰ πλήρωμα θελήματος διαβόλου. Κἂν ποιήσῃς τοῦτο, οὐδὲ οὕτω παύεται, ἀλλ' ἔτι εἰς χεῖρον ἔρχεται. Ἀπὸ κακοῦ γὰρ οὐδὲν ἐκβαίνει ἀγαθόν, ἀλλ' αὕτη ἐστὶν ἀνυποταξία καὶ ἀσυνεσία· «ὅπου γὰρ ἔρις καὶ ζῆλος, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα».

Οὐδεὶς θεραπεύεται ἀπὸ τούτων εἰς τὸν αἰῶνα, εἰ μὴ ὁ κόπτων τὸ ἴδιον θέλημα καὶ ἀγωνιζόμενος μὴ περιεργάζεσθαι τὸν πλησίον, μήτε ποτὲ εἰπεῖν, 'τί ἐστι τοῦτο ἢ τοῦτο'· ὁ δὲ λέγων, 'τοῦτο κἀγὼ θέλω', υἱὸς διαβόλου γίνεται καὶ ἀλλότριος τοῦ Θεοῦ· καὶ φανερόν ἐστιν, ὅτι τὸ ἴδιον θέλημα θέλει ποιῆσαι καὶ οὐ τὸ τοῦ Θεοῦ.

Ἀνδρίζου, ἀδελφέ, ὁ Θεὸς σκεπάσοι σε· καὶ ἐξ ὅλης ψυχῆς εὖξαι ὑπὲρ τοῦ ἀδελφοῦ σου καὶ ἀγάπησον αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΠΔ'

Ἐρώτησις

Ἀδελφὸς ᾔτησε τὸν αὐτὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ· 'συγχώρησόν μοι, ὅτι πολλὰ ὀχλῶ σοι· ἀλλὰ πιστεύω εἰς τὸν Θεόν, ὅτι διὰ τῶν εὐχῶν σου ἐνδυναμοῖ με, καὶ οὐκ ἔτι ὀχλῶ σοι τοσοῦτον.

Ἀπόκρισις *Βαρσανουφίου.*

Ὅσοι εἰσὶ Θεοῦ τέκνα, καὶ κληρονόμοι πάντως τῆς χρηστότητος καὶ μακροθυμίας καὶ ἀνοχῆς αὐτοῦ καὶ φιλανθρωπίας καὶ ἀγάπης εἰσίν· εἰ γὰρ Θεοῦ τέκνα, καὶ θεοὶ τυγχάνουσι· εἰ θεοί, καὶ κύριοι· καὶ εἰ φῶς ὁ Θεός, καὶ

48. Κατὰ τὴν πρὸ τῆς σταυρώσεως διαδικασία.

49. Ἰακ. 3,16.

ἔχεις πάθει κάτι μεγάλο, ἐπειδὴ χτυπήθηκες ἀπὸ αὐτόν· διότι καὶ ὁ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς δέχθηκε χτυπήματα, καὶ ὅλα τὰ παρόμοια[48]. Καὶ μὴ σαλευθεῖς ἀπὸ τὸν τόπο σου καὶ φύγεις καὶ χωρισθεῖς ἀπὸ τὸν ἀδελφό του· διότι δὲν εἶναι ἀρεστὸ στὸ Θεό, ἀλλὰ ἐκτέλεση θελήματος διαβόλου. Καὶ ἂν τὸ κάνεις αὐτό, οὔτε ἔτσι θὰ σταματήσει, ἀλλὰ θὰ ἔρθει σὲ ἀκόμα χειρότερα· διότι ἀπὸ τὸ κακὸ δὲν προκύπτει κανένα ἀγαθό, ἀλλὰ αὐτὴ εἶναι ἀνυποταξία καὶ ἀσυνεσία· «ὅπου ὑπάρχει ἔριδα καὶ ζήλεια, ἐκεῖ ὑπάρχει ἀκαταστασία καὶ κάθε φαῦλο πρᾶγμα»[49].

Κανένας δὲ θεραπεύεται ἀπὸ αὐτὰ στὸν αἰώνα, παρὰ αὐτὸς ποὺ κόβει τὸ θέλημά του καὶ ἀγωνίζεται νὰ μὴ περιεργάζεται τὸν πλησίον, γιὰ νὰ μὴ πεῖ ποτέ, 'τί εἶναι αὐτὸ ἢ ἐκεῖνο'. Καὶ αὐτὸς ποὺ λέγει, 'καὶ ἐγὼ θέλω αὐτό', γίνεται υἱὸς τοῦ διαβόλου καὶ ξένος τοῦ Θεοῦ, καὶ εἶναι φανερὸ ὅτι θέλει νὰ κάνει τὸ δικό του θέλημα καὶ ὄχι τοῦ Θεοῦ.

Γίνε λοιπὸν ἀνδρεῖος, ἀδελφέ, καὶ εἴθε ὁ Θεὸς νὰ σὲ προστατεύσει· καὶ προσευχήσου μὲ ὅλη σου τὴν ψυχὴ γιὰ τὸν ἀδελφό σου καὶ ἀγάπησέ τον στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

484

Αἴτηση

Ἀδελφὸς παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτόν· 'συγχώρεσέ με, διότι σὲ ἐνοχλῶ πολύ, ἀλλὰ πιστεύω στὸ Θεό, ὅτι μὲ τὶς προσευχές σου θὰ μὲ ἐνδυναμώσει καὶ δὲ θὰ σὲ ἐνοχλῶ πιὰ τόσο πολύ.

Ἀπόκριση Βαρσανουφίου.

Ὅσοι εἶναι τέκνα τοῦ Θεοῦ, εἶναι ὁπωσδήποτε καὶ κληρονόμοι τῆς χρηστότητας καὶ τῆς μακροθυμίας, τῆς ἀνοχῆς καὶ τῆς φιλανθρωπίας καὶ τῆς ἀγάπης αὐτοῦ· διότι, ἐὰν εἶναι τέκνα Θεοῦ, εἶναι καὶ θεοί· ἐὰν εἶναι θεοί, εἶναι

αὐτοὶ φωστῆρες. Εἰ οὖν ὀχλεῖται αἰτούμενος ὁ Θεὸς καὶ ἀκηδιᾷ, καὶ αὐτοί· εἰ δὲ μὴ αἰτούμενος λυπεῖται, αἰτούμενος δὲ χαίρει, καὶ αὐτοί. Ζήτησον τὸν πλησίον σου ὡς σεαυτόν, φησὶν ἡ Παλαιὰ Γραφή· ἡ δὲ Νέα δεικνύουσα τὴν τελειότητα φάσκει, «τὴν ψυχὴν τίθεσθαι ὑπὲρ ἀλλήλων»· καθὼς ὁ τέλειος καὶ Υἱὸς τελείου τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν τέθεικε. Αἰτούμενοι οὖν οἱ ἅγιοι χαίρουσι τέλειοι ὄντες, καθὼς ὁ Πατὴρ αὐτῶν τέλειός ἐστιν. Αἰτήσατε οὖν αὐτοὺς καὶ παρέχουσιν ἀόκνως, οὐ γάρ εἰσι κατ' ἐμὲ χαῦνοι καὶ ῥᾴθυμοι· καὶ εὔξασθε εἶναί με ἐν τούτοις.

Καὶ αἰτῶ τὸν Θεὸν δοῦναι ὑμῖν τὰ αἰτήματα ὑμῶν, πρῶτον, δύναμιν ἐξ ὕψους καὶ ἀγάπην τὴν εἰς αὐτόν· καὶ στηρίξαι ἐν τῷ φόβῳ αὐτοῦ καὶ τῇ πίστει τὰς καρδίας ὑμῶν. Μείνατε οὖν μὴ διστάζοντες, ἀπεκδεχόμενοι τὸ ἔλεος αὐτοῦ· καὶ αὐτὸς ποιεῖ ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥΠΕ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν τοῦ κοινοβίου ἐν ᾧ ἦσαν οἱ ἅγιοι γέροντες, δοῦναι αὐτῷ πλησίον κελλίον· καὶ συνέθετο δοῦναι. Παρέβαλε δὲ ἐν τοσούτῳ πρός τινα μοναχόν, καὶ παρεκάλεσεν αὐτὸν ἐκεῖνος οἰκῆσαι εἰς διαφέρον αὐτῷ κελλίον. Ὁ δὲ ἀδελφὸς ἀπεκρίθη μὴ δύνασθαι αὐτὸ ποιῆσαι, χωρὶς γνώμης τῶν γερόντων καὶ τοῦ ἀββᾶ τοῦ συνταξαμένου δοῦναι αὐτῷ τὸ κελλίον· καὶ ἐλθὼν ἠρώτησε τὸν ἄλλον γέροντα, τί δεῖ ποιῆσαι.

καὶ κύριοι· καὶ ἐὰν ὁ Θεὸς εἶναι φῶς καὶ αὐτοὶ εἶναι φωστῆρες. Ἐὰν λοιπὸν ὁ Θεὸς ἐνοχλεῖται, ὅταν παρακαλεῖται, καὶ ἀδιαφορεῖ, καὶ αὐτοὶ τὸ ἴδιο. Ἐὰν ὅμως ὅταν τὸν παρακαλοῦν δὲν λυπεῖται, ἀλλὰ χαίρεται, καὶ αὐτοὶ τὸ ἴδιο. «Ζήτησε ἀπὸ τὸν πλησίον του σὰν ἀπὸ τὸν ἑαυτό σου», λέγει ἡ Παλαιὰ Διαθήκη· ἐνῶ ἡ Νέα, δείχνοντας τὴν τελειότητα, λέγει, «νὰ θυσιάζετε τὴν ψυχή σας ὁ ἕνας γιὰ τὸν ἄλλο»[49α], «ὅπως ὁ τέλειος καὶ Υἱὸς τοῦ τέλειου πρόσφερε τὴν ψυχή του γιὰ μᾶς». Ὅταν παρακαλοῦνται οἱ ἅγιοι, χαίρονται, ἐπειδὴ εἶναι τέλειοι, ὅπως εἶναι τέλειος ὁ Πατέρας τους. Ζητῆστε λοιπὸν ἀπ' αὐτοὺς καὶ θὰ σᾶς παράσχουν ἀκούραστα, διότι δὲν εἶναι, ὅπως ἐγώ, χαῦνοι καὶ ράθυμοι· καὶ προσευχηθεῖτε νὰ εἶμαι ἀνάμεσα σ' αὐτούς.

Καὶ παρακαλῶ τὸ Θεὸ νὰ σᾶς δώσει τὰ αἰτήματά σας, πρῶτα, δύναμη ἐξ ὕψους καὶ τὴν ἀγάπη πρὸς αὐτόν· καὶ εἴθε νὰ στηρίξει τὶς καρδιές σας στὸ φόβο του καὶ στὴν πίστη πρὸς αὐτόν. Ἐπιμείνατε λοιπὸν χωρὶς δισταγμό, περιμένοντας τὸ ἔλεός του· καὶ αὐτὸς θὰ κάνει περισσότερα ἀπὸ ὅσα ζητοῦμε ἢ σκεπτόμαστε.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

485

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν ἀββᾶ τοῦ κοινοβίου στὸ ὁποῖο ἦταν οἱ ἅγιοι γέροντες, νὰ τοῦ δώσει κοντινὸ κελλί· καὶ συμφώνησε νὰ τοῦ δώσει· ἐπισκέφθηκε ὅμως κάποιον μοναχό, καὶ ἐκεῖνος τὸν παρακάλεσε νὰ κατοικήσει σὲ ἕνα διπλανό του κελλί. Ὁ ἀδελφὸς τότε ἀποκρίθηκε ὅτι δὲ μπορεῖ νὰ τὸ κάνει αὐτὸ χωρὶς τὴ γνώμη τῶν γερόντων καὶ τοῦ ἀββᾶ ποὺ συμφώνησε νὰ τοῦ δώσει τὸ κελλί. Ἦλθε λοιπὸν καὶ ἐρώτησε τὸν ἄλλο γέροντα, τί πρέπει νὰ κάνει.

49α. Ἰω. 10,11·15. 15,13.

Ἀπόκρισις Ἰωάννου.

Ἀδελφέ, ὁ Κύριος ἡμῶν ἐνετείλατο ἔχειν ἀλλήλους ὑπερέχοντας ἑαυτῶν. Ἐὰν οὖν διὰ τὴν ἀγάπην ἣν πρὸς σὲ ἔχομεν κατὰ Θεόν, εἴπωμέν σοι ὅτι 'παρ' ἡμῖν οἴκησον', ἔργῳ δεικνύομεν ἑαυτοὺς ὑπερέχοντας τοῦ ἀδελφοῦ. Ἐὰν δὲ πάλιν εἴπωμέν σοι, ὅτι 'παρ' ἐκείνῳ μένε', τάχα λογίζεται ἡ ἀγάπη σου, ὅτι ὠθοῦμεν σε ἀφ' ἡμῶν, ὡς μὴ ἔχοντες ἀγάπην πρὸς σέ. Ἀλλὰ σὺ δοκίμασον τὰς γειτονίας τῶν τόπων καὶ τὴν ὠφέλειαν τῆς ψυχῆς σου ἐξ αὐτῶν, καὶ κέχρησο τῷ λόγῳ τοῦ Ἀποστόλου λέγοντος· «πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε».

Ταῦτα ἀπὸ τῆς κατὰ Θεὸν ἀγάπης ἐλάλησα. Συγχώρησόν μοι, ἀδελφέ μου, διὰ τὸν Κύριον.

ΥΠΣΤ'

Ἐρώτησις πρὸς τὸν μέγαν.

Μοναχός τις οἰκῶν ἐν ἀλλοτρίῳ κελλίῳ, ᾠκοδόμησεν ἑαυτῷ πλησίον κελλίον· καὶ παρέβαλεν αὐτῷ τις ἀδελφὸς χρήζων κελλίου, καὶ προετρέψατο αὐτὸν ἐκεῖνος οἰκῆσαι ἐν τῷ κτισθέντι αὐτοῦ κελλίῳ· ὁ δὲ ἐπεζήτει δωρηθῆναι αὐτῷ τοῦτο δι' ἐγγράφου. Καὶ συνετάξατο δωρεῖσθαι, εἰ ἐπιτρέψουσι τοῦτο οἱ γέροντες, ἐπὶ τῷ μέντοι ἀντλεῖν καθ' ἑβδομάδα ἐκ τοῦ ἐν αὐτῷ κεράμια δύο ὕδατος. Καὶ ἠρώτησαν τὸν μέγαν Γέροντα περὶ τούτου.

Ἀπόκρισις Βαρσανουφίου.

Τοῦτο μοναχῶν οὐκ ἔστι· εἰ γὰρ ἔγγραφον θέλετε παρ' ἀλλήλων καὶ εἰς δίκας μέλλετε ἔρχεσθαι, τὸ ἔργον τοῦτο οὐκ ἔστιν ἀγάπης· ἀλλὰ μᾶλλον ἀγράφως διαγάγει ὁ ἀδελφὸς ἐν τῷ κελλίῳ· κἂν θελήσῃ ὁ κύριος τοῦ κελλίου καιρῷ ἐκβαλεῖν αὐτόν, μετὰ ταπεινώσεως ὀφείλει ἐξελθεῖν, μηδὲν

Ἀπόκριση Ἰωάννη.

Ἀδελφέ, ὁ Κύριος μᾶς ἔδωσε ἐντολὴ νὰ θεωροῦμε ὁ ἕνας τὸν ἄλλο ἀνώτερο ἀπὸ τὸν ἑαυτό μας. Ἐὰν λοιπὸν σοῦ ποῦμε ἐξαιτίας τῆς ἀγάπης τὴν ὁποία σοῦ ἔχουμε κατὰ Θεό, 'μεῖνε κοντά μας', δείχνουμε ἔμπρακτα τοὺς ἑαυτούς μας νὰ ὑπερέχουν τοῦ ἀδελφοῦ. Ἐὰν πάλι σοῦ ποῦμε, 'μεῖνε κοντὰ σ' ἐκεῖνον', θὰ νομίζει ἴσως ἡ ἀγάπη σου ὅτι σὲ ἀπωθοῦμε ἀπὸ κοντά μας, σὰν νὰ μὴ σὲ ἀγαπᾶμε. Ἐξέτασε λοιπὸν ἐσὺ μόνος σου τὴ γειτονιὰ τῶν τόπων καὶ τὴν ὠφέλεια τῆς ψυχῆς σου ἀπὸ αὐτὲς καὶ χρησιμοποίησε τὸν λόγο τοῦ Ἀποστόλου ποὺ λέγει· «ἐξετάζοντάς τα ὅλα, νὰ κρατᾶτε τὸ καλό»[50].

Αὐτὰ τὰ εἶπα ἀπὸ τὴν κατὰ Θεὸν ἀγάπη. Ἀδελφέ μου, συγχώρεσέ με γιὰ τὸν Κύριο.

486

Ἐρώτηση πρὸς τὸν μεγάλο Γέροντα.

Κάποιος μοναχὸς ποὺ κατοικοῦσε σὲ ξένο κελλί, οἰκοδόμησε ἐκεῖ κοντὰ δικό του κελλὶ καὶ τὸν ἐπισκέφθηκε ἕνας ἀδελφὸς ποὺ χρειαζόταν κελλὶ καὶ τὸν προέτρεψε νὰ κατοικήσει ἐκεῖνος τὸ κελλὶ ποὺ χτίστηκε ἀπὸ αὐτόν· καὶ αὐτὸς ζητοῦσε νὰ τοῦ δωρηθεῖ μὲ ἔγγραφο. Καὶ συμφώνησε νὰ τοῦ δωρηθεῖ, ἐὰν τὸ ἐπιτρέψουν οἱ γέροντες, μὲ τὸν ὅρο νὰ ἀντλεῖ κάθε ἑβδομάδα μέσα ἀπὸ αὐτὸ δύο στάμνες νερό. Καὶ ἐρώτησαν τὸν μεγάλο Γέροντα γι' αὐτό.

Ἀπόκριση Βαρσανουφίου.

Αὐτὸ δὲν εἶναι γνώρισμα τῶν μοναχῶν· διότι, ἐὰν θέλετε ἔγγραφο ὁ ἕνας ἀπὸ τὸν ἄλλο, καὶ ἐὰν πρόκειται νὰ ἔρθετε σὲ δίκες, αὐτὸ δὲν εἶναι ἔργο ἀγάπης. Ἀλλὰ μᾶλλον ἔτσι ἀγράφως πρέπει νὰ μείνει ὁ ἀδελφὸς στὸ κελλὶ καὶ ἂν θελήσει ὁ κύριος τοῦ κελλιοῦ μὲ τὸν καιρὸ νὰ τὸν βγάλει, πρέ-

50. Α' Θεσ.. 5,21.

ὅλως ἀντιλέγων. Ἐὰν δὲ καὶ αὐτὸς ὁ κύριος τοῦ κελλίου ἀπέλθῃ, θέλων γεμίσαι τὰ δύο κεράμια τοῦ ὕδατος καὶ μὴ παράσχῃ αὐτῷ ἐκεῖνος ὁ μένων ἐν τῷ κελλίῳ, οὐδὲ αὐτὸς ὀφείλει ταραχθῆναι, ἀλλὰ λαβεῖν τὸ κεράμιον κοῦφον καὶ ἀπελθεῖν, λέγων αὐτῷ· 'συγχώρησόν μοι διὰ τὸν Κύριον, ἀδελφέ, ὅτι ἔθλιψά σε, καὶ εὖξαι ὑπὲρ ἐμοῦ'. Ὀφείλει δὲ προσέχειν ἑαυτῷ, ἵνα μετὰ ταῦτα μὴ ταραχθῇ ἀπὸ τῆς ὀργῆς· καὶ διὰ τὴν ταπείνωσιν αὐτοῦ σκεπάζει ὁ Θεὸς καὶ τὸν ἀδελφον αὐτοῦ ἀπὸ τῆς ἔχθρας τοῦ διαβόλου καὶ κατανύσσεται δραμεῖν ὀπίσω αὐτοῦ καὶ βαλεῖν αὐτῷ μετάνοιαν, ὥστε ἀνακάμψαι καὶ γεμίσαι, ἢ καὶ βαστάσαι μετ' αὐτοῦ τὸ κεράμιον. Καὶ τότε ἡ ἀγάπη τοῦ Θεοῦ σκεπάζει ἀμφοτέρους καὶ σώζει αὐτοὺς ὁ φιλάνθρωπος Θεός.

ΥΠΖ'

Ἐρώτησις

Τί οὖν ὅτε χρῄζει φιλοκαλίας τὸ κελλίον; ἆρα ὀφείλει ἀναλίσκειν ὁ μένων ἐν αὐτῷ, ἐπειδὴ οὐκ ἔστιν αὐτοῦ, ἀλλὰ προσδοκᾷ ὅτε δήποτε ἐξελθεῖν ἀπ' αὐτοῦ;

Ἀπόκρισις

Εἴ τις ἔχει ἐν ἑαυτῷ ὅτι πάντα ὅσα ἔχει τοῦ Θεοῦ ἐστι, καὶ τῶν πιστῶν ὅλων κοινά, καὶ ἴδιον οὐδεὶς ἔχει τι, οὐκ ὀφείλει ταῦτα λογίσασθαι· σαρκικοῦ γὰρ λογισμοῦ ἐστι ταῦτα. Καὶ γὰρ κἂν φθάσῃ ἀναλώσας καὶ μὴ μείνῃ ἐκεῖ, ἄλλος ἀδελφὸς εὑρίσκων τὴν ἀνάπαυσιν, ἀεὶ εὐλογεῖ τὸν ἀναλώσαντα καὶ κοπιάσαντα ἐν τῷ τόπῳ. Καὶ εἰ εἴχομεν ἀληθινὸν τὸν λέγοντα, «ἐν ᾧ μέτρῳ μετρεῖς ἀντιμετρηθήσεταί σοι», καὶ

πει νὰ φύγει μὲ ταπείνωση, χωρὶς νὰ πεῖ ἀπολύτως τίποτε. Ἐὰν ὅμως πάει καὶ αὐτὸς ὁ κύριος τοῦ κελλιοῦ, θέλοντας νὰ γεμίσει τὶς δύο στάμνες τοῦ νεροῦ καὶ δὲν τοῦ τὸ ἐπιτρέψει ἐκεῖνος ποὺ μένει στὸ κελλί, οὔτε αὐτὸς πρέπει νὰ ταραχθεῖ, ἀλλὰ νὰ βάλει μὲ ταπείνωση μετάνοια καὶ νὰ πάρει ἄδεια τὴ στάμνα καὶ νὰ ἀπομακρυνθεῖ λέγοντάς του· 'συγχώρεσέ με γιὰ τὸν Κύριο, ἀδελφέ, διότι σὲ στενοχώρησα, καὶ προσευχήσου γιὰ μένα'. Ὀφείλει ὅμως νὰ προσέχει τὸν ἑαυτό του, γιὰ νὰ μὴ ταραχθεῖ μετὰ ἀπὸ αὐτὰ ἀπὸ τὴν ὀργή· καὶ ἐξαιτίας τῆς ταπεινώσεώς του θὰ προστατεύσει ὁ Θεὸς καὶ τὸν ἀδελφό του ἀπὸ τὴν ἔχθρα τοῦ διαβόλου, ποὺ ἀποκτώντας κατάνυξη θὰ τρέξει πίσω του καὶ θὰ βάλει μετάνοια σ' αὐτόν, ὥστε νὰ ἐπιστρέψει καὶ νὰ γεμίσει ἢ καὶ νὰ βαστάξει μαζί του τὴ στάμνα. Καὶ τότε ἡ ἀγάπη τοῦ Θεοῦ σκεπάζει καὶ τοὺς δύο καὶ τοὺς σώζει ὁ φιλάνθρωπος Θεός.

487

Ἐρώτηση

Τί πρέπει νὰ γίνει ὅταν χρειάζεται περιποίηση τὸ κελλί; Ἄραγε ὀφείλει νὰ ξοδεύει αὐτὸς ποὺ μένει σ' αὐτό, ἂν δὲν εἶναι δικό του, ἀλλὰ περιμένει κάποτε νὰ φύγει ἀπὸ αὐτό;

Ἀπόκριση

Ἐὰν κανεὶς ἔχει ὑπόψη του ὅτι ὅλα ὅσα ἔχει εἶναι τοῦ Θεοῦ, καὶ κοινὰ ὅλων τῶν πιστῶν, καὶ ὅτι τίποτε δὲν ἔχει κανεὶς δικό του, δὲν πρέπει νὰ τὰ σκέπτεται αὐτά· καθόσον αὐτὰ εἶναι τοῦ σαρκικοῦ λογισμοῦ. Διότι, καὶ ἂν προλάβει νὰ ξοδέψει καὶ δὲν μείνει ἐκεῖ, ἄλλος ἀδελφὸς βρίσκοντας ἀνάπαυση στὸ κελλὶ πάντα θὰ εὐλογεῖ αὐτὸν ποὺ ξόδεψε καὶ κοπίασε στὸν τόπο. Καὶ ἂν εἴχαμε ἀληθινὴ πίστη σ' Ἐκεῖνον ποὺ λέγει, «μὲ ὅποιο μέτρο μετρᾶς, μ' αὐτὸ θὰ ἀντιμετρη-

ὅτι, «ἀνταποδίδως ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ», καὶ πάλιν, «δώῃ σοι κατὰ τὴν καρδίαν σου», οὐκ ἀφήκαμεν αὐτὸν ἀπελαθῆναι ἀκαίρως, ἀλλ' ἀεὶ βοᾶν πρὸς αὐτόν, «οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω».

ΥΠΗ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα.

Συγχώρησόν μοι, κύριε πάτερ, ὅτι τολμῶ λαλῆσαι· ἐπειδὴ βλέπω τὸν κύριον τὸν ἀββᾶν ὡς ἀγαπῶντά τινα ὑπὲρ τοὺς ἄλλους, καὶ θλίβει με ὁ λογισμὸς λέγων, ὅτι 'ἀνθρωπαρεσκεῖ'· εἴ τι γὰρ θέλουσί τινες, δίδωσιν αὐτοῖς, ἐμοὶ δὲ οὐ δίδωσιν· ἅπαξ γὰρ ᾔτησα μίαν θυρίδα καὶ οὐκ ἐποίησε· καὶ πάλιν μικρὸν ἄσβεστον καὶ οὐκ ἔδωκεν, ἄλλοις δὲ δίδωσιν. Ἆρα πῶς ποιεῖ ταῦτα; καὶ τί ἀποκριθῶ τῷ λογισμῷ;

Ἀπόκρισις *Βαρσανουφίου.*

Αδελφέ, ὑπομονῆς χρεία· καὶ γὰρ ὁ Κύριος εἶπε, «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν», καὶ ὁ Ἀπόστολος, «ὑπομονῆς γὰρ χρείαν ἔχετε» καὶ τὰ λοιπά. Εἰ ἤθελεν ὁ Θεὸς δοκιμάσαι, εἰ ὑπομένεις τί ποτε, σὺ εὑρεθῇς μὴ ἔχων ὑπομονήν. Πόσα ἔτη ἔχετε οὕτω τὰ κελλία καὶ οὐδὲν εἴπατε, καὶ ἐν τῷ ἰδεῖν ἄλλους ποιοῦντας τί ποτε, τότε εὐθέως καίεσθαι ὡς ἀπὸ πυρός; Διατί οὐκ εἶπας τῷ λογισμῷ, 'ὅλον τὸν καιρὸν ἔμεινα, καὶ ἐπὶ ὀλίγας ἡμέρας οὐχ ὑπομείνω;' ἐὰν εἴπῃ σοι ὁ λογισμός, 'καὶ πῶς ἄλλοις ἐποίησεν;' εἰπέ, 'ὅτι αὐτοὶ ἅγιοί εἰσιν, ἐγὼ δὲ ἀνάξιος, ἄξιος δὲ πάσης θλίψεως'.

51. Ματθ. 7,3.
52. Ρωμ. 2,6.
53. Ψαλμ. 19,5.

θεῖς»[51], καὶ «νὰ ἀνταποδίδεις στὸν καθένα ἀνάλογα μὲ τὰ ἔργα του»[52], καὶ πάλι, «εἴθε νὰ σοῦ δώσει κατὰ τὴν καρδιά σου»[53], δὲν θὰ τὸν ἀφήναμε ν' ἀπομακρυνθεῖ ἀκαίρως, ἀλλὰ πάντα θὰ τὸν φωνάζαμε, «οὔτε θὰ σὲ στενοχωρήσω, οὔτε θὰ σὲ ἐγκαταλείψω»[54].

488

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα.

Συγχώρεσέ με, κύριε πάτερ, διότι τολμῶ νὰ μιλήσω, ἐπειδὴ βλέπω τὸν κύριο ἀββᾶ νὰ ἀγαπᾶ κάποιον περισσότερο ἀπὸ τοὺς ἄλλους καὶ μὲ στενοχωρεῖ ὁ λογισμὸς λέγοντας, ὅτι ἀνθρωπαρεσκεῖ· διότι, ἐὰν θέλουν μερικοὶ κάτι, τοὺς δίνει, ἐμένα ὅμως δὲν μοῦ δίνει· μία φορὰ μάλιστα ζήτησα μία θυρίδα καὶ δὲν μοῦ τὴν ἔκανε, καὶ μιὰ ἄλλη λίγη ἀσβέστη καὶ δὲν μοῦ ἔδωσε, ἐνῶ στοὺς ἄλλους δίνει. Ἄραγε πῶς τὰ κάνει αὐτά; καὶ τί νὰ ἀποκριθῶ στὸ λογισμό;

Ἀπόκριση Βαρσανουφίου.

Ἀδελφέ, χρειάζεται ὑπομονή, διότι καὶ ὁ Κύριος εἶπε, «μὲ τὴν ὑπομονή σας θ' ἀποκτήσετε τὶς ψυχές σας»[55], καὶ ὁ Ἀπόστολος, «διότι ἔχετε ἀνάγκη ὑπομονῆς»[56] καὶ τὰ λοιπά. Ἐὰν ἤθελε ὁ Θεὸς νὰ σὲ δοκιμάσει, ἐὰν ὑπομένεις κάτι, ἐσὺ θὰ βρεθεῖς νὰ μὴ ἔχεις ὑπομονή. Πόσα χρόνια ἔχετε ἔτσι τὰ κελλιὰ καὶ δὲν εἴπατε τίποτε, καὶ βλέποντας ἄλλους νὰ κάνουν κάτι, τότε ἀμέσως καίγεσθε σὰν ἀπὸ φωτιά; Γιατί δὲν εἶπες στὸ λογισμό, 'ὅλον τὸν καιρὸ ὑπέμεινα καὶ δὲ θὰ ὑπομείνω γιὰ λίγες μέρες;' Ἐὰν σοῦ πεῖ ὁ λογισμός, 'καὶ πῶς ἔκανε στοὺς ἄλλους;' ἐσὺ πές του, 'διότι αὐτοὶ εἶναι ἅγιοι, ἐνῶ ἐγὼ ἀνάξιος καὶ ἄξιος κάθε θλίψεως'.

---

54. Ἑβρ. 13,5. 55. Λουκᾶ 21,19. 56. Ἑβρ. 10,36

Ἐὰν ἔχῃς τὸν Ἀββᾶν σου ἀνθρωπάρεσκον, μὴ ὄντα οὕτως, σὺ ἀπόλλεις τὴν ψυχήν σου· εἰ δὲ ἀληθῶς ἐστιν ἀνθρωπάρεσκος, σὺ ἀπολογίαν οὐ δίδως ὑπὲρ αὐτοῦ, ἀλλ' αὐτὸς ὑπὲρ σοῦ. Ὀφείλει δὲ ὁ ζητῶν πρᾶγμα, δοκιμάσαι τὸν καιρὸν καὶ τὰ ἐπιτήδεια καὶ τὴν σχολήν, καὶ τότε μανθάνει, διὰ τί οὐ γίνεται ὃ θέλει. Ἐὰν δὲ μὴ εὕρῃ, οὐκ ὀφείλει τινὰ μέμψασθαι ἀλλ' ἑαυτόν, λέγων, 'ἐγώ εἰμι ὁ ἀνάξιος'· καὶ εὑρίσκεις ἔξοδον τῷ λογισμῷ, ἀδελφέ.

Αὕτη ἐστὶν ἡ ὁδὸς τῶν θελόντων σωθῆναι καὶ ζῆσαι κατὰ Θεόν.

ΥΠΘ'

Τίς ποτε τῶν πατέρων γέρων, ᾤκησεν ἐν τῷ κοινοβίῳ, ἐν ᾧ ἦσαν οἱ ἅγιοι γέροντες· καὶ ἐρωτώμενος παρὰ τοῦ ὑπηρετοῦντος αὐτῷ, 'τί θέλεις ποιήσω σοι φαγεῖν', ἔλεγεν αὐτῷ μετ' ὀργῆς· 'εἴτε θέλεις ποίησον'· καὶ ἐθλίβετο ὁ ἀδελφός, μὴ εἰδὼς τί ποιήσῃ. Καὶ ἠρωτήθη ὁ αὐτὸς μέγας Γέρων, εἰ ἄρα καλῶς ποιεῖ οὕτω λέγων ἢ οὔ.

Καὶ ἀπεκρίθη.

Ἐμοὶ μὲν οὐκ ἔξεστι κατακρίναι τινά· ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάζει. Ἀλλ' ὡς φαίνεταί μοι ἡ τοιαύτη ἀπόκρισις θλῖψιν παρέχει τῷ πλησίον, κἂν κατὰ ἄσκησιν αὐτὸ ποιῇ· ἀλλ' ὀφείλει λέγειν τῷ ἀδελφῷ μετὰ ταπεινώσεως, ὅτι 'τόδε τὸ πρᾶγμα δέχεται ἡ ἕξις μου ἄρτι'· κἂν σαπρῶς αὐτὸ ποιήσῃ ὁ ἀδελφός, ὀφείλει εὐχαριστεῖν, κἂν κακῶς αὐτῷ ὑπηρετῇ· ἐὰν γὰρ ποιοῦντος τοῦ ἀδελφοῦ τὸ πρᾶγμα, εἴτε καλῶς εἴτε σαπρῶς, ἐκεῖνος εἰς ὀργὴν κινεῖται, χεῖρον πάντων τῶν παθῶν ἐστι τοῦτο. Ὁ τοιοῦτος γὰρ ἀλόγως ὀργίζεται, καὶ αὕτη οὐκ ἔστι γνῶσις Θεοῦ, ἀλλὰ μᾶλλον ἐνέργεια διαβολική· ὅμως ὁ ὑπηρετῶν ὀφείλει μακροθυμεῖν· ὅς τις γὰρ βαστάζει τὸν

Ἐὰν θεωρεῖς τὸν ἀββᾶ σου ἀνθρωπάρεσκο, ἐνῶ δὲν εἶναι ἔτσι, ἐσὺ χάνεις τὴν ψυχή σου· ἐὰν ὅμως ἀληθινὰ εἶναι ἀνθρωπάρεσκος, ἐσὺ δὲν θὰ δώσεις ἀπολογία γι' αὐτόν, ἀλλὰ αὐτὸς γιὰ σένα. Ὀφείλει αὐτὸς ποὺ ζητᾶ κάτι, νὰ ἐξετάσει τὸν καιρὸ καὶ τὰ ἐπιτήδεια καὶ τὴ φροντίδα, καὶ τότε μαθαίνει, γιατί δὲ γίνεται αὐτὸ ποὺ θέλει. Ἐὰν ὅμως δὲν βρεῖ, δὲν πρέπει νὰ κατηγορήσει κάποιον, ἀλλὰ τὸν ἑαυτό του, λέγοντας, 'ἐγὼ εἶμαι ὁ ἀνάξιος'· καὶ θὰ βρεῖς ἔξοδο στὸ λογισμό, ἀδελφέ.

Αὐτὴ εἶναι ἡ ὁδὸς αὐτῶν ποὺ θέλουν νὰ σωθοῦν καὶ νὰ ζήσουν κατὰ Θεό.

489

Κάποτε κάποιος γέροντας ἀπὸ τοὺς πατέρες κατοίκησε σὲ κοινόβιο, στὸ ὁποῖο ἦταν οἱ ἅγιοι γέροντες· καὶ ὅταν ἐρωτοῦσε ἐκεῖνος ποὺ τὸν ὑπηρετοῦσε, 'τί θέλεις νὰ σοῦ κάνω νὰ φάγεις', τοῦ ἔλεγε μὲ ὀργή, 'ἂν θέλεις κάνε κάτι'· καὶ στενοχωριόταν ὁ ἀδελφός, ἐπειδὴ δὲν ἤξερε τί νὰ κάνει. Καὶ ἐρωτήθηκε ὁ ἴδιος μεγάλος Γέροντας, ἂν ἄραγε κάνει καλὰ νὰ λέγει ἔτσι ἢ ὄχι.

Καὶ ἀποκρίθηκε.

Σὲ μένα δὲν εἶναι δυνατὸ νὰ κατακρίνω κάποιον· διότι ὁ καθένας βαστάζει τὸ δικό του φορτίο. Ἀλλά, ὅπως μοῦ φαίνεται, αὐτὴ ἡ ἀπόκριση παρέχει θλίψη στὸν πλησίον, ἀκόμα καὶ ἂν τὸ κάνει αὐτὸ πρὸς ἄσκηση. Πρέπει λοιπὸν νὰ λέγει στὸν ἀδελφὸ μὲ ταπένωση, ὅτι 'αὐτὸ τὸ πρᾶγμα δέχεται τώρα ἡ διάθεσή μου', κι ἂν ἀκόμα ὁ ἀδελφὸς τοῦ τὸ κάνει ἄσχημα· καὶ ὀφείλει νὰ τὸν εὐχαριστεῖ, κι ἂν ἀκόμα τὸν ὑπηρετεῖ ἄσχημα. Ἐάν, ὅταν κάνει ὁ ἀδελφὸς τὸ πρᾶγμα, εἴτε καλὰ εἴτε ἄσχημα, ἐκεῖνος κινεῖται σὲ ὀργή, αὐτὸ εἶναι τὸ χειρότερο ἀπὸ ὅλα τὰ πάθη. Διότι αὐτὸς ὀργίζεται χωρὶς λόγο, καὶ αὐτὴ δὲν εἶναι γνώση Θεοῦ, ἀλλὰ μᾶλλον διαβολικὴ ἐνέργεια. Ὅμως αὐτὸς ποὺ ὑπηρετεῖ ὀφείλει νὰ μακροθυμεῖ· διότι σὲ

ἀδελφὸν αὐτοῦ κατὰ φόβον Θεοῦ, ἐπ' αὐτὸν ἀναπαύεται τὸ Πνεῦμα τοῦ Θεοῦ.

Υζ'

Ὁ αὐτὸς τιμώμενος καὶ κατὰ φόβον Θεοῦ θεραπευόμενος ὑπὸ τοῦ ἀββᾶ καὶ τῆς ἀδελφότητος τοῦ κοινοβίου, οὐκ ῃσθάνετο τῆς θεραπείας· ἀλλ' ὡς μᾶλλον θλιβόμενος καὶ μὴ δεόντως ὑπηρετούμενος, λάθρα ἀνεχώρησεν· αὐτοὶ δὲ γνόντες μετὰ ταῦτα ποῦ διάγει, ἠβουλήθησαν ἀπελθεῖν καὶ παρακαλέσαι αὐτὸν ὑποστρέψαι πρὸς αὐτούς· ἤκουσαν γὰρ ὅτι θλίβεται· καὶ ἠρώτησαν τὸν αὐτὸν μέγαν Γέροντα, εἰπόντες καὶ τὸ τοῦ Ἀποστόλου, «μήποπτε τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος».

Ἀπόκρισις

Ὁ Ἀπόστολος ἐπεὶ παρέδωκεν ἐκεῖνον τῷ σατανᾷ, εἶπε τοῦτο· χώραν εἶχεν ἐκεῖνος τοῦ λυπηθῆναι, ὡς ὑπὸ τοῦ Ἀποστόλου ἀφορισθείς. Διὰ τοῦτο βλέπων αὐτὸν μετανοοῦντα, εἶπε κυρωθῆναι εἰς αὐτὸν ἀγάπην. Εἰ οὖν οἴδατε ὅτι ὑμεῖς ἐδιώξατε αὐτόν, χρὴ ἀπελθόντας βαλεῖν μετάνοιαν, ἵνα ἔλθῃ· εἰ δὲ ἰδίῳ θελήματι ἀπῆλθε, κἂν ἀπέλθητε ἐπ' αὐτὸν ὑμεῖς διὰ τὸν Θεόν, τὸ δικαίωμα αὐτοῦ ἔρχεται ἐπ' αὐτόν· μέλλει γὰρ διακεῖσθαι ὅτι εἰς τὴν θλῖψιν πάλιν ἐπανέρχεται. Καὶ εἰ συμβῇ αὐτῷ οἱαδήποτε ἀφορμή, ἀεὶ λέγει, 'ἔξω ἤμην καὶ ἠνάγκασάν με εἰσελθεῖν'.

Ἀλλ' ἄφετε αὐτὸν συντριβῆναι μικρὸν ὑπὸ τῶν λογισμῶν, μεταμελούμενον ὅτι ἐξῆλθε· κἂν γὰρ θλίβηται τῷ σώματι, ἀλλ' ὠφελεῖται τῷ πνεύματι· περιαιρεῖται γὰρ αὐτοῦ ἡ ἔπαρσις καὶ τὸ δικαίωμα, ἐν τῷ βλέπειν ἑαυτὸν ἐν θλίψεσι πολλαῖς, καὶ τότε μνημονεύει τῆς ἀναπαύσεως τοῦ κοινοβίου· καὶ μετὰ ταπεινώσεως ἀναλύει, ἀναλαμβάνων ἀντὶ τῆς ἀχαριστίας τὴν εὐχαριστίαν.

ὅποιον βαστάζει τὸν ἀδελφό του κατὰ φόβο Θεοῦ, σ' αὐτὸν ἀναπαύεται τὸ Πνεῦμα τοῦ Θεοῦ.

490

Ὁ ἴδιος τιμώμενος καὶ ὑπηρετούμενος κατὰ φόβο Θεοῦ ἀπὸ τὸν ἀββᾶ καὶ τὴν ἀδελφότητα τοῦ κοινοβίου, δὲν αἰσθανόταν τὴν ὑπηρεσία· ἀλλὰ θλιβόμενος μᾶλλον, διότι τάχα δὲν ὑπηρετοῦνταν ὅπως ἔπρεπε, ἀναχώρησε κρυφά. Αὐτοὶ ὅταν ἀργότερα ἔμαθαν ποῦ ζεῖ, θέλησαν νὰ μεταβοῦν καὶ νὰ τὸν παρακαλέσουν νὰ ἐπιστρέψει σ' αὐτούς· διότι ἄκουσαν ὅτι στενοχωριέται. Καὶ ἐρώτησαν τὸν ἴδιο μεγάλο Γέροντα, ἀφοῦ εἶπαν καὶ τὸν λόγο τοῦ Ἀποστόλου, «μήπως αὐτὸς καταποθεῖ ἀπὸ τὴν ὑπερβολικὴ λύπη»[57].

Ἀπόκριση

Ὁ Ἀπόστολος τὸ εἶπε αὐτό, ὅταν παρέδωσε ἐκεῖνον στὸ σατανᾶ· ἐκεῖνος εἶχε λόγο νὰ λυπηθεῖ, διότι ἀφορίσθηκε ἀπὸ τὸν Ἀπόστολο. Γι' αὐτό, ὅταν τὸν εἶδε νὰ μετανοεῖ, εἶπε ν' ἀποδοθεῖ σ' αὐτὸν ἡ ἀγάπη. Ἐὰν λοιπὸν γνωρίζετε ὅτι ἐσεῖς τὸν διώξατε, πρέπει νὰ πᾶτε νὰ κάνετε μετάνοια γιὰ νὰ ἔρθει. Ἐὰν ὅμως ἔφυγε ἀπὸ δικό του θέλημα, κι ἂν ἀκόμα μεταβεῖτε ἐσεῖς σ' αὐτὸν στὸ ὄνομα τοῦ Θεοῦ, τὸ δικαίωμά του πέφτει σ' αὐτόν· διότι θὰ πιστεύει ὅτι ἐπανέρχεται πάλι στὴ θλίψη. Καὶ ἂν τοῦ συμβεῖ ὁποιαδήποτε ἀφορμή, πάντοτε θὰ λέγει, 'ἤμουν ἔξω καὶ μὲ ἀνάγκασαν νὰ εἰσέλθω'.

Ἀφῆστε τον λοιπὸν νὰ συντριβεῖ λίγο ἀπὸ τοὺς λογισμούς, καὶ νὰ μετανοιώσει ποὺ ἐξῆλθε· διότι, καὶ ἂν ἀκόμα θλίβεται στὸ σῶμα, ὅμως ὠφελεῖται στὸ πνεῦμα· ἀφαιρεῖται ἡ ἔπαρσή του καὶ τὸ δικαίωμα μὲ τὸ νὰ βλέπει τὸν ἑαυτό του σὲ πολλὲς θλίψεις, καὶ τότε, ἐνθυμούμενος τὴν ἀνάπαυση τοῦ κοινοβίου, μὲ ταπείνωση θὰ ἐπιστρέψει, ἐκφράζοντας τὴν εὐχαριστία ἀντὶ τῆς ἀχαριστίας.

57. Β' Κορ. 2,7.

ΥϟΑ'

Ἐρώτησις

Τί οὖν, ὅτε μεταμελεῖται μέν, αἰσχύνεται δὲ ἐπαναλῦσαι;

Ἀπόκρισις

Εὰν μεταμεληθῇ καὶ βαστάσῃ τὴν ἑαυτοῦ μέμψιν λέγων, 'ὅτι ἐγὼ αἴτιός εἰμι ἐν πᾶσι', τότε ὁ Θεὸς ὁ εἰπὼν διὰ τοῦ προφήτου, «εἰπὲ πρῶτος τὰς ἀνομίας σου ἵνα δικαιωθῇς», βλέπει, ὅτι κατεπραΰνθη αὐτοῦ ἡ καρδία, καὶ ὁδηγεῖ αὐτὸν ἐν τῷ φόβῳ αὐτοῦ πρὸς τὸ συμφέρον αὐτοῦ· φησὶ γάρ, «ὁδηγήσει πρᾳεῖς ἐν κρίσει, διδάξει πρᾳεῖς ὁδοὺς αὐτοῦ». Καὶ εἰ ἐν τῷ τόπῳ αὐτοῦ τῷ πρώτῳ ὠφελεῖται πλέον, πληροφορεῖ τὴν καρδίαν αὐτοῦ μετὰ ταπεινώσεως ἐκεῖ ἐπαναλῦσαι.

ΥϟΒ'

Ἐρώτησις

Ἀδελφὸς στρατευόμενος ἐν τῷ κόσμῳ ἀπετάξατο εἰς τὸ κοινόβιον· καὶ ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα εἰ δύναται μετανοῆσαι.

Ἀπόκρισις Βαρσανουφίου.

Αδελφέ, ὁ Θεὸς οὐκ ἀποβάλλεταί τινα, ἀλλὰ πάντας καλεῖ εἰς μετάνοιαν· ὀφείλει οὖν ὁ προσερχόμενος αὐτῷ ἐξ ὅλης καρδίας προσελθεῖν καὶ σπείρει ἐπ' ἐλπίδι τοῦ θερίζειν καὶ προσδοκᾶν πειρασμὸν ἕως ὑστέρας ἀναπνοῆς.

491

Ἐρώτηση

Τί λοιπὸν πρέπει νὰ γίνει, ἂν μεταμελεῖται βέβαια, ντρέπεται ὅμως νὰ γυρίσει;

Ἀπόκριση

Ἐὰν μεταμεληθεῖ καὶ βαστάξει τὴν κατηγορία του λέγοντας, 'ἐγὼ εἶμαι αἴτιος γιὰ ὅλα', τότε ὁ Θεὸς ποὺ εἶπε μὲ τὸν προφήτη, «πὲς πρῶτος τὶς ἀνομίες σου γιὰ νὰ δικαιωθεῖς»[58], βλέπει ὅτι καταπραΰνθηκε ἡ καρδιά του καὶ τὸν ὁδηγεῖ μὲ τὸν φόβο του πρὸς τὸ συμφέρον του. Διότι λέγει, «θὰ ὁδηγήσει τοὺς πράους μὲ κρίση, θὰ διδάξει στοὺς πράους τοὺς δρόμους του»[59]. Καὶ ἂν ὠφελεῖται περισσότερο στὸν πρῶτο τόπο, θὰ πληροφορήσει τὴν καρδιά του νὰ γυρίσει μὲ ταπείνωση ἐκεῖ.

492

Ἐρώτηση

Ἀδελφὸς ποὺ ἦταν στρατευμένος στὰ κοσμικά, τὰ ἀπαρνήθηκε καὶ πῆγε στὸ κοινόβιο· καὶ ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα, ἂν μπορεῖ νὰ μετανοήσει.

Ἀπόκριση Βαρσανουφίου.

Ἀδελφέ, ὁ Θεὸς δὲ διώχνει κανένα, ἀλλ' ὅλους τοὺς καλεῖ σὲ μετάνοια· ὀφείλει λοιπὸν αὐτὸς ποὺ προσέρχεται σ' αὐτὸν νὰ προσέλθει μὲ ὅλη τὴν καρδιά του, νὰ σπείρει μὲ τὴν ἐλπίδα ὅτι θὰ θερίσει· καὶ νὰ περιμένει πειρασμὸ μέχρι τὴν τελευταία ἀναπνοή του.

---

58. Ἠσ. 43,26.
59. Ψαλμ. 24,9.

ΥϞΓ'

Ἐρώτησις

Καὶ νῦν ἀντιλαμβάνεται αὐτοῦ ὁ Θεός;

Ἀπόκρισις

Τέκνον, τὸ στάδιον ἤνοικται· καὶ ὁ θέλων σωθῆναι ἀκούει τοῦ Ἰησοῦ βοῶντος πρὸς αὐτὸν καὶ λέγοντος, «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι». Βλέπε τί ἀκούεις· «πρᾷος καὶ ταπεινός», ἵνα ταῦτα μάθωμεν παρ' αὐτοῦ, οὐκ ὀφείλει ἐκλύεσθαι καὶ φοβεῖσθαι ὁ προσερχόμενος Θεῷ· ἐπεὶ οὐδέποτε βάλλει ἀρχὴν εἰς τὴν ὁδὸν αὐτοῦ.

Ὁ Θεὸς γὰρ εἰς τὴν καρδίαν αὐτοῦ προσέχει καὶ τὴν προαίρεσιν διακρίνει· καὶ αὐτὸς οἶδε τὴν ἀσθένειαν τοῦ ἀνθρώπου, ὅτι οὐδὲν ἐφ' ἑαυτοῦ δύναται κατορθῶσαι, ἀλλ' αὐτός ἐστι τὸ πᾶν, καὶ αὐτὸς δίδωσι τῷ ἀξίῳ δύναμιν, τοῦ ποιῆσαι δύναμιν. Ἐπεί, ἐὰν κρατήσῃ τὴν δύναμιν τοῦ ἰσχυροῦ, ποῦ εὑρίσκεται ὁ ταλαίπωρος ἄνθρωπος; καὶ ἐὰν κρατήσῃ τὴν σοφίαν τοῦ σοφοῦ καὶ ἀλλοιώσῃ αὐτοῦ τὴν καρδίαν, εὑρίσκεται ἡ σοφία αὐτοῦ ὡς ἰδώτου καὶ ἄφρονος. Πεποιθότες οὖν προσέλθωμεν αὐτῷ, εἰδότες, ὅτι αὐτός ἐστιν ὁ ἐπιχορηγῶν ἡμῖν δύναμιν εἰς ἀγῶνα.

Σὺ οὖν ἑτοίμασον τὴν ψυχήν σου, οὐ μόνον δέ, ἀλλὰ καὶ εἰς τὸ στεφανωθῆναι. Ὁ Κύριος συνέλθοι σοι τῷ θελήματι αὐτοῦ, εὐχαῖς ἁγίων. Ἀμήν.

ΥϞΔ'

***Δέησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν.*

Ἐπειδὴ οἱ λογισμοί μου φαντάζουσί με τὸν κόσμον, ἐρεθί-

60. Ματθ. 11,28–30.

493

Ἐρώτηση

Καὶ τώρα τὸν βοηθάει ὁ Θεός;

Ἀπόκριση

Τέκνο, τὸ στάδιο ἔχει ἀνοίξει καὶ ὅποιος θέλει νὰ σωθεῖ ἀκούει τὸν Ἰησοῦ ποὺ φωνάζει πρὸς αὐτὸν καὶ λέγει· «ἐλᾶτε σὲ μένα ὅλοι οἱ κουρασμένοι καὶ φορτωμένοι, καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω· καὶ μάθετε ἀπὸ μένα ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς στὴν καρδιά, καὶ θὰ βρεῖτε ἀνάπαυση στὶς ψυχές σας· διότι ὁ ζυγός μου εἶναι χρηστὸς καὶ τὸ φορτίο μου ἐλαφρό»[6] Πρόσεχε τί ἀκοῦς· «εἶναι πρᾶος καὶ ταπεινός», γιὰ νὰ μάθουμε αὐτὰ ἀπὸ αὐτόν, ὅτι ὅποιος προσέρχεται στὸ Θεὸ δὲν πρέπει νὰ παραλύει καὶ νὰ φοβᾶται· διότι ἀλλιῶς ποτὲ δὲ βάζει ἀρχὴ στὸ δρόμο του.

Πράγματι ὁ Θεὸς προσέχει στὴν καρδιά του καὶ διακρίνει τὴν προαίρεση· καὶ ὁ ἴδιος γνωρίζει τὴν ἀσθένεια τοῦ ἀνθρώπου, ὅτι δὲν μπορεῖ νὰ κατορθώσει τίποτα ἀπὸ μόνος του, ἀλλὰ Αὐτὸς εἶναι τὸ πᾶν, καὶ Αὐτὸς δίνει δύναμη στὸν ἄξιο, ὥστε νὰ ἐπιτύχει. Διότι, ἐὰν ὁ Θεὸς κρατήσει τὴ δύναμη τοῦ ἰσχυροῦ, ποῦ καταντᾶ ὁ ταλαίπωρος ἄνθρωπος; καὶ ἂν κρατήσει τὴ σοφία τοῦ σοφοῦ καὶ ἀλλοιώσει τὴν καρδιά του, καταντᾶ ἡ σοφία αὐτοῦ σὰν τοῦ ἀνόητου καὶ ἄφρονα. Ἂς προσέλθουμε λοιπὸν σ' αὐτὸν μὲ πίστη, γνωρίζοντας ὅτι αὐτὸς εἶναι ποὺ μᾶς χορηγεῖ δύναμη στὸν ἀγώνα.

Ἐσὺ λοιπὸν ἑτοίμασε τὴν ψυχή σου, ὄχι μόνο γιὰ τὸν ἀγώνα, ἀλλὰ καὶ γιὰ τὸν στέφανο. Εἴθε ὁ Κύριος νὰ ἔλθει μαζί σου μὲ τὸ θέλημά του, μὲ τὶς εὐχὲς τῶν ἁγίων. Γένοιτο.

494

Δέηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο.

Ἐπειδὴ οἱ λογισμοί μου μὲ κάνουν νὰ φαντάζομαι τὸν κό-

ζοντές με πρὸς αὐτὸν ἐπανελθεῖν, ποίησον ἔλεος μετ᾽ ἐμοῦ, ἵνα σκεπασθῶ διὰ τῶν εὐχῶν ὑμῶν, ἐπειδὴ εἰς αὐτὰς τὰς ἁμαρτίας ἔτι ὤν, ἐδεήθην τοῦ Θεοῦ ὑπὸ τὴν σκέπην ὑμῶν ἀξιωθῆναι.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Τέκνον ἀγαπητόν, ἀνδρίζου ἐν Κυρίῳ· ὁ Θεὸς ἐκάλεσέ σε, μὴ ἐκλυθῇς, ἀλλὰ θάρσει· ἡ ἀρχὴ τῆς κατὰ Θεὸν ἐργασίας πολέμους ἔχει, ἀλλ᾽ ὁ Κύριος συντρίβει αὐτούς. Ἡ τοῦ κόσμου στρατεία σκότος ἐστί, καὶ ἡ κληρονομία αὐτῆς κόλασις αἰωνία· ἡ δὲ τοῦ Θεοῦ φῶς ἐστι, καὶ ἡ κληρονομία αὐτῆς ζωὴ αἰώνιος. Μάλαξον τέως τὰ δύο ψιχία ταῦτα, καὶ τότε ἐπίλεξαι ὃ θέλεις· καὶ ἔρχεται πρός σέ τις μεγαλόφωνος καὶ ἐξυπνίζει σου τὴν καρδίαν τὴν ἀκμὴν ψυχράν· καὶ ποιεῖ σε ὀξυποδεῖν ὡς δεῖ. Μὴ θροηθῇς· ἔστι γὰρ ὁ χειραγωγῶν σε πρὸς τὸν Δεσπότην.

ΥϞΕʹ

Τοῦ αὐτοῦ ὁμοίως.

Ἐπειδὴ ἡ θλῖψις τοῦ νυνὶ κινηθέντος μοι πολέμου ἐξ ἐμοῦ ἐγένετο, ἐλέησόν με, δέσποτα, ἵνα αἱ εὐχαί σου καταργήσωσιν αὐτόν· ἀπωλόμην γὰρ τὸ ἐν ἐμοί, συντυχὼν τοῖς πρὸς ἐμὲ ἐλθοῦσι κατὰ σάρκα μου ἀδελφοῖς. Ἔμεινα γὰρ φανταζόμενος τὴν αὐτῶν συντυχίαν καὶ δοκῶν μετ᾽ αὐτῶν συνδιάγειν. Ἀλλὰ βοήθησον τῇ πολλῇ ἀσθενείᾳ μου καὶ τῇ δειλίᾳ τῇ πρὸς τὴν ὁδὸν τῆς σωτηρίας. Πῶς γὰρ εὔξασθαι τὸν Θεὸν οὐκ οἶδα τὸν καλέσαντά με, σπουδάσας ἀθετῆσαι αὐτὸν καὶ ἐν μιᾷ ὥρᾳ ἐπιλαθόμενος τῶν εὐεργεσιῶν αὐτοῦ πασῶν.

Διὸ παρακαλῶ, ἐλέησόν με, ὅτι πολὺ ἥμαρτον καὶ οἱ

σμο, ἐρεθίζοντάς με νὰ ἐπανέλθω σ' αὐτόν, ἐλέησέ με, γιὰ νὰ προστατευθῶ μὲ τὶς προσευχές σας, ἐπειδή, ἐνῶ ἤμουν ἀκόμα σ' αὐτὲς τὶς ἁμαρτίες, παρακάλεσα τὸ Θεὸ ν' ἀξιωθῶ νὰ εἶμαι κάτω ἀπὸ τὴν προστασία σας.

'Απόκριση Βαρσανουφίου.

Αγαπητό μου τέκνο, γίνε ἀνδρεῖος μὲ τὴ βοήθεια τοῦ Κυρίου· ὁ Θεὸς σὲ κάλεσε· μὴ φοβηθεῖς λοιπόν, ἀλλὰ ἔχε θάρρος· ἡ ἀρχὴ τῆς κατὰ Θεὸν ἐργασίας ἔχει πολέμους, ἀλλὰ ὁ Κύριος τοὺς συντρίβει. Ἡ στρατεία τοῦ κόσμου εἶναι σκοτάδι, καὶ ἡ κληρονομία της αἰώνια κόλαση· ἐνῶ ἡ στρατεία τοῦ Θεοῦ εἶναι φῶς καὶ ἡ κληρονομία της αἰώνια ζωή. Μαλάκωσε τώρα αὐτὰ τὰ δύο ψίχουλα καὶ ἔπειτα διάλεξε ὅποιο θέλεις· καὶ θὰ σοῦ ἔρθει κάποιος μεγαλόφωνος καὶ θὰ ξυπνίσει τὴν καρδιά σου, ποὺ εἶναι ἀκόμη ψυχρή, καὶ θὰ σὲ κάνει νὰ ὀρθοποδήσεις ὅπως πρέπει. Μὴ ταραχθεῖς· διότι ὑπάρχει αὐτὸς ποὺ θὰ σὲ ὁδηγήσει πρὸς τὸν Δεσπότη.

495

Τοῦ ἰδίου ὁμοίως.

Ἐπειδὴ ἡ θλίψη τοῦ πολέμου ποὺ μοῦ ἀνακινήθηκε τώρα δημιουργήθηκε ἀπὸ μένα τὸν ἴδιο, ἐλέησέ με, δέσποτα, γιὰ νὰ τὸν καταργήσουν οἱ προσευχές σου· διότι ἔχασα αὐτὸ ποὺ ἦταν μέσα μου, ὅταν συνάντησα τοὺς κατὰ σάρκα ἀδελφούς μου ποὺ μὲ ἐπισκέφθηκαν. Διότι συνέχισα νὰ σκέπτομαι τὴ συνάντησή τους καὶ νὰ νομίζω ὅτι ζῶ μαζὶ μ' αὐτούς. 'Αλλὰ βοήθησέ με στὴ μεγάλη μου ἀσθένεια καὶ τὴ δειλία ποὺ ἔχω πρὸς τὸν δρόμο τῆς σωτηρίας. Διότι δὲν γνωρίζω πῶς νὰ προσευχηθῶ στὸν Θεὸ ποὺ μὲ κάλεσε, ἀφοῦ βιάστηκα νὰ τὸν ἀθετήσω καὶ σὲ μία ὥρα ξέχασα ὅλες τὶς εὐεργεσίες του.

Γι' αὐτὸ σὲ παρακαλῶ, ἐλέησέ με, διότι ἁμάρτησα

πόλεμοι ἐκ τῆς ἐμῆς ἀσθενείας καὶ ὀλιγοπιστίας γινόμενοι, οὐκ ἀφίστανταί μου. Καὶ εἰ ἐγχωρεῖ καὶ συμφέρει ἀποστῆναι τοὺς ἐμοὺς ἔρχεσθαι πρός με, ἕνεκεν τοῦ μὴ φέρειν μοι δελεασμῶν τοῦ κόσμου· καὶ τοῦτο ὑμεῖς γινώσκετε. Ψυχρᾶς γὰρ οὔσης τῆς καρδίας μου πρὸς ταραχὴν καὶ ὁδὸν τοῦ πολέμου ἔρχονται πρός με· μικρὸν δὲ ἀποστάντων τῶν λογισμῶν χθὲς ἀπ' ἐμοῦ διὰ τῆς σκέπης ὑμῶν, σήμερον ὡς ἐκάθισα μικρὸν κατ' ἰδίαν, ἵνα μάθω ἕνα ψαλμόν, ἐπέθεντό μοι τοσοῦτον, ὥστε ἀπὸ τῆς ὀλιγωρίας καὶ ἱδροῦν με. Διὸ δέομαι μὴ ἐγκαταλείπῃς με τοῖς ἐχθροῖς μου, ἀλλὰ τῇ δυνάμει σου τὴν ἀδυναμίαν μου στήριξον καὶ ἐκείνους κατάργησον, ὅτι ἱκανῶς ἐνεπλήσθησάν μου καὶ σὺ βλέπεις τὴν καρδίαν μου, ὅτι τοὺς πολέμους οὐχ ἡδέως φέρω· ἵνα μὴ ἡττηθῶ διὰ τὴν ἀσθένειάν μου καὶ τὸ ἀγνοεῖν με τὴν πονηρίαν αὐτῶν, ἵνα μὴ εἰς τὰς παγίδας αὐτῶν ἐμπέσω, εἰς ἃς πρὸ τοῦ προφυγεῖν ὑμῖν ἐκυλιόμην. Συγχώρησόν μοι, καὶ εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ ἀγαθέ.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἀδελφὲ ἀγαπητέ, ματρίκιον ἔχει ὁ Δεσπότης ἡμῶν Θεός, εἰς ὃ γράφονται οἱ προσερχόμενοι δουλεύειν αὐτῷ γνησίως καὶ προῖκα γράφονται ἀπὸ πρώτης ἡμέρας. Παρεκάλεσα αὐτὸν «τὸν μὴ θέλοντα τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν», ὥστε τάξαι σε εἰς αὐτὸ μετὰ τῶν σωζομένων· καὶ ἠλέησε καὶ σὲ μετ' ἐμοῦ καὶ παραχρῆμα ἔταξέ σε, ὁ «πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν».

Δωρεὰν οὖν ἔλαβες. Ἐν σοὶ λοιπὸν κεῖται τὸ μὴ εἶναι ἐν τῇ τοιαύτῃ γραφῇ, ἢ τὸ εἶναι. Σοὶ οὖν θέλοντι βοηθεῖ ὁ λέγων, «ἐὰν

πολὺ καὶ δὲν ἀπομακρύνονται ἀπὸ μένα οἱ πόλεμοι ποὺ ἔγιναν ἀπὸ τὴν ἀσθένεια καὶ ὀλιγοπιστία μου. Καὶ ἐὰν εἶναι δυνατὸν καὶ συμφέρει νὰ κρατήσω σὲ ἀπόσταση τοὺς δικούς μου ποὺ ἔρχονται σὲ μένα, γιὰ νὰ μὴ μοῦ φέρουν δελεασμοὺς τοῦ κόσμου. Ἐσεῖς τὸ γνωρίζετε κι αὐτό. Ὄντας δηλαδὴ ἡ καρδιά μου ψυχρή, μοῦ ἔρχονται οἱ λογισμοὶ γιὰ ταραχὴ καὶ συνέχιση τοῦ πολέμου. Καὶ ἐνῶ χθὲς ἀπομακρύνθηκαν λίγο οἱ λογισμοὶ ἀπὸ μένα μὲ τὴν προστασία σας, σήμερα μόλις κάθισα λίγο μόνος μου, γιὰ νὰ μάθω ἕναν ψαλμό, μὲ βάρυναν τόσο, ὥστε νὰ ἱδρώνω ἀπὸ τὴν ὀλιγωρία. Γι' αὐτό, παρακαλῶ, νὰ μὴ μὲ ἐγκαταλείψεις στοὺς ἐχθρούς μου, ἀλλὰ στήριξε τὴν ἀδυναμία μου μὲ τὴ δύναμή σου καὶ κατάργησε ἐκείνους, διότι ἀρκετὰ μὲ γέμισαν, καὶ σὺ βλέπεις τὴν καρδιά μου, ὅτι δὲν ὑποφέρω εὐχάριστα τοὺς πολέμους· γιὰ νὰ μὴ νικηθῶ ἐξαιτίας τῆς ἀσθένειάς μου καὶ ἀπὸ τὴν ἄγνοια τῆς πονηρίας τους, γιὰ νὰ μὴ πέσω μέσα στὶς παγίδες τους, στὶς ὁποῖες κυλιόμουν πρὶν προσφύγω σὲ σᾶς. Συγχώρεσέ με, καὶ προσευχήσου γιὰ μένα, ἀγαθὲ πάτερ.

Ἀπόκριση Βαρσανουφίου.

Αγαπητὲ ἀδελφέ, ὁ Δεσπότης μας Θεὸς ἔχει μητρῶο, στὸ ὁποῖο γράφονται αὐτοὶ ποὺ προσέρχονται νὰ δουλεύουν γνήσια γι' αὐτὸν καὶ γράφονται δωρεὰν ἀπὸ τὴν πρώτη ἡμέρα. Παρακάλεσα αὐτὸν «ποὺ δὲν θέλει τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ νὰ ἐπιστρέψει καὶ νὰ ζήσει αὐτός»[61], ὥστε νὰ σὲ ἐντάξει σ' αὐτὸ μαζὶ μ' ἐκείνους ποὺ σώζονται· καὶ ἐλέησε καὶ σένα καὶ σὲ ἔνταξε ἀμέσως μαζὶ μὲ μένα, «αὐτὸς ποὺ θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθεια»[62].

Πῆρες λοιπὸν δωρεά. Ἑπομένως ἀπὸ σένα ἐξαρτᾶται τὸ νὰ μὴ εἶσαι ἢ νὰ εἶσαι σ' αὐτὴ τὴ γραφή. Ἐὰν λοιπὸν θέλεις, θὰ σὲ

61. Ἰεζ. 33,11. 62. Α' Τιμ. 2,4.

θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε», καὶ τὰ λοιπά. Ἰδοὺ εἴρηκα, πρόσεχε μὴ ἐκπέσῃς τῆς τηλικαύτης στρατείας, μήποτε καὶ ἀνίατον τραῦμα νοσήσῃς· ταύτης γὰρ ἐκπεσών, οὐδὲ ἐν τῷ κόσμῳ χρησιμεύσεις. Ὁ Κύριος σκεπάσοι σε ἀπὸ τοῦ πονηροῦ καὶ σώσοι εἰς τὴν αἰώνιον ζωήν. Ἀμήν.

Τέκνον, «ἄφες τοὺς νεκροὺς λοιπὸν θάψαι τοὺς ἑαυτῶν νεκρούς», καὶ βλέπεις πῶς δοξάζεται ὁ Θεὸς ἐν βουλῇ ἁγίᾳ.

ΥϞϚ'

***Δέησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Ἀββᾶ, διὰ τὸν Κύριον ἐλέησόν με· ἐπειδὴ κατ' ἰδίαν μου ἀναπαυομένου, ἐπεγείρονται φαντασίαι, ἀλλὰ καὶ συνοχὴ ὥς τινων ἐπερχομένων μοι, ὥστε καὶ καθεύδοντά με συνέχεσθαι καὶ μὴ δύνασθαι ἀναπαῆναί με. Καὶ ἐπειδὴ δειλός εἰμι τῇ φύσει, πλέον ὁ πόλεμος ἐπεγείρεταί μοι καὶ οὐ συγχωρεῖ μοι ὑπνῶσαι, εἰ μὴ μικρόν, καὶ τοῦτο, ὡς εἶπον, ἐν συνοχῇ καὶ μικροψυχίᾳ, ὥστε ἐκ τούτου αἰσθάνεσθαι καὶ ἀτονίαν ἐν τῷ σώματι καὶ μὴ δύνασθαι σχεδὸν κινῆσαι ἐμαυτόν. Λοιπόν, δέσποτα, τὸ συμφέρον αὐτὸς οἶδας, καὶ αὐτὸ ποίησον μετ' ἐμοῦ, πάτερ ἀγαθέ. Συγχώρησόν μοι τῷ ἁμαρτωλῷ καὶ πολὺ κακῶς ἔχοντι.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἀδελφέ, δοξάσαι τὸν Θεὸν ὀφείλεις, πῶς δεικνύει τὴν γραφὴν ἀληθεύουσαν· φησὶ γάρ· «πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε». Κατὰ τὴν δύναμίν σου οὖν ἐᾷ σε γυμνάζεσθαι»· τοὺς δὲ μεγάλους

---

63. Ἡσ. 1,19.
64. Ματθ. 8,22.

βοηθήσει αὐτὸς ποὺ λέγει, «ἐὰν θέλετε καὶ μὲ ὑπακούσετε, θὰ φάγετε τὰ ἀγαθὰ τῆς γῆς»[63] καὶ τὰ λοιπά. Νά, σοῦ μίλησα· πρόσεχε νὰ μὴ ἐκπέσεις ἀπὸ αὐτὴ τὴ στρατεία, μήπως καὶ ὑποστεῖς ἀνίατο τραῦμα· διότι, ἂν ἐκπέσεις ἀπὸ αὐτήν, δὲν θὰ εἶσαι χρήσιμος οὔτε στὸν κόσμο. Εἴθε ὁ Κύριος νὰ σὲ προστατεύσει ἀπὸ τὸν πονηρὸ καὶ νὰ σὲ σώσει στὴν αἰώνια ζωή. Γένοιτο.

Τέκνο, «ἄφησε στὸ ἑξῆς τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους»[64], καὶ θὰ γνωρίσεις πῶς δοξάζεται ὁ Θεὸς μὲ βουλὴ ἁγία.

496

Δέηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἀββᾶ, ἐλέησέ με στὸ ὄνομα τοῦ Κυρίου· ἐπειδὴ ὅταν ἀναπαύομαι μόνος μου, ξυπνοῦν φαντασίες, ἀλλὰ καὶ θλίψη, σὰν νὰ ἐφορμοῦν κάποιοι ἐναντίον μου, ὥστε καὶ ὅταν κοιμᾶμαι νὰ ὑποφέρω καὶ νὰ μὴ μπορῶ νὰ ἀναπαυθῶ. Καὶ ἐπειδὴ ἐκ φύσεως εἶμαι δειλός, σηκώνεται περισσότερο ὁ πόλεμος ἐναντίον μου καὶ δὲν μὲ ἀφήνει νὰ κοιμηθῶ, παρὰ μόνο λίγο, καὶ αὐτὸ ὅπως εἶπα μὲ θλίψη καὶ μικροψυχία, ὥστε νὰ αἰσθάνομαι ἐξαιτίας αὐτοῦ ἀτονία στὸ σῶμα καὶ νὰ μὴ μπορῶ νὰ κινήσω σχεδὸν τὸν ἑαυτό μου. Ἐσὺ λοιπόν, δέσποτα, γνωρίζεις τὸ συμφέρον· καὶ αὐτὸ κάνε σὲ μένα, ἀγαθὲ πάτερ. Συγχώρεσέ με τὸν ἁμαρτωλὸ καὶ βαριὰ ἀσθενῆ.

Ἀπόκριση Βαρσανουφίου.

Ἀδελφέ, πρέπει νὰ δοξάσεις τὸ Θεό, πῶς δείχνει τὴ Γραφὴ νὰ ἀληθεύει· διότι λέγει· «εἶναι ἀξιόπιστος ὁ Θεός, ὁ ὁποῖος δὲ θὰ σᾶς ἀφήσει νὰ πειραχθεῖτε περισσότερο ἀπὸ ὅσο μπορεῖτε»[65]. Κατὰ τὴ δύναμή σου λοιπὸν σὲ ἀφήνει νὰ γυμνάζεσαι· ἐνῶ τοὺς μεγάλους τοὺς δοκιμάζει σὲ

65. Α΄ Κορ. 10,13.

κατὰ τὴν δύναμιν αὐτῶν, εἰς μεγάλους πειρασμοὺς δοκιμάζει καὶ χαίρουσιν. Εἰς προκοπὴν γὰρ φέρει τὸν ἄνθρωπον ὁ πειρασμός· ὅπου γὰρ πρόκειται ἀγαθόν, ἐκεῖ πόλεμος γίνεται.

Μὴ οὖν φοβηθῇς τοὺς πειρασμούς, ἀλλὰ χάρηθι, ὅτι εἰς προκοπήν σε φέρουσι. Καταφρόνησον οὖν αὐτὸν καὶ βοηθεῖ σοι ὁ Θεὸς καὶ σκεπάζει σε.

ΥϟΖ'

***Δέησις** τοῦ αὐτοῦ.*

Πάτερ ἅγιε, ἀσθενὴς καὶ ἁμαρτωλὸς ὑπάρχων, οὐκ ἔχω παρρησίαν δεηθῆναί τι παρὰ τοῦ εὐσπλάγχνου Θεοῦ· διὸ προσπίπτω σοι δεηθῆναι ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἵνα ἀξιωθῶ δουλεύειν αὐτῷ καὶ παράσχῃ μοι δύναμιν καὶ σύνεσιν· πάντων γὰρ τούτων, ὡς οἶδε καὶ ἡ καρδία σου , δέομαι, μηδὲν ὢν παντάπασι. Πιστεύω γάρ, πάτερ ἀγαθέ, ὅτι αἱ σαὶ εὐχαὶ ἱκαναί εἰσι δυσωπῆσαι τὸν Θεὸν περὶ τῶν ἁμαρτιῶν μου, ἵνα παρίδῃ αὐτὰς καὶ ἄξιόν με ποιήσῃ τοῦ ἄρξασθαι τῆς εὐλογημένης ὁδοῦ· ἵνα ἐν γνώσει τῇ ὁδηγίᾳ τοῦ ἐλέους σου, εὐλογημένε, ὁδεύων, εὐχαριστήσω συνήθως τῷ φιλανθρώπῳ Θεῷ, τῷ διὰ σοῦ πάντων τῶν ἀγαθῶν παρέχοντι τῇ ἀφροσύνῃ μου καὶ παρρησίᾳ καὶ εὔχου ὑπὲρ ἐμοῦ.

***Ἀπόκρισις** Βαρσανουφίου*

Ἀδελφέ, μᾶλλον δὲ τέκνον· ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐνδυναμώσοι σε ἐν τῇ ἁγίᾳ κλήσει αὐτοῦ, ᾗ ἐκάλεσέ σε, καὶ καταξιώσοι σε τῆς τάξεως τῆς υἱοθεσίας, ἧς ὀλίγοι ἀξιοῦνται καὶ στηρίξοι σου τὴν καρδίαν κατὰ τὴν καρδίαν Ἄννης, ἵνα γεννήσῃς καρποὺς εὐπροσδέκτους τῷ Θεῷ, κατὰ τὸν Σαμουήλ· καὶ συνᾴσῃς αὐτῷ ᾆσμα καινὸν τῷ Θεῷ καὶ προ-

μεγάλους πειρασμούς, ἀνάλογα μὲ τὴ δύναμή τους, καὶ αὐτοὶ χαίρονται, διότι ὁ πειρασμὸς ὁδηγεῖ τὸν ἄνθρωπο σὲ προκοπή. Ὅπου ὑπάρχει ἀγαθό, ἐκεῖ γίνεται πόλεμος.

Μὴ φοβηθεῖς λοιπὸν τοὺς πειρασμούς, ἀλλὰ νὰ χαίρεσαι, διότι σὲ ὁδηγοῦν σὲ προκοπή. Περιφρόνησέ τον καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει καὶ θὰ σὲ προστατεύσει.

497

Δέηση τοῦ ἰδίου.

Ἅγιε πάτερ, ἐπειδὴ εἶμαι ἀσθενὴς καὶ ἁμαρτωλός, δὲν ἔχω παρρησία νὰ ζητήσω κάτι ἀπὸ τὸν εὔσπλαγχνο Θεό. Γι' αὐτὸ σὲ παρακαλῶ νὰ προσευχηθεῖς γιὰ μένα τὸν ἁμαρτωλό, γιὰ νὰ ἀξιωθῶ νὰ δουλεύω σ' αὐτὸν καὶ νὰ μοῦ δώσει δύναμη καὶ σύνεση. Ὅπως γνωρίζει καὶ ἡ καρδιά σου, τὰ χρειάζομαι ὅλα αὐτά, ἐπειδὴ δὲν εἶμαι ἀπολύτως τίποτε. Πιστεύω, ἀγαθὲ πάτερ, ὅτι οἱ δικές σου προσευχὲς εἶναι ἱκανὲς νὰ συγκινήσουν τὸ Θεὸ γιὰ τὶς ἁμαρτίες μου, γιὰ νὰ τὶς παραβλέψει καὶ νὰ μὲ κάνει ἄξιο, ὥστε ν' ἀρχίσω τὸν εὐλογημένο δρόμο, τὸν ὁποῖο, βαδίζοντας μὲ γνώση καὶ μὲ τὴν ὁδηγία τοῦ ἐλέους σου, εὐλογημένε, θὰ εὐχαριστήσω ὅπως πρέπει τὸν φιλάνθρωπο Θεό, ποὺ παρέχει διὰ σοῦ ὅλα τὰ ἀγαθὰ στὴν ἀφροσύνη καὶ παρρησία μου· καὶ νὰ προσεύχεσαι γιὰ μένα.

Ἀπόκριση Βαρσανουφίου.

Ἀδελφέ, ἢ μᾶλλον, τέκνο μου· ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς εἴθε νὰ σὲ ἐνδυναμώσει στὴν ἅγια κλήση του, στὴν ὁποία σὲ κάλεσε, καὶ εἴθε νὰ σὲ ἀξιώσει τῆς τάξεως τῆς υἱοθεσίας, τὴν ὁποία λίγοι ἀξιώνονται, καὶ εἴθε νὰ στηρίξει τὴν καρδιά σου ἀνάλογα μὲ τὴν καρδιὰ τῆς Ἄννας, γιὰ νὰ γεννήσει καρποὺς εὐπρόσδεκτους στὸ Θεό, κατ' ἀναλογία μὲ τὸν Σαμουήλ, ὥστε νὰ ψάλεις μαζὶ μ' αὐτὸν καινούργιο ᾆσμα στὸ Θεό, νὰ προκόψεις μὲ ἀγαθὰ ἔργα στὸ δρόμο ποὺ

κόψῃς ἐν ἔργοις ἀγαθοῖς ἐν τῇ προκειμένῃ σοι ὁδῷ καὶ δουλεύσῃς αὐτῷ γνησίως, ὡς δόκιμος στρατιώτης. Μὴ οὖν ὀκλάσῃς μηδὲ παραλυθῇς, ἀλλὰ δράμε προθύμως τὴν πόλιν τῶν ἁγίων καὶ ἐκλεκτῶν κληρώσασθαι, πίστιν, ἐλπίδα καὶ ἀγάπην κτῆσαι, καὶ φέρουσί σε εἰς τὴν ἁγίαν ταπείνωσιν, τὴν μητέρα πασῶν τῶν ἀρετῶν, καὶ σωθήσῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΥϞΗ'

***Δέησις** τοῦ αὐτοῦ*

Ἐπειδὴ ἁμαρτωλὸς ὑπάρχω καὶ οὔκ εἰμι ἱκανὸς ὡς ἀσθενῶν τῷ σώματι, τί ποτε ποιῆσαι ἀγαθὸν καὶ ἀρέσκον Θεῷ, δέομαί σου, δέσποτα, αὐτὸς δεήθητι ὑπὲρ ἐμοῦ τοῦ παροργίσαντος αὐτὸν καὶ μηδέν, ὡς εἶπον, δυναμένου ποιῆσαι, τῆς ἀσθενείας μοι ἐμποδιζούσης.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Μακάριος εἶ, ἀδελφέ, ἐὰν ὅλως αἰσθάνῃ, ὅτι ἔχεις ἁμαρτίας· ὁ γὰρ αἰσθανόμενος, πάντως βδελύσσεται αὐτὰς καὶ ἀφίσταται αὐτῶν. Καὶ μέρος ἐστὶ μετανοίας τὸ αἰσθανθῆναι αὐτῶν καὶ αἰτῆσαι βοήθειαν παρὰ τῶν πατέρων, διὰ τῶν πρὸς Θεὸν εὐχῶν ῥυσθῆναι ἀπ' αὐτῶν καὶ τῶν μενουσῶν αὐτὸν κολάσεων.

Ἡμεῖς οὖν εὐχόμεθα, καὶ σὺ ποίησον τὴν δύναμίν σου κτήσασθαι ταπείνωσιν, ὑποταγήν, καὶ μὴ κρατήσῃς σεαυτῷ θέλημα ἔν τινι, ἐξ αὐτοῦ γὰρ ὀργὴ τίκτεται. Καὶ μὴ κρίνῃς μηδὲ ἐξουδενώσῃς τινά· ἐκ τούτου γὰρ ἀμβλύνεται ἡ καρδία καὶ τυφλοῦται ὁ νοῦς καὶ ἐκεῖθεν ἔρχεται ἡ ἀμέλεια καὶ γεννᾶται ἡ σκληροκαρδία. Ἀλλὰ νῆψον διὰ παντὸς εἰς τὴν τοῦ θείου νόμου μελέτην, ἐξ ἧς θερμαίνεται ἡ καρδία τῷ ἐπουρανίῳ πυρί. Φησὶ γὰρ «καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ». Καὶ μὴ λυ-

66. Ψαλμ. 38,4.

βρίσκεται μπροστά σου, καὶ νὰ δουλέψεις γνήσια σ' αὐτόν, ὡς ἄξιος στρατιώτης. Μὴ λυγίσεις λοιπὸν οὔτε νὰ παραλυθεῖς, ἀλλὰ τρέξε πρόθυμα νὰ φθάσεις στὴν πόλη τῶν ἁγίων καὶ ἐκλεκτῶν, γιὰ ν' ἀποκτήσεις πίστη, ἐλπίδα καὶ ἀγάπη, ποὺ θὰ σὲ ὁδηγήσουν στὴν ἅγια ταπείνωση, τὴ μητέρα ὅλων τῶν ἀρετῶν, καὶ θὰ σωθεῖς στοὺς αἰῶνες τῶν αἰώνων. Γένοιτο.

498

Δέηση τοῦ ἰδίου.

Ἐπειδὴ εἶμαι ἁμαρτωλὸς καὶ δὲν εἶμαι ἱκανός, ἀφοῦ ἀσθενῶ στὸ σῶμα, νὰ κάνω τίποτα καλὸ καὶ ἀρεστὸ στὲ Θεό, σὲ παρακαλῶ, δέσποτα, νὰ δεηθεῖς ἐσὺ γιὰ μένα ποὺ τὸν ἐξόργισα καί, ὅπως εἶπα, δὲ μπορῶ νὰ κάνω τίποτε, ἐπειδὴ μὲ ἐμποδίζει ἡ ἀσθένεια.

Ἀπόκριση Βαρσανουφίου.

Ἀδελφέ, εἶσαι μακάριος, ἐὰν αἰσθάνεσαι ὁπωσδήποτε ὅτι ἔχεις ἁμαρτίες· διότι αὐτὸς ποὺ τὶς αἰσθάνεται, ὁπωσδήποτε τὶς σιχαίνεται καὶ ἀπομακρύνεται ἀπὸ αὐτές. Καὶ εἶναι μέρος τῆς μετάνοιας τὸ νὰ τὶς αἰσθανθεῖ κανεὶς καὶ νὰ ζητήσει βοήθεια ἀπὸ τοὺς πατέρες, ὥστε μὲ τὶς προσευχές τους πρὸς τὸ Θεὸ νὰ προστατευθεῖ ἀπὸ αὐτὲς καὶ ἀπὸ τὶς τιμωρίες ποὺ τὸν περιμένουν.

Ἐμεῖς λοιπὸν προσευχόμαστε, καὶ σὺ βάλε ὅλη τὴ δύναμή σου ν' ἀποκτήσεις ταπείνωση, ὑποταγή, καὶ νὰ μὴ κρατήσεις στὸν ἑαυτό σου θέλημα σὲ κάτι, διότι ἀπὸ αὐτὸ γεννιέται ἡ ὀργή. Καὶ νὰ μὴ κρίνεις οὔτε νὰ ἐξουθενώσεις κάποιον· διότι ἀπὸ αὐτὸ ἀμβλύνεται ἡ καρδιὰ καὶ τυφλώνεται ὁ νοῦς καὶ ἔρχεται ἀπὸ ἐκεῖ ἡ ἀμέλεια καὶ γεννιέται ἡ σκληροκαρδία. Ἀλλὰ ἀγρύπνα γιὰ πάντα στὴ μελέτη τοῦ θείου νόμου, ἀπὸ τὴν ὁποία θερμαίνεται ἡ καρδιὰ μὲ τὴν ἐπουράνια φωτιά. Διότι λέγει, «καὶ μὲ τὴ μελέτη μου θ' ἀνάψει φωτιά»[66]. Καὶ νὰ μὴ λυπηθεῖς, διότι

πηθῆς· ἐκ Θεοῦ γάρ ἐστιν ἡ κλῆσίς σου, ἀδελφέ. Καὶ μὴ χαυνωθῇς μηδὲ παραλυθῇς· οὐ γὰρ ἀπαιτεῖ σε ὁ Θεὸς ὑπὲρ τὴν δύναμίν σου, ἀλλὰ κατὰ τὸ δυνατόν.

Φύλαξον τὸ στόμα σου ἀπὸ ἀργοῦ λόγου καὶ ματαιολογίας καὶ τοῦ μὴ μελετᾶν ἐν τῇ καρδίᾳ σου εἰς κακοὺς λόγους, καὶ ρίψον τὴν δύναμίν σου σὺν τῇ τῶν ἁγίων εὐχῇ ἐνώπιον τοῦ Θεοῦ λέγων· «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», καὶ ἐλεεῖ σε, καὶ φυλάττει σε, καὶ σκεπάζει σε ἀπὸ παντὸς πονηροῦ, τοῦ ἐλθεῖν ἀπὸ τοῦ σκότους εἰς τὸ ἀληθινὸν φῶς, ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν, ἀπὸ τοῦ θανάτου εἰς τὴν ζωήν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΥϚΘ'

***Δέησις** τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα Ἰωάννην.*

Ἀββᾶ, διὰ τὸν Κύριον συγχώρησον τῇ προπετείᾳ μου καὶ ἀφροσύνῃ, καὶ βοήθησόν μοι διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου· εἰ γὰρ μίαν ἁμαρτίαν ὁ πράττων ἐνώπιον τοῦ Θεοῦ δέεται πολλῆς μετανοίας, τί ποιήσω ἐγὼ ὁ συντραφεὶς τῇ ἁμαρτίᾳ, ὃς παροργίζων τὸν Θεὸν οὐκ ἐπαυσάμην τὸ κατὰ δύναμίν μου, καὶ δέομαι τῶν ὑμετέρων εὐχῶν, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ ἡ ἁμαρτία; Καὶ ἐπειδὴ χρείαν ἔχω συνεχῶς διδάσκεσθαι τὴν ὁδὸν ταύτην, ἄνθρωπος ἀπὸ ἀπαντηρίων καὶ πολλῶν κακιῶν ἐνταῦθα ἐλθὼν τῇ πολλῇ εὐσπλαγχνίᾳ τοῦ Θεοῦ, δέομαί σου, πάτερ ὅσιε, ποίησον ἔλεος μετ' ἐμοῦ, καὶ ὡς δοκιμάζεις, ὁδήγησόν με, καὶ εὔχου ὑπὲρ ἐμοῦ εἰς τὸ φυλάττειν τὰς ἁγίας σου ἐντολάς, ἅς με κελεύεις ποιεῖν.

ἀπὸ τὸ Θεὸ εἶναι ἡ κλήση σου, ἀδελφέ. Καὶ νὰ μὴ χαυνωθεῖς οὔτε νὰ παραλύσεις· διότι ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ σένα παραπάνω ἀπὸ τὴ δύναμή σου, ἀλλὰ ἀνάλογα μὲ τὴ δύναμή σου.

Φύλαξε τὸ στόμα σου ἀπὸ ἀργὸ λόγο καὶ ἀπὸ ματαιολογία καὶ ἀπὸ τὸ νὰ μὴ μελετᾶς στὴν καρδιά σου κακοὺς λόγους, καὶ ρίξε τὴ δύναμή σου μαζὶ μὲ τὴν προσευχὴ τῶν ἁγίων ἐνώπιον τοῦ Θεοῦ, λέγοντας, «ἐλέησέ με τὸν ἁμαρτωλό»[67], καὶ θὰ σὲ ἐλεήσει, θὰ σὲ φυλάγει καὶ θὰ σὲ προστατεύει ἀπὸ κάθε πονηρό, ὥστε νὰ ἔλθεις ἀπὸ τὸ σκοτάδι στὸ ἀληθινὸ φῶς, ἀπὸ τὴν πλάνη στὴν ἀλήθεια, ἀπὸ τὸ θάνατο στὴ ζωή, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

499

Δέηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα Ἰωάννη.

Ἀββᾶ, στὸ ὄνομα τοῦ Κυρίου, συγχώρησε τὴν ἀπερισκεψία μου καὶ τὴν ἀφροσύνη μου καὶ βοήθησέ με γιὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου· διότι, ἐὰν αὐτὸς ποὺ πράττει μία ἁμαρτία ἐνώπιον τοῦ Θεοῦ χρειάζεται πολλὴ μετάνοια, τί θὰ κάνω ἐγὼ ποὺ ἀνατράφηκα μαζὶ μὲ τὴν ἁμαρτία, ποὺ δὲ σταμάτησα νὰ ἐξοργίζω τὸ Θεὸ ὅσο μοῦ τὸ ἐπέτρεπαν οἱ δυνάμεις μου, καὶ χρειάζομαι τὶς δικές σας προσευχές, γιὰ νὰ ἀπομακρυνθεῖ ἀπὸ μένα ἡ ἁμαρτία; Καὶ ἐπειδὴ ἔχω ἀνάγκη νὰ διδάσκομαι συνεχῶς αὐτὸν τὸν δρόμο, διότι εἶμαι ἄνθρωπος ποὺ ἦρθα ἐδῶ ἀπὸ πολέμους καὶ πολλὰ κακά, ἐξαιτίας τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, σὲ παρακαλῶ, ὅσιε πάτερ, νὰ δείξεις ἔλεος σὲ μένα, καί, ὅπως κρίνεις σωστό, ὁδήγησέ με, καὶ νὰ προσεύχεσαι γιὰ μένα, γιὰ νὰ φυλάγω τὶς ἅγιες ἐντολές, τὶς ὁποῖες μὲ διατάζεις νὰ κάνω.

67. Λουκᾶ 18,13.

Ἀπόκρισις

Αδελφέ, ἐπειδὴ τῷ σταυρωθέντι ὑπὲρ ἡμῶν προσῆλθες, καὶ σὺ λάβε σου τὸν σταυρὸν καὶ ἐξακολούθησον αὐτῷ, ἐπιρρίπτων ἐπ᾽ αὐτὸν πᾶσάν σου τὴν μέριμναν, τὸν ποιοῦντα ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν· αὐτῷ γὰρ μέλλει περὶ ἡμῶν. Μὴ οὖν θροηθῇς, καὶ βοηθεῖ σοι ὁ Χριστός. Μόνον δέ, τέκνον, ἔχει ἐν τῷ νῷ τὸν λόγον τῆς θείας Γραφῆς, καὶ τὴν ἑτοιμασίαν ἣν λέγει· «υἱέ, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· καὶ ὅτι ἀνὴρ ἀπείραστος ἀδόκιμος»· καὶ πάλιν, «μακάριος ἄνθρωπος, ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος», καὶ τὰ λοιπά.

Οὐ φοβερίζων σε, ἀδελφέ, ταῦτα λέγω σοι, ἀλλὰ στηρίζων σου τὴν καρδίαν ἐν τῷ φόβῳ τοῦ Θεοῦ εἰς τὴν ὁδὸν αὐτοῦ· οὕτω γὰρ προέκοψαν πάντες οἱ ἅγιοι, διὰ πειρασμῶν καὶ θλίψεων πολλῶν· καὶ εὐηρέστησαν συμβοηθούσης αὐτοῖς τῆς τοῦ Θεοῦ χάριτος. Μὴ φοβηθῇς μηδὲ ἐκλυθῇς· πιστεύομεν γὰρ ὅτι ὁ Θεός ἐστιν ὁ φυτεύων σε καὶ ἀρδεύων καὶ αὐξάνων, εὐχαῖς ἁγίων. Ἀμήν.

Φ

Ἐρώτησις

Τί ποιήσω, πάτερ, ὅτι ὀχλοῦμαι ὑπὸ τῆς πορνείας;

Ἀπόκρισις

Ὅσον δύνῃ κακουχήθητι· τοῦτο δέ ἐστι κατὰ τὴν δύναμίν σου· καὶ μὴ ἔσο πεποιθὼς ἐπὶ τοῦτο, ἀλλ᾽ ἐπὶ τὴν ἀγάπην καὶ σκέπην τοῦ Θεοῦ, καὶ μὴ ἀκηδιάσῃς· ἡ γὰρ ἀκηδία εἰς πᾶσαν ἀρχὴν κακὴν βάλλει ἑαυτήν.

᾽Απόκριση

Ἀδελφέ, ἐπειδὴ προσῆλθες σ' αὐτὸν ποὺ σταυρώθηκε γιὰ μᾶς, πάρε καὶ σὺ τὸν σταυρὸ καὶ ἀκολούθησέ τον, ρίχνοντας ὅλη τὴ μέριμνά σου ἐπάνω σ' αὐτὸν ποὺ κάνει περισσότερα ἀπὸ ὅσα ζητᾶμε ἢ σκεπτόμαστε, διότι αὐτὸς νοιάζεται γιὰ μᾶς. Μὴ ταραχθεῖς λοιπόν, καὶ θὰ σὲ βοηθήσει ὁ Χριστός. Μόνο, τέκνο μου, νὰ ἔχεις στὸ νοῦ σου τὸ λόγο τῆς θείας Γραφῆς καὶ τὴν ἑτοιμασία τὴν ὁποία ζητᾶ· «υἱέ μου, ἐὰν προσῆλθες νὰ δουλέψεις στὸν Κύριο, ἑτοίμασε τὴν ψυχή σου γιὰ τὸν πειρασμό· καὶ ὅτι ὁ ἀπείραστος ἄνθρωπος εἶναι ἀδοκίμαστος»[68]· καὶ πάλι, «μακάριος ὁ ἄνθρωπος ποὺ ὑπομένει πειρασμό, διότι γίνεται δοκιμασμένος»[69], καὶ τὰ λοιπά.

᾽Αδελφέ, δὲ σοῦ τὰ λέγω αὐτὰ γιὰ νὰ σὲ φοβερίσω, ἀλλὰ γιὰ νὰ στηρίξω τὴν καρδιά σου μὲ τὸ φόβο τοῦ Θεοῦ στὸ δρόμο του· διότι ἔτσι πρόκοψαν ὅλοι οἱ ἅγιοι, μὲ πειρασμοὺς καὶ πολλὲς θλίψεις, καὶ εὐαρέστησαν τὸ Θεὸ μὲ τὴ βοήθεια τῆς χάριτός του. Μὴ φοβηθεῖς οὔτε νὰ παραλύσεις· διότι πιστεύουμε ὅτι ὁ Θεὸς εἶναι αὐτὸς ποὺ σὲ φυτεύει καὶ σὲ ποτίζει καὶ σὲ αὐξάνει, μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

500

᾽Ερώτηση

Τί νὰ κάνω, πάτερ, ποὺ ἐνοχλοῦμαι ἀπὸ τὴν πορνεία;

᾽Απόκριση

Ταλαιπωρήσου ὅσο μπορεῖς· καὶ αὐτὸ σημαίνει κατ' ἀναλογία μὲ τὴ δύναμή σου· καὶ νὰ μὴ ἔχεις ἐμπιστοσύνη σ' αὐτό, ἀλλὰ στὴν ἀγάπη καὶ προστασία τοῦ Θεοῦ, καὶ νὰ μὴ κυριευθεῖς ἀπὸ ἀκηδία· διότι ἡ ἀκηδία ὑπεισέρχεται σὲ κάθε κακὴ ἀρχή.

68. Σοφ. Σειρὰχ 2,1.
69. Ἰακ. 1,12.

ΦΑ'

Ἐρώτησις

Ἐπειδή, ἐὰν λαλῶ τῷ ἀδελφῷ μου, πολλάκις μετ' ὀργῆς λέγω τὸν λόγον· καὶ ἐὰν ὡς ἀγάπῃ θελήσω, εὐθέως μετὰ ἡδύτητος αἰσχρᾶς καὶ κινήσεως τοῦ σώματος κακῶς κινοῦμαι, μηδὲ εἰς πρόσωπον ἀτενίσαι τοῦ ἀδελφοῦ ἄνευ τούτων δυνάμενος, τί ποιήσω, πάτερ;

Ἀπόκρισις

Τὸ λαλῆσαι μετ' ὀργῆς ἢ κινουμένου τοῦ σώματος τῷ ἀδελφῷ μετὰ ἀγάπης, τὰ δύο θάνατός ἐστιν· ἀφεὶς οὖν τὰ ἀμφότερα, μετὰ ἕξεως λάλει τῷ ἀδελφῷ σου, καὶ βοηθεῖ σοι ὁ Θεός· καὶ σὺν πᾶσι τούτοις, φύλαξον τοὺς ὀφθαλμούς σου καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΦΒ'

Ἐρώτησις

Τί ποιήσω ὀχλούμενος ὑπὸ τοῦ πολέμου τῆς γαστριμαργίας καὶ τῶν ἄλλων παθῶν καὶ τῆς φιλαργυρίας;

Ἀπόκρισις

Ὅταν πολεμῇ σε τὸ πάθος τῆς γαστριμαργίας, ἀγώνισαι ὅσον ἔχεις δύναμιν, μὴ δοῦναι τῷ σώματι ὅσον χρῄζει κατὰ Θεόν. Καὶ ἐπὶ τῆς φιλαργυρίας ὁμοίως· ἕως οὗ ὁ πόλεμος ὀχλεῖ σοι μὴ κτήσῃς περισσὸν τίποτε ἕως χιτῶνος, καὶ εἰς ὄστρακα καὶ εἰς αὐτὴν τὴν λεπτὴν ὕλην ἀγώνισαι· μετὰ δὲ τὸ νικῆσαι σὺν Θεῷ τὸν πόλεμον, κτῆσαι τὴν χρείαν σου κατὰ Θεόν. Καὶ ἐπὶ τῶν ἄλλων παθῶν τὸ αὐτὸ ποίει.

501

Ἐρώτηση

Ἐπειδή, ἂν μιλῶ στὸν ἀδελφό μου, πολλὲς φορὲς λέγω τὸ λόγο μὲ ὀργή, καὶ ἂν θελήσω νὰ μιλήσω μὲ ἀγάπη, ἀμέσως κινοῦμαι κακῶς μὲ αἰσχρὴ εὐχαρίστηση καὶ κίνηση τοῦ σώματος, μὴ μπορώντας νὰ κοιτάξω τὸν ἀδελφὸ οὔτε στὸ πρόσωπο χωρὶς αὐτά, τί νὰ κάνω, πάτερ;

Ἀπόκριση

Τὸ νὰ μιλήσεις στὸν ἀδελφό σου μὲ ὀργὴ ἢ μὲ ἀγάπη συνοδευόμενη ἀπὸ κίνηση τοῦ σώματος, αὐτὰ τὰ δύο εἶναι θάνατος. Ἀφήνοντας λοιπὸν καὶ τὰ δύο, μίλα φυσικὰ στὸν ἀδελφό σου, καὶ θὰ σὲ βοηθήσει ὁ Θεός· καὶ μαζὶ ὅλα αὐτά, φύλαξε τὰ μάτια σου, καὶ προσευχήσου γιὰ μένα.

502

Ἐρώτηση

Τί νὰ κάνω, ἐπειδὴ ἐνοχλοῦμαι ἀπὸ τὸν πόλεμο τῆς γαστριμαργίας, καὶ τῶν ἄλλων παθῶν, καθὼς καὶ τῆς φιλαργυρίας;

Ἀπόκριση

Ὅταν σὲ πολεμεῖ τὸ πάθος τῆς γαστριμαργίας, ἀγωνίσου μὲ ὅση δύναμη ἔχεις, νὰ μὴ δώσεις στὸ σῶμα ὅσο χρειάζεται, κατὰ Θεό. Καὶ γιὰ τὴ φιλαργυρία παρόμοια. Ὅσο θὰ σὲ ἐνοχλεῖ ὁ πόλεμος νὰ μὴ ἀποκτήσεις τίποτε περιττὸ μέχρι χιτώνα, καὶ κοπίασε στὰ ὄστρακα καὶ σ' αὐτὴ τὴ λεπτὴ ὕλη. Μετὰ τὴ νίκη ὅμως στὸν πόλεμο μὲ τὴ βοήθεια τοῦ Θεοῦ, ἀπόκτησε ὅσα σοῦ χρειάζονται κατὰ Θεό. Τὸ ἴδιο κάνε καὶ μὲ τὰ ἄλλα πάθη.

ΦΓ'

Ἐρώτησις

Ἀδελφὸς συνοικῶν γέροντι ἠρώτησε τὸν αὐτὸν γέροντα Ἰωάννην περὶ διαίτης καὶ ὕπνου καὶ τῆς αὐτῷ συμβαινούσης ταραχῆς πρὸς τὰ δοκοῦντα αὐτῷ μὴ ὀρθῶς παρὰ τοῦ γέροντος γίνεσθαι.

Ἀπόκρισις

Οἱ γέροντες λέγουσιν, ὅτι ἀναπαῦσαι τὸν πλησίον, ἀρετή ἐστι καὶ μεγάλη, μάλιστα ὅταν οὐ δι' ἧτταν ἢ ἀσωτίαν ποιεῖ τις τὸ πρᾶγμα. Σὺ τὸ ἀρκετὸν τοῦ σώματος φύλαξον, κἂν φάγῃς τρίτον, οὐ βλάπτῃ· τί γὰρ ἐὰν φάγῃ ἄνθρωπος ἅπαξ ἀδιακρίτως; τί αὐτῷ ὠφελεῖ; Μάθε οὖν μετ' ἐλευθερίας τὸν λογισμὸν τοῦ γέροντος. Ὁπότε γὰρ κατὰ Θεὸν ζῆτε ἀμφότεροι, καὶ αὐτὸς κατὰ φόβον Θεοῦ ὀφείλει εἰπεῖν τὴν ἐλευθερίαν· καὶ εἴ τι λέγει ὅτι ἀναπαύει αὐτόν, αὐτὸ ποίησον, καὶ τοῦτό ἐστι τὸ θέλημα τοῦ Θεοῦ.

Ὁ δὲ ὕπνος δύο τρόπους ἔχει· ἔστιν ὅτε ἀπὸ πολυφαγίας βαρεῖται τὸ σῶμα, καὶ ἔστιν ἀπὸ ἀδυναμίας· τὸ μὴ δύνασθαί τινα λειτουργῆσαι, καὶ ἔρχεται ὁ ὕπνος· τῇ δὲ πολυφαγίᾳ ἐπακολουθεῖ ὁ πόλεμος τῆς πορνείας· βαρεῖ γὰρ αὐτὸν εἰς τὸν ὕπνον πρὸς τὸ μολῦναι αὐτοῦ τὸ σῶμα. Λοιπὸν ὁ διακρίνων μανθάνει πῶς καὶ πόθεν γίνεται αὐτῷ τοῦτο. Ποιῆσαι δὲ τὴν δύναμιν ἡμῶν ἀπαιτούμεθα καὶ οὐδὲν περισσόν· καὶ ἡ σκέπη τοῦ Θεοῦ καὶ τὸ ἔλεός ἐστιν ἐνδυναμῶσαι τὴν ἀδυναμίαν ἡμῶν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ, καὶ ποίησον ἀγάπην λαλῶν τῷ πλησίον. Διάκρινον, εἰ μὲν μετὰ ταπεινώσεως καὶ διακρίσεως ἀταράχως λαλεῖς, λάλησον, εἰ δέ ἐστί τί ποτε μὴ τοιοῦτον, ἄγξον

503

Ἐρώτηση

Ἀδελφὸς ποὺ συγκατοικοῦσε μὲ γέροντα ἐρώτησε τὸν ἴδιο γέροντα Ἰωάννη γιὰ τὴ δίαιτα καὶ τὸν ὕπνο καὶ τὴν ταραχὴ ποὺ συμβαίνει σ' αὐτὸν ἀπὸ ὅσα τοῦ φαίνονται ὅτι δὲν κάνει σωστὰ ὁ γέροντας.

Ἀπόκριση

Οἱ γέροντες λέγουν, ὅτι τὸ νὰ ἀναπαύσει κανεὶς τὸν πλησίον εἶναι μεγάλη ἀρετή, μάλιστα ὅταν δὲν τὸ κάνει αὐτὸ ἀπὸ ἧττα ἢ ἀσωτία. Ἐσὺ φύλαξε τὴν ἐπάρκεια τοῦ σώματος καὶ ἂν φάγεις μέρα παρὰ μέρα δὲν βλάπτεσαι· διότι τί σημασία ἔχει ἐὰν φάγει ὁ ἄνθρωπος μία φορὰ ἀδιακρίτως; Τί τὸν ὠφελεῖ; Μάθε λοιπὸν μὲ ἐλευθερία τὸν λογισμὸ τοῦ γέροντα. Διότι, ἀφοῦ ζεῖτε καὶ οἱ δύο κατὰ Θεό, καὶ αὐτὸς σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ ὀφείλει νὰ πεῖ τὴν ἐλευθερία· καὶ ἂν λέγει ὅτι κάτι τὸν ἀναπαύει, κάνε το καὶ σύ, καὶ αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ.

Ὁ ὕπνος ὅμως ἔχει δύο τρόπους· μερικὲς φορὲς βαραίνει τὸ σῶμα ἀπὸ πολυφαγία καὶ μερικὲς φορὲς ἀπὸ ἀδυναμία. Ὅταν δὲν μπορεῖ κάποιος νὰ λειτουργήσει, ἔρχεται ὁ ὕπνος. Τὴν πολυφαγία ἀκολουθεῖ ὁ πόλεμος τῆς πορνείας· διότι αὐτὸς τὸν βαραίνει στὸν ὕπνο, γιὰ νὰ μολύνει τὸ σῶμα του. Αὐτὸς λοιπὸν ποὺ διακρίνει μαθαίνει πῶς καὶ ἀπὸ ποῦ τοῦ γίνεται αὐτό. Μᾶς ζητεῖται λοιπὸν νὰ κάνουμε ὅ,τι μᾶς ἐπιτρέπουν οἱ δυνάμεις μας καὶ τίποτα περισσότερο· καὶ ἡ προστασία τοῦ Θεοῦ καὶ τὸ ἔλεος εἶναι γιὰ νὰ δυναμώσουν τὴν ἀδυναμία μας· διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

Προσευχήσου γιὰ μένα, ἀδελφέ, καὶ μίλα μὲ ἀγάπη στὸν πλησίον. Κάνε διάκριση· ἐὰν μιλᾶς ἀτάραχα μὲ ταπείνωση καὶ διάκριση, μίλησε· ἐὰν ὅμως συμβαίνει κάτι διαφορετικό, ρίξε τὸ λογισμὸ καὶ καταντρόπιασέ τον, καὶ θὰ σταματήσει. Καὶ μὴ

τὸν λογισμὸν καὶ καταίσχυνον αὐτὸν καὶ παύεται. Καὶ μὴ ταραχθῇς ἐπὶ πράγματι παρ' αὐτοῦ γινομένῳ, λέγων· 'ὁ Θεὸς οἶδε τὸ συμφέρον', καὶ ἀναπαύῃ· ὑπόμνησον δὲ αὐτὸν μετὰ ταπεινώσεως καὶ ἄφες αὐτὸν ὡς θέλει ποιῆσαι.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφὲ τιμιώτατε.

ΦΔ'

Ἐρώτησις

Ἐάν τις μένῃ μετὰ γέροντος καὶ οὐκ ᾖ ἱκανὸς ὁ γέρων ἀποκρίνασθαι ἐρωτώμενος, θλίβεται δὲ ὁ ἀδελφὸς ὑπὸ λογισμῶν, ἆρα ὀφείλει ἐρωτᾶν ἄλλον γέροντα, εἴτε κατὰ γνώμην αὐτοῦ, εἴτε παρὰ γνώμην, ἢ ὡς συντριβόμενος ὑπὸ τῶν λογισμῶν;

Ἀπόκρισις

Ἐὰν οἶδεν ὅτι θέλει ὁ ἀββᾶς αὐτοῦ ὠφελῆσαι τὴν ψυχὴν αὐτοῦ, ὀφείλει θαρρῆσαι αὐτῷ, ὅτι 'λογισμοὺς ἔχω, τί δοκιμάζεις ποιήσω;' Καὶ αὐτὸς ἐφ' ἑαυτοῦ ὡς ἄνθρωπος ἔχων υἱὸν ἀρρωστοῦντα, καὶ μετὰ σπουδῆς λαμβάνων αὐτὸν εἰς ἰατρόν, οὐ μόνον δέ, ἀλλὰ καὶ μισθοὺς ὑπὲρ αὐτοῦ παρέχων, οὕτω καὶ αὐτὸς μετὰ χαρᾶς λαμβάνει τὸν μαθητὴν αὐτοῦ πρὸς ἄνθρωπον ἔχοντα τοῦτο τὸ χάρισμα· ἤγουν πέμπει αὐτὸν πρὸς αὐτόν. Εἰ δὲ οἶδεν ὅτι οὐ δύναται τοῦτο βαστάσαι ὁ γέρων, μηδὲν αὐτῷ εἴπῃ· ἀλλ' ἐὰν εὕρῃ εὐκαιρίαν, οἰκονομοῦντος τοῦ Θεοῦ πρόφασιν, ἐρωτῆσαι ἄλλον γέροντα πνευματικὸν περὶ τῶν λογισμῶν αὐτοῦ, παρακαλῶν αὐτὸν μὴ μαθεῖν τὸν ἀββᾶν αὐτοῦ, ἐπεὶ ῥίπτει αὐτὸν εἰς τὸ πάθος τοῦ φθόνου, καὶ γίνεται αὐτῷ εἰς μεγάλην θλῖψιν, τὸ ἐκτὸς αὐτοῦ ἐρωτῆσαι. Καὶ μὴ σκανδαλισθῇ εἰς αὐτόν, ὡς μὴ ἔχοντα τοιοῦτον χάρισμα, οὐ πᾶσι γὰρ ἐδόθη.

ταραχθεῖς γιὰ πρᾶγμα ποὺ γίνεται ἀπὸ αὐτόν, λέγοντας, 'ὁ Θεὸς γνωρίζει τὸ συμφέρον', καὶ ἀναπαύεσαι. Ὑπενθύμισέ τον μὲ ταπείνωση καὶ ἄφησέ τον νὰ κάνει ὅπως θέλει.

Προσευχήσου γιὰ μένα, τιμιώτατε ἀδελφέ.

504

Ἐρώτηση

Ἐὰν κανεὶς μένει μὲ γέροντα καὶ δὲν εἶναι ἱκανὸς ὁ γέροντας νὰ ἀποκρίνεται ὅταν ἐρωτᾶται, θλίβεται ὅμως ὁ ἀδελφὸς ἀπὸ λογισμούς, ἄραγε πρέπει νὰ ἐρωτᾶ ἄλλον γέροντα, εἴτε σύμφωνα μὲ τὴ γνώμη αὐτοῦ, εἴτε ἀντίθετα ἀπὸ τὴ γνώμη, ἐπειδὴ συντρίβεται ἀπὸ τοὺς λογισμούς;

Ἀπόκριση

Ἐὰν γνωρίζει ὅτι ὁ ἀββᾶς θέλει νὰ ὠφελήσει τὴν ψυχή του, ὀφείλει νὰ ἔχει ἐμπιστοσύνη σ' αὐτόν, καὶ νὰ τοῦ πεῖ, 'ἔχω λογισμούς· τί κρίνεις σωστὸ νὰ κάνω;' Καὶ αὐτὸς ἀπὸ μόνος του, σὰν ἄνθρωπος ποὺ ἔχει ἄρρωστο υἱὸ καὶ μὲ φροντίδα τὸν ὁδηγεῖ στὸ γιατρό, καὶ ὄχι μόνο αὐτό, ἀλλὰ παρέχει καὶ ἀμοιβὴ γι' αὐτόν, ἔτσι καὶ αὐτὸς ὁδηγεῖ μὲ χαρὰ τὸν μαθητὴ σὲ ἄνθρωπο ποὺ ἔχει αὐτὸ τὸ χάρισμα· δηλαδὴ τὸν στέλλει πρὸς αὐτόν. Ἐὰν ὅμως γνωρίζει ὅτι ὁ γέροντας δὲν μπορεῖ νὰ τὸ βαστάξει αὐτό, νὰ μὴ πεῖ τίποτα σ' αὐτόν, ἀλλά, ἂν βρεῖ εὐκαιρία, ἀφοῦ οἰκονομήσει πρόφαση ὁ Θεός, νὰ ἐρωτήσει ἄλλον πνευματικὸ γέροντα γιὰ τοὺς λογισμούς του, παρακαλώντας τον νὰ μὴ τὸ μάθει ὁ ἀββᾶς του, διότι ἀλλιῶς τὸν ρίχνει στὸ πάθος τοῦ φθόνου, καὶ τοῦ προξενεῖ μεγάλη θλίψη μὲ τὸ νὰ ἐρωτήσει χωρὶς τὴν ἔγκρισή του. Καὶ νὰ μὴ σκανδαλισθεῖ μὲ αὐτόν, ἐπειδὴ δὲν ἔχει τέτοιο χάρισμα[69α], διότι αὐτὸ δὲν δόθηκε σὲ ὅλους. Ἂν βέβαια ψάξει, θὰ βρεῖ ὅτι ὁ ἀββᾶς του

69α. Ὁ ἀδελφὸς δὲν πρέπει νὰ σκανδαλισθεῖ ποὺ ὁ γέροντας δὲν ἔχει τὸ πνευματικὸ χάρισμα, διότι αὐτὸ δὲν δόθηκε σ' ὅλους.

Καὶ ἐὰν ψηλαφήσῃ, εὑρίσκει ὅτι πάντως ἔχει ὁ ἀββᾶς αὐτοῦ ἄλλο χάρισμα. Τὰ γὰρ χαρίσματα τοῦ Πνεύματος διάφορά εἰσι καὶ τοῖς ἀνθρώποις μεμερισμένα· τῷ μὲν οὕτως, τῷ δὲ οὕτως. Ἐφ' ὅσον δὲ οὐχ εὑρίσκει καιρὸν τοῦ ἐρωτῆσαι, ὑπομείνῃ δεόμενος τοῦ Θεοῦ βοηθῆσαι αὐτῷ.

ΦΕ'

Ἐρώτησις

Ἀδελφὸς κινούμενος εὐχερῶς εἰς ὀργὴν ἠρώτησε τὸν αὐτὸν γέροντα περὶ τούτου.

Ἀπόκρισις *Ἰωάννου.*

Εἰ ἐπύκτευες τοῦ ἀποθανεῖν ἀπὸ παντὸς ἀνθρώπου καὶ δέξασθαι μικρὰν ταπείνωσιν, εἶχες ἀναπαῆναι καὶ εὐλυτῶσαι ἀπὸ πολλῶν κινδύνων. Ταπεινωθήτω ἡ καρδία σου ἐνώπιον τοῦ Θεοῦ καὶ ἡ ἀγαθότης αὐτοῦ συναντιλαμβάνεται ἡμῖν εἰς πάντα.

ΦS'

Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Γέροντα.

Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ὅτι ἀσθενῶ ψυχῇ καὶ σώματι, ἵνα ἐνδυναμώσῃ με ὁ Κύριος εἰς τὸ εὐχαριστῆσαι αὐτῷ· καὶ ὑπὲρ τοῦ συνόντος μοι ἀδελφοῦ, ὅτι καὶ αὐτὸς χρῄζει ἐλέους.

Ἀπόκρισις *Βαρσανουφίου.*

Ὁ Κύριος ἐνδυναμώσοι σε εἰς πᾶν ἔργον ἀγαθὸν ὡς ᾔτησας. Ἰδοὺ καὶ τοῦτο ἔργον ἐστὶν ἀγαθὸν τὸ συνελθεῖν τῷ μετὰ σοῦ ἀδελφῷ κατὰ δύναμιν. Καὶ ὁ εἰπών, «πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν», ἐμβάλλοι αὐτὸ εἰς σὴν καρδίαν καὶ τὴν ἐμήν, καὶ ἴδω σε θάλλοντα ὡς τὰς κέδρους τοῦ Λιβά-

70. Λουκᾶ 12,49.

ἔχει ὁπωσδήποτε ἄλλο χάρισμα. Διότι τὰ χαρίσματα τοῦ Πνεύματος εἶναι διάφορα καὶ μοιρασμένα στοὺς ἀνθρώπους· σὲ ἄλλον ἔτσι, σὲ ἄλλον ἀλλιῶς. Ἐφόσον ὅμως δὲν βρίσκει καιρὸ νὰ ἐρωτήσει, νὰ δείξει ὑπομονή, παρακαλώντας τὸ Θεὸ νὰ τὸν βοηθήσει.

505

Ἐρώτηση

Ἀδελφὸς παρασυρόμενος εὔκολα σὲ ὀργὴ ἐρώτησε τὸν ἴδιο γέροντα γι' αὐτό.

Ἀπόκριση Ἰωάννη.

Ἐὰν ἀγωνιζόσουν νὰ πεθάνεις ἀπὸ κάθε ἄνθρωπο καὶ νὰ δεχθεῖς λίγη ταπείνωση, θὰ μποροῦσες ν' ἀναπαυθεῖς καὶ νὰ γλυτώσεις ἀπὸ πολλοὺς κινδύνους. Ἂς ταπεινωθεῖ ἡ καρδιά σου ἐνώπιον τοῦ Θεοῦ καὶ ἡ ἀγαθότητά του θὰ μᾶς βοηθήσει σὲ ὅλα.

506

Ἀδελφὸς παρακάλεσε τὸν μεγάλο Γέροντα.

Προσευχήσου γιὰ μένα, πάτερ, διότι ἀσθενῶ στὴν ψυχὴ καὶ στὸ σῶμα, γιὰ νὰ μὲ ἐνδυναμώσει ὁ Κύριος, ὥστε νὰ τὸν εὐχαριστήσω. Ἐπίσης καὶ γιὰ τὸν ἀδελφὸ ποὺ εἶναι μαζί μου, διότι χρειάζεται καὶ αὐτὸς ἔλεος.

Ἀπόκριση Βαρσανουφίου.

Εἴθε ὁ Κύριος νὰ σὲ ἐνδυναμώσει σὲ κάθε ἀγαθὸ ἔργο, ὅπως ζήτησες. Νά, καὶ αὐτὸ εἶναι ἀγαθὸ ἔργο, τὸ νὰ εἶστε ἑνωμένοι κατὰ δύναμη μὲ τὸν ἀδελφὸ ποὺ εἶναι μαζί σου. Καὶ αὐτὸς ποὺ εἶπε, «ἦρθα νὰ βάλω φωτιὰ στὴ γῆ»[70] εἴθε νὰ βάλει αὐτὴν στὴν δική σου καρδιὰ καὶ στὴ δική μου καὶ νὰ σὲ δῶ θαλερὸ σὰν τοὺς κέδρους τοῦ Λιβάνου καὶ ἀνθισμένο

νου, καὶ ἀνθοῦντα ὡς φοίνικα ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ μου. Καὶ γὰρ τούτων οὕτως ἐχόντων, κἀγὼ γεύομαί σου τῶν ἀγαθῶν καὶ εὐφραίνομαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΦΖ'

Ἐρώτησις

Πάτερ, εὖξαι ὑπὲρ ἐμοῦ, καὶ παρακαλῶ μαθεῖν πόθεν ἡ τοσαύτη ἀδυναμία συμβαίνει, καὶ εἰς τὴν λειτουργίαν μου καὶ εἰς τὸ ἐργόχειρόν μου, καὶ ἀπὸ τῆς ὀλιγωρίας ἐπὶ τὸ φαγεῖν καὶ κοιμηθῆναι κλίνει ὁ λογισμός.

Ἀπόκρισις

Περὶ τῆς εὐχῆς, εἰ ἄρα ἔχω εὐχήν, οὐ δύναμαι εὔξασθαι περὶ τῆς ἐμαυτοῦ ψυχῆς περισσότερον τῆς σῆς· τρέμω γὰρ τὸν λέγοντα, «ζήτησον τὸν πλησίον σου ὡς σεαυτόν». Ἀλλ' ἐγὼ τέως ποιῶ μου τὴν δύναμιν, τοῦ δὲ Θεοῦ ἐστι τὸ ἔλεος, ὅς ἐποίησε μεθ' ἡμῶν ἤδη μέγα ἔλεος καὶ ποιεῖ· οὐκ ἀρνοῦμαι ὅτι ἐποίησεν, ἐπεὶ ἀχαριστία εὑρίσκεται.

Περὶ δὲ τῆς ἀδυναμίας, τὸ ἅπαξ εἶναι οὕτω καὶ ἅπαξ οὕτως, ἡ ὁδὸς οὕτως ἐστί· περιπατεῖ τις ὀλίγον λείαν ὁδόν, καὶ πάλιν εὑρίσκει κρημνοὺς καὶ ὄρη, καὶ ἀπαντᾷ πάλιν εἰς εὐθεῖαν ὁδόν. Ἐπειδὴ δὲ λέγει, «ἐν παντὶ εὐχαριστεῖτε, ὀφειλέται ἐσμέν», περὶ δὲ τοῦ φαγεῖν καὶ πιεῖν καὶ κοιμηθῆναι, προηγείσθω ἡ εὐχαριστία. Μελέτησον εἰς τὸ ρητὸν τοῦ Ἀποστόλου ὅτι, «εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ἕτερον ποιεῖτε» καὶ φύλαξον ἐν παντί, καὶ φυλάττει σε ὁ τῆς εὐχαριστίας Θεός.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

71. Ματθ. 5,43. Μάρκ. 12,31. Λουκᾶ 10,27. Γαλ. 5,14.
72. Α' Θεσ. 5,18.

σὰν τὸν φοίνικα στὸν παράδεισο τοῦ Θεοῦ μου. Διότι, ἂν αὐτὰ συμβαίνουν ἔτσι, τότε καὶ ἐγὼ θὰ γεύομαι τὰ ἀγαθά σου καὶ θὰ εὐφραίνομαι στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

507

Ἐρώτηση

Πάτερ, προσευχή σου γιὰ μένα, καὶ παρακαλῶ νὰ μάθω ἀπὸ ποῦ μοῦ συμβαίνει ἡ τόση μεγάλη ἀδυναμία καὶ στὴ λειτουργία μου καὶ στὸ ἐργόχειρό μου· ἀπὸ τὴν ὀλιγωρία ὁ λογισμὸς κλίνει στὸ φαγητὸ καὶ στὸν ὕπνο.

Ἀπόκριση

Γιὰ τὴν προσευχή, ἐὰν πράγματι ἔχω προσευχή, δὲ μπορῶ νὰ προσεύχομαι γιὰ τὴ δική μου ψυχὴ περισσότερο ἀπὸ τὴ δική σου, διότι τρέμω ἐκεῖνον ποὺ λέγει· «ζή-«τησε τὸν πλησίον σου σὰν τὸν ἑαυτό σου»[71]. Ἀλλὰ ἐγὼ μέχρι τώρα κάνω τὰ δυνατά μου, ἐνῶ τὸ ἔλεος εἶναι τοῦ Θεοῦ, ὁ ὁποῖος μᾶς χάρισε μεγάλο ἔλεος καὶ μᾶς χαρίζει· δὲν ἀρνοῦμαι ὅτι μᾶς χάρισε, διότι θὰ εἶναι ἀχαριστία.

Ὅσο γιὰ τὴν ἀδυναμία, τὸ νὰ εἶναι τὴ μία φορὰ ἔτσι καὶ τὴν ἄλλη ἀλλιῶς, ὁ δρόμος εἶναι αὐτός. Περπατᾶ κανεὶς λίγο ὁμαλὸ δρόμο, καὶ πάλι βρίσκει γκρεμοὺς καὶ βουνά, καὶ ἔπειτα βαδίζει πάλι στὸν εὐθὺ δρόμο. Ἐπειδὴ ὅμως λέγει, «γιὰ τὸ κάθε τι νὰ εὐχαριστεῖτε»[72], «εἴμαστε ὀφειλέτες»[73], στὸ φαγητὸ καὶ τὸ ποτὸ καὶ τὸν ὕπνο νὰ προηγεῖται ἡ εὐχαριστία. Μελέτησε τὸ ρητὸ τοῦ Ἀποστόλου, «εἴτε τρώγετε, εἴτε πίνετε, εἴτε κάνετε κάτι ἄλλο»[74], καὶ ἐφάρμοσέ το σὲ κάθε περίπτωση, καὶ ὁ Θεὸς τῆς εὐχαριστίας θὰ σὲ φυλάγει.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

73. Ρωμ. 8,12.

74. Α' Κορ. 10,31.

ΦΗ'

Τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐρωτήσαντα, εἰ δεῖ κεχρῆσθαι φαρμάκῳ.

Ἀπόκρισις

Ἀδελφέ, οἱ χρώμενοι ἰατροῖς καὶ οἱ μὴ χρώμενοι, ἐπ' ἐλπίδι Θεοῦ χρῶνται, λέγοντες· 'ἐν ὀνόματι Κυρίου πιστεύομεν ἑαυτοὺς ἰατροῖς, ὅτι παρέχει τὴν ἴασιν δι' αὐτῶν'· καὶ οἱ μὴ χρώμενοι, ἐπ' ἐλπίδι τοῦ ὀνόματος αὐτοῦ οὐ χρῶνται, καὶ θεραπεύει αὐτούς. Ἐὰν οὖν χρήσῃ, οὐχ ἥμαρτες· καὶ ἐὰν μὴ χρήσῃ, μὴ ὑψηλοφρονήσῃς· τοῦτο δὲ ἵνα μάθῃς, ὅτι, ἐὰν χρήσῃ ἰατροῖς, τὸ θέλημα τοῦ Θεοῦ γίνεται καὶ οὐδὲν ἄλλο. Ἐὰν δὲ θέλῃς τὸν λόγον τοῦ Ἠλιοὺ κρατῆσαι ὃν ἔλεγε, «τὴν σήμερον ἀμεριμνεῖς».

ΦΘ'

Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, καὶ εἰπέ μοι τί ἐστι ὅτι τὴν νύκτα ὡς θέλω ψάλαι, ὄκνου αἰσθάνομαι, καὶ μάλιστα ὅτε γίνεται ψύχρα· καὶ λοιπὸν τὰς πολλὰς καθεζόμενος ψάλλω δῆθεν καὶ εὔχομαι. Ἐπεὶ οὖν φοβοῦμαι μὴ ἀπὸ ῥᾳθυμίας ταῦτα πάσχω, καταξίωσον, πάτερ, φώτισόν μου λοιπὸν τὸν νοῦν, ἵνα ποιήσω εἴ τι λέγω.

Ἀπόκρισις

Τὸ ὑπὲρ ἀλλήλων εὔχεσθαι πάντες ἐνετάλθημεν. Περὶ δὲ ὧν ἠρώτησας μαθεῖν θέλων τί ἐστιν, ἔστι μέρος μεμιγμένον τοῦ σπέρματος τῶν δαιμόνων καὶ μέρος τῆς ἀσθενείας τοῦ σώματος· ὥστε οὖν τὸ ψάλλειν ἢ τὸ εὔξασθαι

75. Ἐννοεῖ ν' ἀφήνεις τὸ θέμα στὸ Θεό.

508

Τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο
ποὺ ἐρώτησε, ἐὰν πρέπει νὰ χρησιμοποιεῖ φάρμακα.

Ἀπόκριση

Αδελφέ, ἐκεῖνοι ποὺ χρησιμοποιοῦν γιατρούς, καὶ ἐκεῖνοι ποὺ δὲν χρησιμοποιοῦν, τὸ κάνουν μὲ τὴν ἐλπίδα στηριγμένη στὸ Θεό, οἱ πρῶτοι λέγοντας, 'στὸ ὄνομα τοῦ Κυρίου ἐμπιστευόμαστε τοὺς ἑαυτούς μας στοὺς γιατρούς, διότι μέσω αὐτῶν παρέχει τὴ γιατρειά· καὶ ἐκεῖνοι ποὺ δὲν τοὺς χρησιμοποιοῦν, δὲν τοὺς χρησιμοποιοῦν μὲ τὴν ἐλπίδα τοῦ ὀνόματός του, καὶ τοὺς θεραπεύει. Ἐὰν λοιπὸν χρησιμοποίησες, δὲν ἁμάρτησες, καὶ ἂν δὲν χρησιμοποίησες, μὴ ὑψηλοφρονήσεις. Κι αὐτὸ συμβαίνει γιὰ νὰ μάθεις, ὅτι, ἂν χρησιμοποίησες γιατρούς, γίνεται τὸ θέλημα τοῦ Θεοῦ καὶ τίποτε ἄλλο. Ἐὰν ὅμως θέλεις ἐφάρμοσε τὸν λόγο τοῦ Ἠλία, ὁ ὁποῖος ἔλεγε, «νὰ ἀμεριμνεῖς ἀπὸ σήμερα»[75].

509

Πάτερ, προσευχήσου γιὰ μένα καὶ πές μου, τί σημαίνει ποὺ τὴ νύχτα, ὅταν θέλω νὰ ψάλλω, αἰσθάνομαι ὀκνηρία, καὶ μάλιστα ὅταν εἶναι ψύχρα· καὶ ἔτσι τὶς περισσότερες φορὲς καθιστὸς ψάλλω δῆθεν καὶ προσεύχομαι. Ἐπειδὴ λοιπὸν φοβᾶμαι μήπως αὐτὰ τὰ παθαίνω ἀπὸ ραθυμία, καταξίωσέ με, πάτερ, νὰ λάβει ὁ νοῦς μου ἀπὸ ἐδῶ καὶ στὸ ἑξῆς φωτισμό, γιὰ νὰ κάνω ὅ,τι λέγω.

Ἀπόκριση

Ολοι διαταχθήκαμε νὰ προσευχόμαστε ὁ ἕνας γιὰ τὸν ἄλλον. Ὅσο γι' αὐτὰ ποὺ ἐρώτησες θέλοντας νὰ μάθεις τί εἶναι, ἕνα μέρος εἶναι ἀνακατεμένο μὲ τὸ σπέρμα τῶν δαιμόνων καὶ ἕνα μέρος εἶναι ἀπὸ ἀσθένεια τοῦ σώμα-

καθήμενον μετὰ κατανύξεως, οὐκ ἐμποδίζει τὸ εὐαρεστῆσαι τῷ Θεῷ τὴν λειτουργίαν. Ἐὰν γὰρ στήκων ποιήσῃ τις μετὰ ρεμβασμοῦ, εἰς οὐδὲν λογίζεται ὁ κόπος αὐτοῦ.

Ὁ Κύριος βοηθήσοι σοι, ἀδελφέ. Ἀμήν.

ΦΙ'

Ἐρώτησις

Παρακαλῶ τὴν ἁγιωσύνην σου, πάτερ, ἐπεὶ ἀσθενῶ ψυχῇ καὶ σώματι, ἔχω δὲ ἱκανὰς ἡμέρας τῷ σώματι ἐπιπλεῖον ἀσθενῶν, ὥστε τὰς πρωινὰς τρέφεσθαι, πολλάκις δὲ καὶ εἰς τὸ χαράδριον κεῖμαι καὶ ἔστιν ὅτε εὐχαριστεῖ ἡ ψυχή μου λέγουσα, ὅτι 'ὁ Θεὸς συνεχώρησέ μοι τὴν ἀσθένειαν ταύτην διὰ τὰς πολλάς μου ἁμαρτίας'. Μίαν μίαν δὲ θλίβομαι λέγων μετ' ὀλιγωρίας, ὅτι 'οὔκ εἰμι ἄξιος ὡς πάντες, φαγεῖν τὸν ἄρτον μου ἅπαξ τῆς ἡμέρας μετὰ ἀναπαύσεως'. Καὶ πάλιν λέγει μοι ὁ λογισμός, 'μὴ ἀντειπεῖν ἔνι τῷ Θεῷ; οὐκ οἶδε τὰ πάντα; μὴ χωρὶς αὐτοῦ δύναταί τι γενέσθαι; ὑπόμεινον μετ' εὐχαριστίας'. Δέομαί σου, πάτερ, διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, εὖξαι ὑπὲρ ἐμοῦ, καὶ δήλωσόν μοι πῶς ὀφείλω παρελθεῖν, ἵνα μὴ ὑπὸ τῆς λύπης καταποθῶ.

Ἀπόκρισις

Η ἁγιωσύνη σου τῇ ἁγιωσύνῃ μου ἔγραψεν εὔξασθαι ὑπὲρ τῆς σῆς θεοφιλίας. Καὶ ἐγὼ δὲ ὁ ἀσύνετος πατὴρ δέομαί σου τοῦ συνετοῦ υἱοῦ τὸ αὐτὸ ποιῆσαι καὶ εὔξασθαι ὑπὲρ ἐμοῦ τοῦ ἀναλίσκοντος αὐτοῦ τὰς ἡμέρας ἐν ματαιότητι· σὺ μὲν λέγεις, ὅτι κἂν ἅπαξ εὐχαριστεῖς τῷ Θεῷ, ἐγὼ δὲ οὐδέποτε. Ἀλλ' ἐπειδὴ οὐ δύναμαι σιωπῆσαι, ὡς ὑπολαμβάνω λέγω· ὅτι, ἐὰν μὴ δι' ἡδονὴν ἐσθίῃ τις, ἀλλὰ δι' ἀσθένειαν

τος· ὥστε λοιπὸν τὸ νὰ ψάλλεις ἢ νὰ προσεύχεσαι καθιστὸς μὲ κατάνυξη, δὲν ἐμποδίζει τὴ λειτουργία νὰ εὐαρεστήσεις τὸ Θεό. Διότι, ἂν τὴν κάνει κανεὶς ὄρθιος μὲ ὀνειροπολήματα, δὲν ὑπολογίζεται καθόλου ὁ κόπος του.

Εἴθε ὁ Κύριος νὰ σὲ βοηθήσει, ἀδελφέ. Γένοιτο.

510

Ἐρώτηση

Πάτερ, παρακαλῶ τὴν ἁγιωσύνη σου, ἐπειδὴ ἀσθενῶ στὴν ψυχὴ καὶ στὸ σῶμα, καὶ ἔχω ἀρκετὲς ἡμέρες ποὺ ἀσθενῶ περισσότερο στὸ σῶμα, ὥστε νὰ τρώγω τὶς πρωϊνὲς ὧρες, πολλὲς φορὲς μάλιστα μένω ξαπλωμένος στὴν ψάθα καὶ μερικὲς φορὲς εὐχαριστεῖ ἡ ψυχή μου λέγοντας, 'ὁ Θεὸς μοῦ παραχώρησε αὐτὴ τὴν ἀσθένεια γιὰ τὶς πολλὲς ἁμαρτίες μου', κάπου κάπου ὅμως θλίβομαι λέγοντας μὲ ὀλιγωρία, 'δὲν εἶμαι ἄξιος, ὅπως ὅλοι, νὰ φάγω τὸν ἄρτο μου μία φορὰ τὴν ἡμέρα μὲ ἀνάπαυση', καὶ πάλι μοῦ λέγει ὁ λογισμός, 'μήπως ἐπιτρέπεται νὰ ἀντείπεις στὸ Θεό; δὲ γνωρίζει αὐτὸς τὰ πάντα; μήπως μπορεῖ νὰ γίνει κάτι χωρὶς αὐτόν; ὑπόμεινε μὲ εὐχαριστία', σὲ παρακαλῶ, πάτερ, γιὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, προσευχήσου γιὰ μένα καὶ δήλωσέ μου, πῶς πρέπει νὰ τὰ ἀντιμετωπίσω, γιὰ νὰ μὴ καταποθῶ ἀπὸ τὴ λύπη.

Ἀπόκριση

Η ἁγιωσύνη σου ἔγραψε στὴν ἁγιωσύνη μου νὰ προσευχηθεῖ γιὰ τὴ θεοφιλία σου. Καὶ ἐγὼ ὅμως ὁ ἀσύνετος πατέρας παρακαλῶ ἐσένα τὸν συνετὸ υἱὸ νὰ κάνεις τὸ ἴδιο καὶ νὰ προσευχηθεῖς γιὰ μένα ποὺ περνῶ τὶς ἡμέρες μὲ ματαιότητα. Διότι ἐσὺ λές, ὅτι, ἔστω καὶ μία φορά, εὐχαριστεῖς τὸ Θεό, ἐνῶ ἐγὼ ποτέ. Ἀλλὰ ἐπειδὴ δὲ μπορῶ νὰ σιωπήσω, σοῦ λέγω αὐτὸ ποὺ νομίζω· ὅτι, ἂν κανεὶς τρώγει ὄχι γιὰ ἡδονή

σώματος, ὁ Θεὸς οὐ κατακρίνει αὐτόν· διὰ τὴν πλησμονὴν γὰρ καὶ διὰ τὰ σκιρτήματα τοῦ σώματος κωλύονται αἱ βρώσεις. Ὅπου δὲ πρόκειται ἀσθένεια, ἐκεῖ πρόκειται ἡ τούτων ἀργία τῆς ἐνεργείας· ὅπου γὰρ ἀσθένεια, ἐκεῖ ἐπίκλησις Θεοῦ. Λογίζομαι οὖν ὅτι τὸ δοῦναι τὴν χρείαν τῷ σώματι, ὡς ἀληθῶς χρεία ἐστί, καὶ τὸ εὐχαριστεῖν ἐν τῇ ἀσθενείᾳ οὐ κατακρίνει τὸν ἄνθρωπον· οὐ γὰρ ἀπαιτεῖ ὁ Θεὸς τὸν ἄνθρωπον ὑπὲρ τὴν δύναμιν.

Ὡς εἶχον ἐλάλησα· οὐ πάντως λέγω ὅτι ἀλήθειαν λαλῶ, ἀλλ' εἴ τι εἶχεν ἡ καρδία μου ἐξέφηνα. Λοιπὸν δοκίμασον καὶ σύ, καὶ εὑρίσκεις τὸ συμφέρον, καὶ συγχώρησόν μοι τῷ μηδέποτε δυνηθέντι σιωπῆσαι.

ΦΙΑ'

Ὁ αὐτὸς ἀσθενῶν καὶ μὴ δυνάμενος ἱστάμενος ποιῆσαι τὴν λειτουργίαν αὐτοῦ, μηδὲ μονοσιτεῖν, παρεκάλεσε τὸν αὐτὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ, καὶ δηλῶσαι αὐτῷ περὶ τούτου.

Ἀπόκρισις

Ὅταν ἔμελλον οἱ Ἑβραῖοι ἐλευθεροῦσθαι ἐκ τῆς τῶν Αἰγυπτίων δουλείας, στένωσιν καὶ θλῖψιν μεγάλην ὑπέμειναν ἀναμέσον θαλάσσης καὶ βαρβάρων χειρῶν· καὶ μετ' ἐκεῖνα τὰ σημεῖα καὶ τέρατα, ἃ εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν γεγονότα ἐν τοῖς Αἰγυπτίοις καὶ τῇ χώρᾳ αὐτῶν πάσῃ, ἐπελάθοντο τοῦ ταῦτα ποιήσαντος Θεοῦ καὶ ἤγγισαν εἰς ἀπόγνωσιν σωτηρίας, ὁρῶντες Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ πᾶσαν μέλλοντας ἐπιπεσεῖν αὐτοῖς. Μόνος δὲ Μωϋσῆς ὑπελείφθη ἐν τοῖς πρὸς τὸν παντοδύναμον Θεόν. Καὶ «ἐπειδὴ ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ», κράζοντι ἀπὸ καρδίας

ἀλλὰ γιὰ ἀσθένεια σώματος, ὁ Θεὸς δὲν τὸν κατακρίνει· διότι οἱ τροφὲς ἀπαγορεύονται μόνο γιὰ τὸν κορεσμὸ καὶ γιὰ τὰ σκιρτήματα τοῦ σώματος. Ὅπου ὑπάρχει ἀσθένεια, ἐκεῖ ὑπάρχει ἡ ἀργία τῆς ἐνέργειας αὐτῶν· διότι, ὅπου ὑπάρχει ἀσθένεια, ἐκεῖ ὑπάρχει ἐπίκληση Θεοῦ. Σκέπτομαι λοιπὸν ὅτι τὸ νὰ δώσουμε τὰ ἀναγκαῖα στὸ σῶμα, ὅταν εἶναι πραγματικὰ ἀνάγκη, καὶ τὸ νὰ εὐχαριστήσουμε στὴν ἀσθένεια, δὲν κατακρίνει τὸν ἄνθρωπο· διότι ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ τὸν ἄνθρωπο περισσότερο ἀπὸ τὴ δύναμή του.

Μίλησα ὅπως μποροῦσα· δὲν λέγω βέβαια ὅτι λέγω τὴν ἀλήθεια, ἀλλά, ὅ,τι εἶχε ἡ καρδιά μου, τὸ φανέρωσα. Ἐξέτασε λοιπὸν καὶ σὺ τὸ πρᾶγμα καὶ θὰ βρεῖς τὸ συμφέρον, καὶ συγχώρεσε ἐμένα ποὺ δὲν μπόρεσα νὰ σιωπήσω ποτέ.

511

Ὁ ἴδιος, ἐπειδὴ ἀσθενοῦσε καὶ δὲν μποροῦσε νὰ κάνει τὴ λειτουργία του ὄρθιος, οὔτε νὰ τρώγει μόνο μία φορὰ τὴν ἡμέρα, παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτὸν καὶ νὰ τοῦ δηλώσει γι' αὐτό.

Ἀπόκριση

Ὅταν ἐπρόκειτο νὰ ἐλευθερωθοῦν οἱ Ἑβραῖοι ἀπὸ τὴν ὑποδούλωση τῶν Αἰγυπτίων, ὑπέμειναν καταπίεση καὶ μεγάλη θλίψη ἀνάμεσα στὴ θάλασσα καὶ στὰ βαρβαρικὰ χέρια· καὶ μετὰ ἀπὸ ἐκεῖνα τὰ σημεῖα καὶ τέρατα, τὰ ὁποῖα εἶδαν τὰ μάτια τους νὰ ἔχουν γίνει ἀνάμεσα στοὺς Αἰγυπτίους καὶ σὲ ὅλη τὴ χώρα τους, ξέχασαν τὸ Θεὸ ποὺ ἔκανε αὐτὰ καὶ ἔφθασαν σὲ ἀπόγνωση γιὰ τὴ σωτηρία τους, βλέποντας τὸν Φαραὼ καὶ ὅλη τὴ δύναμή του ποὺ ἐπρόκειτο νὰ πέσει ἐναντίον τους. Μόνο ὁ Μωυσῆς ἔμεινε ἀφοσιωμένος στὸν παντοδύναμο Θεό. Καὶ «ἐπειδὴ ὁ Κύριος βρίσκεται κοντὰ σὲ ὅσους τὸν ἐπικαλοῦνται ἀληθινά»[76], κράζοντας ἀπὸ τὴν καρδιά του ὁ Μωϋ-

76. Ψαλμ. 144,18.

τῷ Μωϋσῇ, καὶ ὅλης ἐπικειμένης τῆς θύρας τῆς σιγῆς περὶ τὰ χείλη αὐτοῦ, ἀπεκρίθη ὁ καρδιογνώστης· «τί βοᾷς πρός με; πάταξον τῇ ῥάβδῳ τῇ ἐν χειρί σου τὴν θάλασσαν καὶ διαρρήγνυται, καὶ εἰσελεύσεται ὁ λαός, καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ καὶ ἐν πάσῃ τῇ δυναστείᾳ αὐτοῦ».

Οὕτω καὶ ἐνταῦθα· ἔστιν ἀσθένεια, καὶ ἔστιν ἐμποδισμὸς δαιμόνων· λοιπὸν θλίψεις καὶ ταραχαὶ λογισμῶν· χαυνοῦται λοιπὸν τὸ σῶμα ἀπὸ τῆς ἀσθενείας, ἐμποδίζεται ἀπὸ τοῦ βάρους τῶν δαιμόνων. Ἐὰν δὲ σιγῶν κράξῃ ὁ Μωϋσῆς, τουτέστιν ἐὰν γρηγορῶν κράξῃ ὁ νοῦς, εἴτε καθήμενος, εἴτε ἀνακείμενος, ἀκούει αὐτοῦ ὁ τὰ κρύφια ἀκούων τῆς καρδίας, καὶ πληροῦται ὁ λόγος ὅτι, «ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ»· καὶ ἐπιτιμᾷ τῇ θαλάσσῃ λέγων, 'ποίησον ὁδὸν τῷ λαῷ μου'· καὶ τότε καταποντίζεται Φαραὼ σὺν πᾶσι τοῖς αὐτοῦ καὶ γαληνιᾷ ὁ λαός, ποιῆσαι ἑορτὴν τῷ Θεῷ.

Εἴτε οὖν στήκεις, εἴτε κάθῃ, εἴτε ἀνάκεισαι, γρηγορείτω ἡ καρδία σου, ἐπιτελέσαι τὴν λειτουργίαν σου τῶν ψαλμῶν, κλίνων εἰς τὴν εὐχήν, προσπίπτων τῷ Θεῷ ἀδιαλείπτως, εἴτε νυκτός, εἴτε ἡμέρας· καὶ τότε ἀναχωροῦσι κατῃσχυμένοι οἱ ἐχθροί, οἱ τὴν ψυχὴν πολεμοῦντες.

Περὶ δὲ τοῦ δεύτερον μεταλαμβάνειν, σεμνῶς ἔστω σου ἡ δίαιτα καὶ μετὰ φόβου Θεοῦ, καὶ μὴ διστάσῃς, οὐ κατακρίνῃ· τοῦτο δέ ἐστι, τὸ μὴ κατ' ἐπιθυμίαν λαβεῖν τί ποτε, ἀλλ' εἴ τι εὑρίσκεις τὴν ἕξιν δεχομένην· καὶ τὸ μεῖναι πεινῶντα καὶ μὴ χορταζόμενον μετὰ τὸ φαγεῖν.

Παρακαλῶ δὲ εὔξασθαι ὑπὲρ ἐμοῦ, ἵνα εὐθύμως καὶ μετὰ ἀγαλλιάσεως ὁδεύσω τὴν ἡπλωμένην ἔμπροσθέν μου ὁδόν, τὴν ὁμαλὴν καὶ τετριμμένην καὶ γέμουσαν τῆς εἰρήνης καὶ χαρᾶς καὶ εὐφροσύνης, φωτός τε καὶ ἀγαλλιάσεως, ἧς οὐκ ἔνι κορεσθῆναι, ἧς ἐκτὸς ἄλλη οὐκ ἔστιν.

σῆς, καὶ ἐνῶ ὅλη ἡ θύρα τῆς σιγῆς κάλυπτε τὰ χείλη του, ἀποκρίθηκε ὁ καρδιογνώστης· «τί φωνάζεις πρὸς ἐμένα; χτύπα μὲ τὴ ράβδο ποὺ εἶναι στὸ χέρι σου τὴ θάλασσα καὶ θὰ χωρισθεῖ καὶ θὰ περάσει ἀπὸ μέσα ὁ λαὸς καὶ θὰ δοξασθῶ μὲ τὴν καταστροφὴ τοῦ Φαραὼ καὶ ὅλης τῆς δυναστείας του»[77].

Ἔτσι καὶ ἐδῶ· ὑπάρχει ἀσθένεια, καὶ ὑπάρχει ἐμπόδιο δαιμόνων· προκαλοῦνται θλίψεις καὶ ταραχὲς λογισμῶν, καὶ χαυνώνεται τὸ σῶμα ἀπὸ τὴν ἀσθένεια καὶ ἐμποδίζεται ἀπὸ τὸ βάρος τῶν δαιμόνων. Ἐὰν ὅμως φωνάξει σιωπηλὰ ὁ Μωϋσῆς, δηλαδὴ ἂν κράξει ἀγρυπνώντας ὁ νοῦς, εἴτε καθιστὸς εἴτε ὄρθιος, ἀκούει ὁ Θεὸς καὶ πραγματοποιεῖται ὁ λόγος αὐτοῦ ποὺ ἀκούει τὰ κρυφὰ τῆς καρδιᾶς· «ἐγὼ κοιμᾶμαι καὶ ἡ καρδιά μου ἀγρυπνεῖ»[78], καὶ ἐπιτιμᾶ τὴ θάλασσα λέγοντας, ‘κάνε δρόμο στὸ λαό μου’· καὶ τότε καταποντίζεται ὁ Φαραὼ μαζὶ μὲ ὅλους ὅσοι εἶναι μαζί του καὶ γαληνεύει ὁ λαός, γιὰ νὰ κάνει γιορτὴ στὸ Θεό.

Εἴτε λοιπὸν στέκεσαι εἴτε κάθεσαι εἴτε ξαπλωμένος εἶσαι, ἂς ἀγρυπνεῖ ἡ καρδιά σου ἐπιτελώντας τὴν ἀκολουθία τῶν ψαλμῶν, καταφεύγοντας στὴν προσευχή, παρακαλώντας ἀδιάλειπτα τὸ Θεό, εἴτε νύχτα εἴτε μέρα· καὶ τότε φεύγουν καταντροπιασμένοι οἱ ἐχθροὶ ποὺ πολεμοῦν τὴν ψυχή σου.

Ὅσο γιὰ τὸ νὰ τρώγεις δύο φορὲς τὴν ἡμέρα, ἂς εἶναι ἡ ζωή σου σεμνὴ καὶ μὲ φόβο Θεοῦ, καὶ νὰ μὴ διστάσεις, δὲν κατακρίνεσαι· αὐτὸ ἔχει σημασία, τὸ νὰ μὴ παίρνεις τίποτε ἀπὸ ἐπιθυμία, ἀλλὰ ὅ,τι βρίσκεις ποὺ τὸ δέχεται ἡ συνήθεια, καὶ τὸ νὰ μένεις πεινασμένος καὶ ὄχι χορτᾶτος μετὰ τὸ φαγητό.

Παρακαλῶ ὅμως νὰ προσευχηθεῖς γιὰ μένα, γιὰ νὰ βαδίσω μὲ χαρὰ καὶ ἀγαλλίαση τὸ δρόμο ποὺ ἁπλώνεται μπροστά μου, τὸν ὁμαλὸ καὶ περπατημένο καὶ γεμᾶτο ἀπὸ εἰρήνη καὶ χαρὰ καὶ εὐφροσύνη, ἀπὸ φῶς καὶ ἀγαλλίαση, ἀπὸ τὴν ὁποία δὲν εἶναι δυνατὸ νὰ κορεσθεῖς. Δὲν ὑπάρχει ἄλλη ὁδὸς ἐκτὸς ἀπὸ αὐτήν.

77. Ἐξ. 14,4.

78. Ἆσμα Ἀσμ. 5,2.

ΦΙΒ'

Ἐρώτησις

Ὁ αὐτὸς κουφισθεὶς ἀπὸ τῆς ἀσθενείας, ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα.

Πάτερ, ὅτε μεταλαμβάνω τῆς τροφῆς πάνυ βαροῦμαι, καὶ πάλιν οὐ δύναμαι νηστεῦσαι, ἀτονεῖ δὲ τὸ σῶμά μου καὶ ἱδρῶτές μοι γίνονται, καὶ ἡ σκληροκαρδία δὲ καὶ ἡ ὑπερηφανία διώκουσιν ἀπ' ἐμοῦ τὰ δάκρυα.

Ἀπόκρισις

Ἀδελφέ, ἀπσάζομαί σε ἐν Κυρίῳ, δεόμενος αὐτοῦ ἐνδυναμῶσαι σου τὴν ἀγάπην, καὶ δοῦναί σοι ὑπομονήν. Ἵνα δὲ μάθῃς, ὅτι πόλεμός ἐστι διαβολικός, ὁ βαρῶν σε εἰς τὰ βρώματα, ἵνα ἐμβάλῃ σε εἰς χαύνωσιν· κᾀμοὶ γὰρ πολὺν χρόνον ἐπολέμησε καὶ ἐβάρει με πάνυ, καὶ ἐποίει με ἐμεῖν νύκτας νύκτας. Καὶ ἠρξάμην λαμβάνειν ὀλίγον, καὶ ἤλλαξε τὸν πόλεμον· καὶ ὡς ἠρχόμην φαγεῖν, ὡς ἔβαλον τὸ βουκίον εἰς τὸ στόμα μου, ἐποίει με ἐμέσαι· καὶ ἐποίουν δύο δύο, ἵνα ἀρέσῃ μοι τὸ φαγεῖν, καὶ αὐτὸ αὐτοῦ ἦν· χάριτι δὲ Χριστοῦ δι' ὑπομονῆς καὶ εὐχαριστίας ἐπαύσατο ἀπ' ἐμοῦ. Ἐγενόμην δὲ ἀδύναμος ὑπὲρ τὸ εἰπεῖν καὶ οὐκ ἐνεδίδουν, ἀλλ' ἐπύκτευον ἕως οὗ ἐνεδυνάμωσέ με ὁ Κύριος. Ἐγὼ δέ, ἀδελφέ, ἀσθενὴς ὤν, ταῦτα ἐποίουν· σὺ δὲ περισσότερον προσέχεις σεαυτῷ, καὶ ὁ Θεὸς ποιεῖ σοι, οὐδεὶς γὰρ ὁ φθονῶν σοι, εἰ μὴ εἷς, ὃν καταργήσοι ὁ Κύριος.

Περὶ δὲ τῆς νηστείας, βάλε κάτω τὸν αὐχένα, μνημονεύων τῶν πολιτειῶν τῶν πατέρων καὶ ἀγρυπνιῶν, καὶ ταπεινώθητι τῇ καρδίᾳ, κᾂν δύνασαι ἕως ἐνάτης, μεῖνον· εἰ δὲ μή γε, μὴ μέλει σοι. Σπούδασον δὲ φυλάξαι τὴν νηστείαν τοῦ ἔσω ἀνθρώπου, φυλάττων τὴν ἐντολὴν τοῦ μὴ φαγεῖν ἀπὸ τοῦ ξύλου, καὶ

78α. Δηλαδὴ ἔτρωγε κάθε φορὰ μόνο δύο μπουκιές.

512

Ἐρώτηση

Ὁ ἴδιος ἀφοῦ ἀνακουφίσθηκε ἀπὸ τὴν ἀσθένεια, ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα.

Πάτερ, ὅταν τρώγω, βαραίνω πολύ, καὶ πάλι δὲ μπορῶ νὰ νηστέψω· ἀτονεῖ τὸ σῶμα μου καὶ ἱδρώνω, καὶ ἡ σκληροκαρδία καὶ ἡ ὑπερηφάνεια διώχνουν τὰ δάκρυα ἀπὸ μένα.

Ἀπόκριση

Αδελφέ, σὲ ἀσπάζομαι ἐν Κυρίω, παρακαλῶντας αὐτὸν νὰ ἐνδυναμώσει τὴν ἀγάπη σου καὶ νὰ σοῦ δώσει ὑπομονή. Γιὰ νὰ μάθεις τώρα, ὅτι ὁ πόλεμος ποὺ σὲ βαραίνει στὶς τροφὲς εἶναι διαβολικός, γιὰ νὰ σὲ ὁδηγήσει σὲ χαύνωση, ἄκουσε τὴ δική μου περίπτωση· διότι πολέμησε καὶ μένα πολὺν καιρὸ καὶ μὲ βάραινε πολὺ καὶ μὲ ἔκανε νὰ κάμνω ἐμετὸ τὶς νύχτες. Τότε ἄρχισα νὰ παίρνω λίγο καὶ ἄλλαξε τὸν πόλεμο. Ὅταν ἄρχιζα νὰ τρώγω, μόλις ἔβαζα τὴ μπουκιὰ στὸ στόμα μου, μὲ ἔκανε νὰ κάμνω ἐμετό· καὶ ἔπαιρνα δυὸ δυὸ μπουκιές, γιὰ νὰ μοῦ ἀρέσει τὸ φαγητό, καὶ αὐτὸ ἦταν[78α]. Μὲ τὴ χάρη τοῦ Χριστοῦ μὲ ὑπομονὴ καὶ εὐχαριστία, ἔφυγε ἀπὸ μένα. Ἔγινα ὅμως ἀδύναμος ὑπερβολικὰ χωρὶς ὅμως νὰ ὑποχωρῶ, ἀλλὰ ἀγωνιζόμουν, ὥς ποὺ μὲ ἐνδυνάμωσε ὁ Κύριος. Ἐγώ, ἀδελφέ, ἂν καὶ ἤμουν ἀσθενής, αὐτὰ ἔκανα. Καὶ σὺ νὰ προσέχεις περισσότερο τὸν ἑαυτό σου καὶ ὁ Θεὸς θὰ σοῦ τὸ κάνει, διότι κανένας ἄλλος δὲν εἶναι ποὺ σὲ φθονεῖ παρὰ ἕνας, τὸν ὁποῖο εἴθε νὰ καταργήσει ὁ Κύριος.

Ὅσο γιὰ τὴ νηστεία, βάλε κάτω τὸν αὐχένα, ἐνθυμούμενος τοὺς ἀσκητικοὺς τρόπους ζωῆς τῶν πατέρων καὶ τὶς ἀγρυπνίες καὶ ταπεινώσου στὴν καρδιά, καὶ ἂν μπορεῖς μεῖνε μέχρι τὴν ἔνατη ὥρα· ἐὰν ὄχι, μὴ σὲ νοιάζει. Φρόντισε νὰ φυλάξεις τὴ νηστεία τοῦ ἐσωτερικοῦ ἀνθρώπου, φυλάγοντας τὴν ἐντολὴ τοῦ νὰ μὴ φάγεις ἀπὸ τὸ ξύλο, καὶ νὰ προσέχεις τὸν ἑαυτό σου ἀπὸ

προσέχειν σεαυτῷ ἀπὸ τῶν ἄλλων παθῶν· καὶ δεκτὴ γίνεται αὕτη ἡ νηστεία τοῦ ἔσω ἀνθρώπου τῷ Θεῷ, καὶ σκεπάζει σε περὶ τῆς σωματικῆς νηστείας.

Περὶ δὲ τῶν δακρύων εἶπας, ὅτι 'ἡ σκληροκαρδία καὶ ὑπερηφανία διώκουσιν αὐτὰ ἀπὸ σοῦ'· ἔπαρον αὐτὰς καὶ τότε ἔρχεται τὰ δάκρυα, συνεργούντων τῶν ἁγίων. Ἀπὸ ψύξεως πάσχεις τὸ ἱδροῦν,· θέρμανον σεαυτὸν μικρόν, καὶ βοηθεῖ σοι ὁ Θεός.

Καὶ εὔξαι ὑπὲρ ἐμοῦ, ὅτι ἡ χαυνότης μου εἰς πολλὰ κακὰ φέρει με· ἀλλ' ὅμως οὐκ ἀπελπίζω, Θεὸν ἔχων ἐλεήμονα.

ΦΙΓ'

Ὁ αὐτὸς πάθει περιπεσὼν καὶ μὴ φέρων τὴν ὀδύνην, ἐδεήθη τοῦ αὐτοῦ μεγάλου Γέροντος περὶ εὐχῆς καὶ βοηθείας.

Ἀπόκρισις

Αδελφέ μου καὶ ἀγαπητέ μου, ἐν Κυρίῳ· διὰ τὴν πληροφορίαν τῆς πρὸς σὲ ἐν Χριστῷ πνευματικῆς ἀγάπης, ἀποκαλύπτω σοι τὰ μυστήρια τοῦ Θεοῦ. Οἶδας γὰρ καὶ πεπεισμένος εἶ πῶς δέομαι τοῦ Θεοῦ νύκτα καὶ ἡμέραν, ἵνα σώσῃ ἡμᾶς ἀπὸ τοῦ πονηροῦ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν αἰώνιον. Καὶ ὡς ἔρχομαι κατὰ τὸ σύνηθες, εἶπέ μοι· 'ἔασόν με δοκιμάσαι αὐτὸν πρὸς ὠφέλειαν τῆς ἑαυτοῦ ψυχῆς, καὶ διὰ σωματικοῦ πάθους, ἵνα γνῶ τί ἐστιν ἡ ὑπομονὴ αὐτοῦ καὶ τί μέλλει κληρονομῆσαι διὰ δεήσεων καὶ πόνων'. Καὶ εἶπον· 'οὐκοῦν, Δέσποτα, μετὰ ἐλέους ὡς υἱὸν καὶ οὐχ ὡς νόθον'.

Καὶ οὐ χρεία ἦν ταῦτα φανερωθῆναι, ἀλλ' ἵνα μάθῃς τὴν χαρὰν τὴν ἀποκειμένην σοι, ἐφανέρωσά σοι. Μὴ οὖν λυπηθῇς,

τὰ ἄλλα πάθη· αὐτὴ ἡ νηστεία τοῦ ἐσωτερικοῦ ἀνθρώπου γίνεται δεκτὴ ἀπὸ τὸ Θεὸ καὶ σὲ προστατεύει γιὰ τὴ σωματικὴ νηστεία.

Γιὰ τὰ δάκρυα εἶπες, ὅτι ἡ σκληροκαρδία καὶ ἡ ὑπερηφάνεια τὰ ἀπομακρύνουν ἀπὸ σένα. Ἀπομάκρυνε αὐτὰ τὰ πάθη καὶ τότε μὲ τὴ βοήθεια τῶν ἁγίων ἔρχονται τὰ δάκρυα. Ἀπὸ ψύξη παθαίνεις τὸν ἱδρώτα· θέρμανε λίγο τὸν ἑαυτό σου καὶ θὰ σὲ βοηθήσει ὁ Θεός.

Καὶ προσευχήσου γιὰ μένα, διότι ἡ χαυνότητά μου μὲ ὁδηγεῖ σὲ πολλὰ κακά· ἀλλ' ὅμως δὲν ἀπελπίζομαι, διότι ἔχω ἐλεήμονα Θεό.

513

Ἐρώτηση

Ὁ ἴδιος, ἐπειδὴ ἔπεσε σὲ σωματικὸ πάθος καὶ δὲν μποροῦσε νὰ ὑποφέρει τὴν ὀδύνη, παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα γιὰ προσευχὴ καὶ βοήθεια.

Ἀπόκριση

Ἀδελφέ μου καὶ ἀγαπητέ μου ἐν Κυρίῳ· γιὰ νὰ σοῦ φανερώσω τὴν πνευματικὴ ἐν Χριστῷ ἀγάπη μου πρὸς ἐσένα, σοῦ ἀποκαλύπτω τὰ μυστήρια τοῦ Θεοῦ. Διότι γνωρίζεις καὶ ἔχεις πεισθεῖ, πῶς παρακαλῶ τὸ Θεὸ νύχτα καὶ μέρα γιὰ νὰ μᾶς σώσει ἀπὸ τὸν πονηρὸ στὴν αἰώνια βασιλεία του. Καὶ καθὼς προσευχόμουν κατὰ τὴ συνήθεια, μοῦ εἶπε· 'ἄφησέ με νὰ τὸν δοκιμάσω, γιὰ ὠφέλεια τῆς ψυχῆς του, καὶ μὲ σωματικὸ πάθος, γιὰ νὰ καταλάβω ποιά εἶναι ἡ ὑπομονή του καὶ τί πρόκειται νὰ κληρονομήσει μὲ δεήσεις καὶ πόνους'. Καὶ εἶπα· 'λοιπόν, Δέσποτα, κάνε το μὲ ἔλεος σὰν πρὸς υἱὸ καὶ ὄχι σὰν πρὸς νόθο.

Δὲν ἦταν ἀνάγκη νὰ φανερωθοῦν αὐτά, ἀλλὰ σοῦ τὰ φανέρωσα γιὰ νὰ μάθεις τὴ χαρὰ ποὺ σὲ περιμένει. Μὴ λυπηθεῖς

ἐλεεῖ σε ὁ Θεός. Εἰ δὲ διστάζεις, βάλε κάτω τὸν αὐχένα, εἰδὼς τί ὑπέμειναν οἱ ἅγιοι μάρτυρες, καὶ βάλε ῥόδινον μετὰ ἁγιάσματος καὶ ὁ Θεὸς ἡμῶν τῷ οἰκείῳ βουλήματι ποιεῖ μετὰ σοῦ τὸ ἔλεος ὡς βούλεται· οὐχ ἡδέως ἔχω σε πονεῖν τι, οὔτε ψυχῇ, οὔτε σώματι. Ὁ Θεὸς ἐλεήσοι σε.

Εὖξαι ὑπὲρ ἐμοῦ.

ΦΙΔ'

Τοῦ αὐτοῦ.

Αἴτησις *εὐχῆς καὶ βοηθείας περὶ τοῦ αὐτοῦ πάθους πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Ἀπόκρισις

Ἀδελφὲ ἀκηδιαστὰ καὶ γογγυστά, τί θλίβῃ; τί κράζεις; τί πέμπεις μακρὰν ἐκ τοῦ σύνεγγυς ἔχων τὸν Ἰησοῦν στήκοντα καὶ ἐπιποθοῦντα καλεῖσθαι ὑπὸ σοῦ εἰς βοήθειαν σήν; Κράξον αὐτῷ, «ἐπιστάτα», καὶ ἀποκρίνεταί σοι· ἅψαι τοῦ κρασπέδου αὐτοῦ, καὶ θεραπεύει σου οὐ μόνον τὸ πάθος τὸ ἕν, ἀλλ' ὅλα σου τὰ πάθη. Εἰ ἦν ὁ νοῦς ὅπου ὤφειλεν, οὐδὲ δήγματα ἰοβόλων καὶ σκορπίων κατενεγκεῖν σε ἠδύναντο εἰς αἴσθησιν πόνου σαρκός. «Ἐπελαθόμην», λέγει, « φαγεῖν τὸν ἄρτον μου ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου».

Μὴ θλιβῇς, ἐγγύς ἐστι τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ἀσπάζομαί σε ἐν Κυρίῳ ὑγιαίνοντα, κράκτα.

ΦΙΕ'

Ὁ αὐτὸς σφόδρα βαρυνθεὶς καὶ δεινῶς βασανιζόμενος, ἐδεήθη τοῦ αὐτοῦ μεγάλου Γέροντος περὶ τῆς ἰάσεως.

---

79. Λουκᾶ 17,13.

80. Ματθ. 9,20. Μάρκ. 5,27. Λουκᾶ 8,44.

λοιπόν, ὁ Θεὸς θὰ σὲ ἐλεήσει. Ἐὰν ὅμως διστάζεις, βάλε κάτω τὸν αὐχένα, γνωρίζοντας τί ὑπέμειναν οἱ ἅγιοι μάρτυρες, καὶ βάλε ροδόσταγμα μὲ ἁγίασμα καὶ ὁ Θεός μας μὲ τὸ θέλημά του θὰ σοῦ δείξει τὸ ἔλεός του ὅπως θέλει. Δὲν μ' εὐχαριστεῖ νὰ σὲ πονᾶ κάτι, οὔτε στὴν ψυχή, οὔτε στὸ σῶμα. Εἴθε ὁ Θεὸς νὰ σὲ ἐλεήσει.

Προσευχήσου γιὰ μένα.

514

Τοῦ ἰδίου.

Αἴτηση προσευχῆς καὶ βοήθειας γιὰ τὶ ἴδιο πάθος πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἀπόκριση

Αδελφὲ ἀδιάφορε καὶ γογγυστή, γιατί στενοχωριέσαι; τί φωνάζεις; τί στέλνεις μακριὰ δεήσεις, ἐνῶ ἔχεις κοντά σου τὸν Ἰησοῦ νὰ στέκεται καὶ νὰ ἐπιθυμεῖ νὰ τὸν καλέσεις γιὰ βοήθειά σου; Φώναξέ τον, «ἐπιστάτη»[79], καὶ θὰ σοῦ ἀποκριθεῖ· ἄγγιξε τὸ ἄκρο τοῦ ἐνδύματός του[80], καὶ θὰ σοῦ θεραπεύσει ὄχι μόνο τὸ ἕνα πάθος, ἀλλὰ ὅλα τὰ πάθη σου. Ἂν ἦταν ὁ νοῦς ἐκεῖ ποὺ ὄφειλε νὰ εἶναι, δὲ θὰ μποροῦσαν νὰ σὲ κάνουν νὰ αἰσθανθεῖς πόνο σάρκας οὔτε τὰ δαγκώματα τῶν φαρμακερῶν ἑρπετῶν καὶ τῶν σκορπιῶν. «Ξέχασα», λέγει, «νὰ φάγω τὸν ἄρτο μου ἀπὸ τὴ φωνὴ τοῦ στεναγμοῦ μου»[81].

Μὴ θλίβεσαι, εἶναι κοντὰ τὸ ἔλεος τοῦ Θεοῦ. Καὶ σὲ ἀσπάζομαι ἐν Κυρίῳ, ὑγιή, παραπονιάρη.

515

Ὁ ἴδιος ἐπειδὴ βάραινε πολὺ καὶ βασανίσθηκε φοβερά, παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα γιὰ τὴ θεραπεία του.

---

81. Ψαλμ. 101,5.

Ἀπόκρισις

Πέμψοι σοι ὁ Θεός μου τὴν ταχινὴν ἴασιν ψυχῇ καὶ σώματι· καὶ πιστεύω τῷ ὀνόματι αὐτοῦ τῷ ἁγίῳ ὅτι καλῶς ἔχεις. Ὅσον οὖν δύνασαι κράτει τὴν πρὸς αὐτὸν εὐχαριστίαν, πῶς σε ἠγάπησε καὶ ἠλέησε διὰ τῆς ἁγίας αὐτοῦ παιδείας.

ΦΙΣ'

***Εὐχαριστία** τοῦ αὐτοῦ.*

Ἐξελθούσης τῆς ἀποκρίσεως ταύτης παρὰ τοῦ ἁγίου Γέροντος, παραχρῆμα ἰάθη ἐν τῇ ὥρᾳ ἐκείνῃ καὶ ἀνέπεμψεν εὐχαριστίαν τῷ Θεῷ καὶ τῷ γέροντι, ἅμα αἰτῶν καὶ ἀδιάλειπτον περὶ τῆς ἑαυτοῦ προκοπῆς καὶ σωτηρίας προσευχήν.

Ἀπόκρισις

Αδελφὲ προσφιλέστατε, τῷ Δεσπότῃ ἡμῶν Θεῷ ἀναπέμψωμεν ἀδιαλείπτως τὴν δοξολογίαν, πῶς τὰ παρόντα ἡμῖν παρέχει εἰς ἀνάπαυσιν ζωῆς· παιδεύων γὰρ κτᾶται ἡμῶν, καὶ πειράζων παρέχει τὴν ἔκβασιν καὶ δύναμιν πρὸς ὑπομονὴν τῶν θλίψεων, τοὺς πάντας ἡμᾶς θανατοῖ καὶ ζωοποιεῖ, θέατρον ποιῶν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Χαροποιήσωμεν οὖν αὐτὸν τῇ ταπεινώσει ἡμῶν, τῇ ὑπομονῇ, τῇ πρᾳότητι, τῇ μακροθυμίᾳ, τῇ σεμνότητι, τῇ εἰρήνῃ, τῇ εὐχαριστίᾳ.

Ἔστω σοι, ὦ ποθεινότατε, ὅσα ᾔτησας ἐν Χριστῷ Ἰησοῦ, ἐν ᾧ ἀσπάζομαι ὑμᾶς καὶ δέομαι φυλάξαι ὑμῶν ἐν τῷ ὀνόματι αὐτοῦ ἀπὸ παντὸς κακοῦ. Ἀμήν.

ΦΙΖ'

Τοῦ αὐτοῦ ὁμοίως περὶ θλίψεως καρδίας· καὶ πόθεν ἔτι μικρὰ ἐπίκειται αὐτῷ ἀσθένεια.

---

82. Α' Κορ. 4,9.

Ἀπόκριση

Εἴθε ὁ Θεός μου νὰ σοῦ στείλει τὴ γρήγορη θεραπεία στὴν ψυχὴ καὶ στὸ σῶμα· καὶ πιστεύω στὸ ἅγιο ὄνομά του ὅτι θὰ γίνεις καλά. Ὅσο μπορεῖς λοιπόν, κράτησε τὴν εὐχαριστία πρὸς αὐτόν, γιὰ τὸ ὅτι σὲ ἀγάπησε καὶ σὲ ἐλέησε μὲ τὴν ἅγια παιδαγωγία του.

516

Εὐχαριστία τοῦ ἰδίου.

Μόλις βγῆκε αὐτὴ ἡ ἀπόκριση ἀπὸ τὸν Γέροντα, ἀμέσως θεραπεύθηκε ἐκείνη τὴν ὥρα καὶ ἔστειλε εὐχαριστία στὸ Θεὸ καὶ στὸν Γέροντα, ζητώντας συγχρόνως καὶ ἀδιάλειπτη προσευχὴ γιὰ τὴν προκοπὴ καὶ σωτηρία του.

Ἀπόκριση

Προσφιλέστατε ἀδελφέ, ἂς στείλουμε ἀδιαλείπτως τὴ δοξολογία στὸ Δεσπότη μας Θεό, ποὺ μᾶς παρέχει τὰ παρόντα γιὰ ἀνάπαυση ζωῆς· διότι παιδεύοντας μᾶς ἀποκτᾶ καὶ πειράζοντάς μας παρέχει τὴν ἔκβαση καὶ τὴ δύναμη γιὰ ὑπομονὴ τῶν θλίψεων, θανατώνει καὶ ζωοποιεῖ ὅλους ἐμᾶς, κάνοντάς μας θέατρο στὸν κόσμο καὶ τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους[82]. Ἂς τὸν χαροποιήσουμε λοιπὸν μὲ τὴν ταπείνωσή μας, τὴν ὑπομονή, τὴν πραότητα, τὴ μακροθυμία, τὴ σεμνότητα, τὴν εἰρήνη, τὴν εὐχαριστία.

Εἴθε νὰ σοῦ γίνουν, ποθητέ, ὅσα ζήτησες στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, στὸ ὄνομα τοῦ ὁποίου σᾶς ἀσπάζομαι καὶ παρακαλῶ νὰ σᾶς φυλάξει στὸ ὄνομά του ἀπὸ κάθε κακό. Γένοιτο.

517

Τοῦ ἰδίου ὅμοια γιὰ θλίψη καρδιᾶς· καὶ ἀπὸ ποῦ τοῦ παραμένει ἀκόμα μικρὴ ἀσθένεια.

Ἀπόκρισις

Αδελφὲ χαῦνε, πῶς οὐκ ἀφείης «τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς»; Καταφρόνησον τοῦ σκωληκοβρώτου σώματος· ὠφελεῖς γὰρ αὐτὸ οὐδέν, ὅταν παραδοθῇ σηπεδόν. Φησὶ γάρ· «πρόνοιαν τῆς σαρκὸς μὴ ποιεῖσθαι εἰς ἐπιθυμίαν». Καὶ ταῦτα μὲν πρὸς μελέτην.

Περὶ δὲ ὧν ἔγραψας, ἔστιν ὅτε λεῖμμα χολῆς καὶ λεῖμμα δαιμόνων· στρέφνωσον οὖν πρὸς μικρὸν τὸν λογισμὸν πρὸς αὐτόν καὶ ἐὰν θελήματι Θεοῦ κουφισθῇ τὸ τῶν δαιμόνων λεῖμμα, τὸ τῆς χολῆς οὐκ ἀδικεῖ. Ἐγὼ εὔχομαι κατὰ τὴν δύναμιν τῆς ἐμῆς ἀσθενείας, ἵνα μὴ ἀθετήσῃ ὁ Πατήρ μου καὶ Θεός μου τὰ αἰτήματά σου, ἀλλὰ παράσχῃ πλουσίως καὶ φιλανθρώπως. Καὶ αὐτοῦ ἐστι τὸ ἔλεος δοῦναι, σοῦ δέ ἐστι τὸ εὔξασθαι καὶ τὸ μὴ εὔξασθαι.

Νόει ἃ λέγω καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΦΙΗ΄

Τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.

Εἰπέ μοι, πάτερ, εἰ χρὴ βοηθεῖν τῷ σώματι, ἐὰν δέηται τροφῆς ἁρμοττούσης τῇ ἀσθενείᾳ, ἢ καὶ ταχύτερον λαμβάνειν· ἢ γοῦν δεῖ φυλάττειν τὸν συνήθη καιρὸν καὶ καταφρονεῖν τούτων πάντων, κἂν τι μέλλῃ ἐκ τούτων συμβαίνειν δυσχερές.

Ἀπόκρισις *Ἰωάννου.*

Εδωκεν ἡμῖν ὁ Θεὸς σύνεσιν διὰ τῶν θείων Γραφῶν τοῦ ὁδηγηθῆναι εἰς τὴν εὐθεῖαν ὁδόν. Ὁ οὖν Ἀπόστολος λέγει· «πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε». Οὐδὲν ἄλλο ὀφείλει ὁ ἄνθρωπος, ἀλλ' ἵνα μὴ κατὰ πάθος λάβῃ

---

83. Ματθ. 8,22. Λουκᾶ 9,60.

Ἀπόκριση

Χαῦνε ἀδελφέ, πῶς δὲν ἀφήνεις «τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους»[83]; Καταφρόνησε τὸ σκωληκόβρωτο σῶμα· καθόσον δὲν τὸ ὠφελεῖς καθόλου, ὅταν παραδοθεῖ στὴ σήψη. Διότι λέγει, «μὴ φροντίζετε γιὰ τὴ σάρκα γιὰ νὰ ἱκανοποιήσετε τὶς ἐπιθυμίες της»[84]. Αὐτὰ γιὰ μελέτη.

Γιὰ ὅσα ὅμως ἔγραψες, ἡ μικρὴ ἀσθένεια ὀφείλεται σὲ ὑπόλειμμα χολῆς καὶ σὲ ὑπόλειμμα δαιμόνων. Στερέωσε λίγο τὸ λογισμό σου στὸν ἑαυτό σου καὶ ἂν ἀνακουφισθεῖ μὲ τὸ θέλημα τοῦ Θεοῦ τὸ ὑπόλειμμα τῶν δαιμόνων, τὸ ὑπόλειμμα τῆς χολῆς δὲν βλάπτει. Ἐγὼ προσεύχομαι κατὰ τὴ δύναμη τῆς δικῆς μου ἀσθένειας, γιὰ νὰ μὴ ἀθετήσει ὁ Πατέρας μου καὶ ὁ Θεός μου τὰ αἰτήματά σου, ἀλλὰ νὰ σοῦ τὰ παράσχει πλουσίως καὶ φιλανθρώπως. Δικό του εἶναι τὸ νὰ δώσει τὸ ἔλεος, ἐνῶ δικό σου εἶναι τὸ νὰ προσεύχεσαι καὶ τὸ νὰ μὴ προσεύχεσαι.

Σκέψου βαθιὰ αὐτὰ ποὺ λέγω καὶ προσευχήσου γιὰ μένα.

518

Τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Πές μου, πάτερ, ἐὰν πρέπει νὰ βοηθῶ τὸ σῶμα ὅταν χρειάζεται τροφὴ ποὺ ἁρμόζει στὴν ἀσθένεια ἢ νὰ παίρνω καὶ γρηγορώτερα· ἢ ἂν πρέπει νὰ φυλάγω τὸν συνηθισμένο καιρὸ καὶ νὰ περιφρονῶ ὅλα αὐτά, ἀκόμα καὶ ἂν πρόκειται νὰ συμβεῖ κάτι δυσάρεστο ἀπὸ αὐτά.

Ἀπόκριση Ἰωάννη

Ὁ Θεὸς μᾶς ἔδωσε σύνεση μὲ τὶς θεῖες Γραφές, ὥστε νὰ ὁδηγηθοῦμε στὸν εὐθὺ δρόμο. Ὁ Ἀπόστολος λοιπὸν λέγει, «νὰ τὰ δοκιμάζετε ὅλα καὶ νὰ κρατᾶτε τὸ καλό»[85]· ὁ ἄνθρωπος δὲν ὀφείλει τίποτα ἄλλο, παρὰ νὰ μὴ πάρει

84. Ρωμ. 13,14. 85. Α΄ Θεσ. 5,21.

τι πρᾶγμα ἢ ποιήσῃ. Ἐὰν δὲ δι' ἀσθένειαν ἢ χρείαν, οὐ λογίζεται αὐτῷ, οὔτε εἰς ἁμαρτίαν οὔτε εἰς χαύνωσιν· τὸ γὰρ ὑγιαίνειν καὶ ζητεῖν τῷ σώματι ἀνάπαυσιν, εἰς ἐπιθυμίαν γίνεται· τὸ δὲ κυβερνᾶν τὸ σῶμα διὰ τὴν χρείαν, εὑρίσκομεν αὐτὸ ὑπουργοῦν ἡμῖν εἰς τὴν ὑπηρεσίαν τῆς χρείας. Εἰ τῶν ζώων φροντίζομεν διὰ τὴν ἡμῶν χρείαν, πόσῳ μᾶλλον τοῦ σώματος, ἐργαλείου ὄντος τῆς ψυχῆς; Καὶ ὅταν ἀμβλύνεται τὸ ἐργαλεῖον, ἐμποδίζει τὸν τεχνίτην, κἂν νοητικός τις ᾖ καὶ ἐπιστήμων. Ὁ Ἀπόστολος προσέχων τῇ ἀσθενείᾳ καὶ τῷ στομάχῳ Τιμοθέου, ἐπέτρεψεν αὐτῷ χρήσασθαι οἴνῳ, ὃς εἶπε κακοπαθῆσαι τοῦ ποιῆσαι ἔργον εὐαγγελιστοῦ. Ὥστε οὖν διακρίσεως χρεία καὶ οὐ ταχέως ὀλισθαίνει ὁ ἄνθρωπος.

Συγχώρησον, ἀδελφέ, ὅτι οὐκ οἶδα εἰ καλῶς ἐλάλησα, ἀλλ' οὐ χρὴ ἀντιλέγειν. Εἴ τι εἶχον ἐν τῇ καρδίᾳ μου ἐλάλησα τῇ ἀγάπῃ σου· λοιπὸν εἴ τι δοκιμάζεις ποίησον.

ΦΙΘ΄

Πόθεν πολλοῦ κόπου αἰσθάνομαι, ἐὰν ἀναστῶ νυκτὸς εἰς ψαλμῳδίαν καὶ ὡς ἀπὸ νόσου εἰμί, καὶ ὃ ἐὰν ποιῶ, μετὰ βάρους ποιῶ; Ἆρα τοῦτο ἀσθένεια ἢ ὡς ἀπὸ τῶν δαιμόνων;

Ἀπόκρισις

Τὸ μὲν τῆς νόσου, φανερόν ἐστι· ἐὰν γὰρ μὴ δέχηται τὴν συνήθη τροφὴν τὸ σῶμα, δῆλον ὅτι νοσεῖ καὶ ὀφείλει τὴν λειτουργίαν κουφίσαι. Εἰ δὲ τρέφεται ὡς κατὰ συνήθειαν τὸ σῶμα καὶ μὴ ἀναστῇ εἰς τὴν λειτουργίαν, δῆλον ὅτι ἐκ τῶν δαιμόνων ἐστί· καὶ χρεία βιάσασθαι αὐτοὺς κατὰ δύναμιν

---

86. Α' Τιμ. 5,23.
87. Β' Τιμ. 4,5.

ἢ νὰ κάνει κάτι μὲ πάθος. Ἐὰν ὅμως τὸ κάνει ἐξαιτίας τῆς ἀσθένειας ἢ τῆς ἀνάγκης δὲν τοῦ ὑπολογίζεται οὔτε γιὰ ἁμαρτία, οὔτε γιὰ χαύνωση· διότι τὸ νὰ ὑγιαίνει κανεὶς καὶ νὰ ζητεῖ ἀνάπαυση γιὰ τὸ σῶμα, γίνεται ἀπὸ ἐπιθυμία· τὸ νὰ ἐξυπηρετεῖ τὸ σῶμα γιὰ τὴν ἀνάγκη, τὸ βρίσκουμε νὰ μᾶς βοηθᾶ στὴν ὑπηρεσία τῆς ἀνάγκης. Ἐὰν φροντίζουμε τὰ ζῶα γιὰ τὴν ἀνάγκη μας, πόσο περισσότερο πρέπει νὰ φροντίζουμε τὸ σῶμα ποὺ εἶναι ἐργαλεῖο τῆς ψυχῆς; Καὶ ὅταν ἀμβλύνεται τὸ ἐργαλεῖο, ἐμποδίζει τὸν τεχνίτη κι ἂν ἀκόμα εἶναι κανεὶς νοητικὸς καὶ ἐπιστήμονας. Ὁ Ἀπόστολος, φροντίζοντας γιὰ τὴν ἀσθένεια καὶ τὸ στομάχι τοῦ Τιμόθεου, τοῦ ἐπέτρεψε νὰ χρησιμοποιήσει κρασί[86], αὐτὸς ποὺ τοῦ εἶπε νὰ κακοπαθήσει γιὰ νὰ ἐπιτελέσει ἔργο εὐαγγελιστῆ[87]. Ὥστε λοιπὸν ὑπάρχει ἀνάγκη διακρίσεως, ὁπότε δὲν γλιστρᾶ γρήγορα ὁ ἄνθρωπος.

Συγχώρεσέ με, ἀδελφέ, διότι δὲν γνωρίζω ἂν μίλησα καλά, ἀλλὰ δὲν πρέπει νὰ ἀντιλέγεις. Ὅ,τι εἶχα στὴν καρδιά μου, τὸ εἶπα στὴν ἀγάπη σου. Λοιπόν, ὅ,τι κρίνεις σωστό, κάνε το.

519

Ἐρώτηση

Ἀπὸ ποῦ αἰσθάνομαι πολὺν κόπο, ἂν ξυπνήσω νύχτα γιὰ ψαλμωδία, καὶ εἶμαι σὰν ἀπὸ ἀρρώστια, καὶ ὅ,τι κάνω, τὸ κάνω μὲ βάρος; Ἄραγε αὐτὸ εἶναι ἀσθένεια ἢ προέρχεται ἀπὸ τοὺς δαίμονες;

Ἀπόκριση

Τὸ τῆς ἀσθένειας εἶναι φανερό· διότι, ἂν τὸ σῶμα δὲ δέχεται τὴ συνηθισμένη τροφή, εἶναι φανερο ὅτι νοσεῖ καὶ πρέπει νὰ ἐλαφρύνει ἡ λειτουργία του. Ἂν ὅμως τὸ σῶμα τρέφεται σύμφωνα μὲ τὴ συνήθεια καὶ δὲν σηκώνεται γιὰ τὴ λειτουργία, εἶναι φανερὸ ὅτι αὐτὸ προέρχεται ἀπὸ τοὺς δαίμονες· καὶ πρέπει νὰ τοὺς βιάσετε, κατὰ τὴ δύναμη ὅμως καὶ

μέντοι καὶ μὴ ὑπὲρ τὴν δύναμιν. Ἐὰν δὲ γρηγορήσῃ ἡ καρδία, ἡ κοίμησις τοῦ σώματος οὐδέν ἐστιν. Ὅμως δὲ ῥέγχει τις σχεδόν, καὶ εἰ ἀκούσῃ περὶ ἐφόδου λῃστῶν, πᾶσαν ποιεῖ τὴν ἑαυτοῦ δύναμιν, ὅπως ἐξειλήσῃ ἀπ' αὐτῶν. Ὥστε οὖν, ἐὰν νοήσωμεν, οὕτως ἐσμὲν καὶ ἡμεῖς.

ΦΚ'

Ἐρώτησις

Εἰπέ μοι, πάτερ, εἰ ἔρχεται ἀσθένεια παρὰ τοῦ Θεοῦ καὶ πόθεν αὕτη γνωρίζεται;

Ἀπόκρισις

Ἔρχεται. Ὅταν οὖν αἰσθάνηταί τις ἀρρωστίας, ὄχλησις δὲ πάθους τέως οὐ πάρεστιν, ἡ τοιαύτη ἀρρωστία ἀπὸ Θεοῦ ἐστι καὶ τὸν πόλεμον λύει· καὶ χρεία ἐνταῦθα τῷ σώματι μικρᾶς συγκαταβάσεως. Ὅταν δὲ ἀσθένεια παρῇ καὶ μετὰ ὀχλήσεως πάθους, τότε οὐ δεῖ ὅλως συγκαταβῆναι· δαιμονιῶδες γάρ ἐστι καὶ ἡ συγκατάβασις αὔξει τὸ πάθος. Ὥστε συμφέρει ὅπου ὁ πόλεμος καταπονῆσαι τὸ σῶμα, κἂν ἐμπέσῃ εἰς ἀρρωστίαν καὶ μή, ἵνα τις, ἀντεχόμενος τοῦ σώματος, εἰς ἀρρωστίαν ἐμβάλῃ τὴν ψυχήν. Ἂν δὲ πάλιν φανερὰ ᾖ ἡ αἰτία τῆς ἀνωμαλίας, ὅταν ἐξ ὁδοιπορίας τυχόν, ἢ γοῦν ἀπὸ κατατρωμάτων βαρέων ἀσθενήσῃ τὸ σῶμα, ὀφείλει συγκαταβῆναι, σεμνῶς μέν τοι καὶ μὴ ὑπὲρ τὸ δέον, ἐπεὶ καὶ οἱ δαίμονες τὸ ἑαυτῶν μίσγουσι.

ΦΚΑ'

Ἐρώτησις

Δίδαξόν μοι, δέσποτα, εἰ τῆς φύσεώς εἰσιν αἱ ἀπὸ τῆς

ὄχι παραπάνω ἀπὸ τὴ δύναμη. Ἐὰν ὅμως εἶναι ἐπάγρυπνη ἡ καρδιά, ἡ ὕπνωση τοῦ σώματος δὲν εἶναι τίποτε. Συμβαίνει δηλαδὴ νὰ ροχαλίζει σχεδὸν κάποιος καί, μόλις ἀκούσει γιὰ ἔφοδο ληστῶν, βάζει ὅλη τὴ δύναμή του, γιὰ νὰ σωθεῖ ἀπὸ αὐτούς. Ὥστε λοιπόν, ἂν τὸ καλοσκεφθοῦμε, ἔτσι εἴμαστε καὶ μεῖς.

520

Ἐρώτηση

Πές μου, πάτερ, ἐὰν προέρχεται ἀσθένεια ἀπὸ τὸ Θεὸ καὶ ἀπὸ ποῦ ἀναγνωρίζεται αὐτή;

Ἀπόκριση

Προέρχεται. Ὅταν λοιπὸν αἰσθάνεται κανεὶς ἀρρώστια, ἀλλὰ δὲν ὑπάρχει καμμιὰ ἐνόχληση πάθους, αὐτὴ ἡ ἀρρώστια προέρχεται ἀπὸ τὸ Θεὸ καὶ λύνει τὸν πόλεμο· καὶ χρειάζεται ἐδῶ κάποια συγκατάβαση γιὰ τὸ σῶμα. Ἂν ὅμως παρουσιασθεῖ ἀσθένεια μαζὶ μὲ ἐνόχληση πάθους, τότε δὲν πρέπει καθόλου νὰ δείξεις συγκατάβαση· διότι εἶναι δαιμονιῶδες καὶ ἡ συγκατάβαση θὰ αὐξήσει τὸ πάθος. Ὥστε συμφέρει, ὅπου ὁ πόλεμος καταπονεῖ τὸ σῶμα, νὰ πέσει σὲ ἀρρώστια αὐτὸ καὶ νὰ μὴ βάλει κανεὶς τὴν ψυχὴ σὲ ἀρρώστια, περιποιούμενος τὸ σῶμα. Ἂν ὅμως πάλι εἶναι φανερὴ ἡ αἰτία τῆς ἀνωμαλίας, ὅταν δηλαδὴ ἀσθενήσει τὸ σῶμα ἀπὸ ὁδοιπορία ἢ ἀπὸ βαριὰ τραύματα, ὀφείλει νὰ δείξει συγκατάβαση, σεμνὰ ὅμως καὶ ὄχι παραπάνω ἀπὸ τὸ πρέπον· ἐπειδὴ ἀνακατεύουν καὶ οἱ δαίμονες τὰ δικά τους.

521

Ἐρώτηση

Δίδαξέ μου, δέσποτα, ἂν οἱ ἀρρώστιες ἀπὸ τὴν ἀμέλεια

ἀμελείας καὶ ἀταξίας ἀρρωστίαι· καὶ ἐκ ποίας αἰτίας αἱ παρὰ τοῦ Θεοῦ ἐπάγονται τῷ ἀνθρώπῳ, εἰ τὰ συναντήματα τὰ συμβαίνοντά τινι, κατὰ προηγουμένην συγχώρησιν Θεοῦ γίνονται.

Ἀπόκρισις

Αἱ ἀπὸ τῆς ἀμελείας καὶ ἀταξίας ἀρρωστίαι, τῆς φύσεώς εἰσιν, αἱ δὲ διὰ παιδείαν πεμπόμεναι τῷ ἀνθρώπῳ ὑπὸ τοῦ Θεοῦ, διὰ τὴν παρακοὴν πέμπονται· ἐν σοὶ οὖν ἐστι τὸ ἀμελῆσαι, ἢ τὸ ἀσωτεύεσθαι καὶ πεσεῖν εἰς ἐκεῖνα, ἕως εὐτακτήσῃς· ἐξελεῖς δὲ τῶν ἀρρωστιῶν τῆς παιδείας διὰ τῆς μετανοίας. Καὶ ἀπαντήματά εἰσι πάλιν· καὶ εἰσὶν ἀπ' αὐτῶν διὰ παιδείαν πρὸς τὸ συμφέρον, ἵνα μετανοήσωμεν· τοῦ δὲ πνευματικοῦ ἀνθρώπου ἐστὶ τὸ διακρίναι ταῦτα ἀπὸ τούτων.

ΦΚΒ'

Ἐρώτησις

Ὅτε μέμικται ἡ ἀσθένεια καὶ ἀπὸ φύσεως καὶ ἀπὸ δαιμόνων, εἰπέ μοι, πάτερ, τί ὀφείλει τις ποιῆσαι; πρὸ πάντων δέ, εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον.

Ἀπόκρισις

Ο θέλων νικῆσαι ἀναγκάζει ἑαυτὸν μικρόν, εἴτε εἰς νηστείαν, εἴτε εἰς ἀγρυπνίαν, εἴτε εἰς οἱονδήποτε πρᾶγμα. Οἷον, ἐὰν ὀφείλῃ τις κατὰ τὸ ἔθος μὴ τρώγων ἕως ὥρας ἐνάτης, ἡ δὲ ἀσθένεια ἀπαιτεῖ τρίτην ὥραν φαγεῖν, ἀναγκάσῃ ἑαυτὸν ἕως ὥρας ἕκτης. Καὶ εἰς τὴν ἀγρυπνίαν οὔ-

καὶ τὴν ἀταξία εἶναι ἀπὸ τὴ φύση· καὶ γιὰ ποιά αἰτία στέλνονται στὸν ἄνθρωπο οἱ ἀρρώστιες ἀπὸ τὸ Θεό, ἂν δηλαδὴ ὅσα συμβαίνουν σὲ κάποιον γίνονται σύμφωνα μὲ τὴν προηγούμενη παραχώρηση τοῦ Θεοῦ.

Ἀπόκριση

Οἱ ἀρρώστιες ἀπὸ ἀμέλεια καὶ ἀταξία εἶναι τῆς φύσεως· ἐκεῖνες ὅμως ποὺ στέλνονται ἀπὸ τὸ Θεὸ στὸν ἄνθρωπο γιὰ παιδαγωγία, στέλνονται ἐξαιτίας τῆς παρακοῆς· ἀπὸ σένα λοιπὸν ἐξαρτᾶται τὸ νὰ ἀμελήσεις ἢ νὰ ἀσωτεύσεις καὶ νὰ πέσεις σὲ ἐκεῖνα, ὥς ποὺ νὰ διορθωθεῖς. Θὰ ἀπομακρύνεις τὸν ἑαυτό σου ἀπὸ τὶς ἀρρώστιες τῆς παιδαγωγίας μὲ τὴ μετάνοια. Ὑπάρχουν βέβαια καὶ τυχαῖες περιπτώσεις ἀσθένειας. Ἀπὸ αὐτὲς μερικὲς εἶναι ἐξαιτίας τῆς ἀμέλειας καὶ ἄλλες γιὰ παιδαγωγία πρὸς τὸ συμφέρον, γιὰ νὰ μετανοήσουμε. Ἐναπομένει στὸν πνευματικὸ ἄνθρωπο τὸ νὰ διακρίνει αὐτὰ ἀπὸ ἐκεῖνα.

522

Ἐρώτηση

Ὅταν ἀναμιγνύεται ἡ ἀσθένεια ἀπὸ τὴ φύση καὶ ἀπὸ τοὺς δαίμονες, πές μου, πάτερ, τί πρέπει νὰ κάνει κανείς; Καὶ πρὸ πάντων, προσευχήσου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου.

Ἀπόκριση

Ἐκεῖνος ποὺ θέλει νὰ νικήσει καταπιέζει λίγο τὸν ἑαυτό του, εἴτε στὴ νηστεία εἴτε στὴν ἀγρυπνία εἴτε σὲ ὁποιοδήποτε πρᾶγμα. Γιὰ παράδειγμα, ἐὰν πρέπει κανεὶς νὰ μὴ τρώγει ἀπὸ συνήθεια μέχρι τὴν ἔνατη ὥρα, ἡ ἀσθένεια ὅμως ἀπαιτεῖ νὰ φάγει τὴν τρίτη ὥρα, νὰ ἀναγκάσει τὸν ἑαυτό του νὰ μείνει μέχρι τὴν ἕκτη ὥρα. Καὶ στὴν ἀγρυπνία τὸ

τως. Καὶ ὁ ἀναγκασμὸς εὑρίσκεται ἀντικρούων τῇ ἐνεργείᾳ τῶν δαιμόνων· καὶ ἡ συγκατάβασις βοήθεια τοῦ σώματος. Καὶ περὶ τῶν λοιπῶν οὕτω· καὶ παρέρχεταί τις τὰς δύο ἡμέρας αὐτοῦ ποιῶν μετὰ διακρίσεως κατὰ φόβον Θεοῦ.

Ὁ Κύριος συνέλθοι ἡμῶν τῇ ἀσθενείᾳ ἐν πᾶσιν. Εὖξαι ὑπὲρ ἐμοῦ.

ἴδιο. Ὁ ἀναγκασμὸς μπορεῖ νὰ ἀντικρούσει τὴν ἐνέργεια τῶν δαιμόνων, ἐνῶ ἡ συγκατάβαση εἶναι βοήθεια τοῦ σώματος. Τὸ ἴδιο καὶ γιὰ τὰ ὑπόλοιπα θέματα· καὶ περνᾶ κανεὶς τὶς δύο ἡμέρες του ἐνεργώντας μὲ διάκριση κατὰ φόβο Θεοῦ.

Εἴθε ὁ Κύριος νὰ μᾶς βοηθήσει στὴν ἀσθένεια σὲ κάθε περίπτωση. Προσευχήσου γιὰ μένα.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα ἁπλῶς στὴ σελίδα ποὺ βρίσκονται.

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς.

Μᾶρκος

Λουκᾶς

Ἰωάννης

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

B

Γ

I

Η

Θ

Κ

Λ

M

N

Ξ

O

Π

Ρ

Σ

Τ

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Α. ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος 1ος Ἐπιστολές.
» 2ος Ἐπιστολές.
» 3ος Ἐπιστολές.
» 4ος Ὁμιλίες στὴν Ἑξαήμερο.
» 5ος Ὁμιλίες σὲ Ψαλμούς.
» 6ος Ὁμιλίες ἠθικὲς καὶ πρακτικές.
» 7ος Ὁμιλίες δογματικές, περιστατικές, ἐγκωμιαστικές, παιδ/κ
» 8ος Ἀσκητικὰ Α΄ (Ὅροι κατὰ πλάτος).
» 9ος Ἀσκητικὰ Β΄ (Ὅροι κατ' ἐπιτομήν).
» 10ος Δογματικὰ ἔργα.

Β. ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος 1ος Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐνανθρωπήσεως).
» 2ος Δογματικὰ Α΄ (Λόγοι κατὰ Ἀρειανῶν Α΄–Β΄).
» 3ος Δογματικὰ Β΄ (Λόγοι κατὰ Ἀρειανῶν Γ΄–Δ΄).
» 4ος Δογματικὰ Γ΄.
» 5ος Ἑρμηνευτικὰ Α΄.
» 6ος Ἑρμηνευτικὰ Β΄ (Ἐξήγησις στοὺς Ψαλμούς).
» 7ος Ἑρμηνευτικὰ Γ΄ (Ἐξήγησις στοὺς Ψαλμούς).
» 8ος Ἱστορικοδογματικα Α΄.
» 9ος Ἱστορικοδογματικὰ Β΄.
» 10ος Ἱστορικοδογματικὰ Γ΄
» 11ος Ἀσκητικὰ (Βίος Μ. Ἀντωνίου ...).
» 12ος Διάφορα ἀμφιβαλλόμενα ἔργα.

Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος 1ος Προσωπικὲς Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α΄.
» 2ος Προσωπικὲς Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β΄.
» 3ος Ἀπολογητικὰ ἔργα.
» 4ος Δογματικὰ ἔργα.
» 5ος Ὁμιλίες.
» 6ος Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι.
» 7ος Ἐπιστολές.
» 8ος Ὁ Χριστὸς πάσχων καὶ Ἔπη δογματικά.
» 9ος Ἔπη Ἠθικά.
» 10ος Ἔπη Ἱστορικά.
» 11ος Ἔπη εἰς Ἑτέρους. – Ἐπιγράμματα.

Δ' ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α' – Γ').
» 2ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ' – ΣΤ').
» 3ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ' – Ι').
» 4ος Τριακονταετηρικὸς στὸ Μ. Κων/ντῖνο.– Στὸ Βίο Μ. Κων/ντίνου.– Λόγος Μ. Κων/ντίνου στὸ Σύλλογο τῶν ἁγίων.

Ε' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος Δογματικὰ Α' (Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως).

ΣΤ' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 1ος Διάλογος Παλλαδίου.– Περὶ ἀσαφείας τῶν προφητειῶν.– Σύνοψις Παλαιᾶς Διαθήκης.
» 2ος Ὁμιλίες στὴ Γένεσι (Α' – ΚΓ').
» 3ος Ὁμιλίες στὴ Γένεσι (ΚΔ' – ΜΑ').
» 4ος Ὁμιλίες στὴ Γένεσι (ΜΒ' – ΞΔ').
» 5ος Ὁμιλίες στὴ Γένεσι (Γ' – ΙΒ').– Στοὺς Ψαλμοὺς (ΜΑ' – ΜΓ').
» 6ος Ὁμιλίες στοὺς Ψαλμοὺς (ΜΔ' – ΡΚΓ').
» 7ος Ὁμιλίες στοὺς Ψαλμοὺς (ΡΚΔ' – ΡΝ') καὶ Ὁμιλίες στὸν Δαυὶδ καὶ τὸν Σαούλ.
» 8ος Ὁμιλίες στὴ Γένεσι (Α' – Θ').– Ὑπόμνημα στὸν Ἠσαΐα.– Ὑπόμνημα στὸν Δανιὴλ (Κεφ. Ι'–ΙΓ').
» 9ος Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμ. Α'–Κ').
» 10ος Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμ. ΚΑ'–ΜΗ').
» 11ος Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΜΘ'–ΟΕ').
» 12ος α) Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΟΣΤ'–ϞΑ').
β) Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγ. (Ὁμιλ. Α'–Δ').
» 13ος Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. Ε'–ΛΑ').
» 13α' Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. ΛΒ'–ΝΔ').
» 14ος Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. ΝΕ'–ΠΗ').
» 15ος Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. Α'–ΚΓ').
» 16α' Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. ΚΔ'–ΜΔ').
» 16β' Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. ΜΕ'–Ν'), στὴν Πρὸς Ρωμαίους (Ὁμιλ. Α'–Ι').
» 17ος Ὑπόμνημα στὴν Πρὸς Ρωμαίους (Ὁμιλ. ΙΑ'–ΛΓ').
» 18ος Ὑπόμνημα στὴν Α' Πρὸς Κορινθίους (Ὁμιλ. Α'–ΚΑ').
» 18α' Ὑπόμνημα στὴν Α' Πρὸς Κορινθίους (Ὁμιλ. ΚΒ'–ΜΔ'), καὶ Β' Πρὸς Κορινθίους (Ὁμιλ. Α'–ΙΑ')
» 19ος Ὑπόμνημα στὴ Β' Πρὸς Κορινθίους (Ὁμιλ. Α'–ΚΔ').
» 20ος Ὑπόμνημα στὴ Β' Πρὸς Κορινθίους (Ὁμιλ. ΚΕ'–Λ') καί στὴν Πρὸς Ἐφεσίους (Ὁμιλ. Α'–ΙΑ').

» 21ος Ὑπόμνημα στὴν Πρὸς Ἐφεσίους (Ὁμιλ. ΙΒ΄–ΚΔ΄) καὶ στὴν Πρὸς Φιλιππησίους (Ὁμιλ. Α΄–ΙΒ΄).

» 22ος Ὑπόμνημα στὴν Πρὸς Φιλιππησίους (Ὁμιλ. ΙΓ΄–ΙΕ΄), στὴν Πρὸς Κολοσσαεῖς καὶ στὴν Πρὸς Θεσσαλονικεῖς Α΄.

» 23ος Ὑπόμνημα στὴ Β΄ Πρὸς Θεσσαλονικεῖς (Ὁμιλ. Α΄–Ε΄), στὴν Α΄ Πρὸς Τιμόθεον (Ὁμιλ. Α΄–ΙΗ΄) καὶ Β΄ Πρὸς Τιμόθεον (Ὁμιλ. Α΄–Ι΄).

» 25ος Α. Ὑπόμνημα στὴν Πρὸς Ἑβραίους (Ὁμιλ. ΙS΄–ΛΔ΄),
Β. Εἰς τὸν πτωχὸν Λάζαρον, (Ὁμιλίες Α΄ – Ζ΄).

» 26ος Ὁμιλίες Ἠθικὲς – Ἁγιογραφικές.

» 27ος Ὁμιλίες Ἁγιογραφικὲς – Ἑρμηνευτικές.

» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικά Α΄.

» 29ος Ἀσκητικὰ Β΄.

» 30ος Ὁμιλίες Κατηχητικὲς – Ἠθικές.

» 31ος Ὁμιλ. κατηχητικὲς καὶ ἠθικὲς Β΄ - Ὁμιλ. Περιστατικὲς Α΄.

» 32ος Ὁμιλίες Περιστατικὲς Β΄.

» 33ος Ὁμιλίες Περιστατικὲς Γ΄.

» 34ος Ὁμιλίες Περιστατικὲς Δ΄. α. Πρὸς Ἰουδαίους καὶ Ἕλληνας.
β. Πρὸς Ἰουδαίους. γ. Περὶ εἱμαρμένης καὶ προνοίας.
δ. Εἰς τὸν μακάριον Βαβύλαν.

» 35ος Ὁμιλίες δογματικές.

» 36ος Ὁμιλίες ἑορταστικὲς - ἐγκωμιαστικές.

Ζ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α΄ (Πῶς τρία πρόσωπα λέγοντες - Κατὰ εἱμαρμένης - Διάλογος περὶ ψυχῆς καὶ ἀναστάσεως, καὶ Λόγος Κατηχητικὸς Μέγας).

» 2ος Δογματικὰ Β΄ (Κατὰ Εὐνομίου Ἀντιρρητικοὶ Λόγοι Α΄ – Β΄.)

» 3ος Δογματικὰ Γ΄ (Κατὰ Εὐνομίου Ἀντιρρητικὸς Λόγος Γ΄ – Λόγος ἀντιρρητικὸς πρὸς τὴν Εὐνομίου ἔκθεσιν.

» 5ος Ἑρμηνευτικὰ Α΄ (Περὶ κατασκευῆς τοῦ ἀνθρώπου – Ἀπολογητικὸς περὶ τῆς Ἑξαημέρου – Περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως (Ὁμιλίες Α–Γ).

» 6ος Ἑρμηνευτικα Γ΄ (Εἰς τὴν ἐπιγραφὴν τῶν Ψαλμῶν – Εἰς τὸν 6ον Ψαλμὸν = Περὶ τῆς ὀγδόης – Εἰς τὸν Ἐκκλησιαστήν.

Η΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ

Βίος Γρηγορίου Παλαμᾶ ὑπὸ Φιλοθέου Κοκκίνου.

Τόμος 1ος Λόγοι ἀποδεικτικοὶ δύο Περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος - Ἐπιστολὲς πρὸς Ἀκίνδυνον Α΄, Β΄, Γ΄, Ἐπιστολὲς πρὸς Βαρλαὰμ Α΄, Β΄.

» 2ος Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων Λόγοι Α΄ - Γ΄.

» 3ος Πραγματεῖες δογματικὲς καὶ ὁμολογιακές.
» 4ος Ἐπιστολές.
» 5ος Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ (Α' – Γ').
» 6ος Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ (Δ' – Ζ').
» 9ος Ὁμιλίες Α'–Κ'.
» 10ος Ὁμιλίες ΚΑ'–ΜΒ'.
» 11ος Ὁμιλίες ΜΒ'–ΞΓ'.

Θ' ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.
» 2ος Τὸ Λειμωνάριον.
» 3ος Διονυσίου Ἀρεοπαγίτου, Περὶ θείων ὀνομάτων, Περὶ οὐρανίου ἱεραρχίας, Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας, Περὶ μυστικῆς θεολογίας, Ἐπιστολές.
» 5ος Κυρίλλου Σκυθοπολίτου, Βίοι ἁγίων.
» 7ος Μακαρίου τοῦ Αἰγυπτίου, 50 Πνευματικὲς Ὁμιλίες.
» 9ος Διαδόχου Φωτικῆς, Κεφάλαια Γνωστικά, Λόγος στὴ Ἀνάληψη, Ὁράσεις, Ἐρωταποκρίσεις, καὶ Ἰωάννου Καρπαθίου, Κεφάλαια Παρακλητικὰ 100.
» 12ος Ἀββᾶ Ἡσαΐα, Λόγοι Ἀσκητικοὶ - ἀββᾶ Ζωσιμᾶ, Κεφάλαια ὠφέλιμα - ἀββᾶ Δωροθέου, Πραγματεῖες καὶ Ἐπιστολές.
» 14ος Μάξιμος ὁ Ὁμολογητής, Μυσταγωγία – Τὰ 400 Κεφάλαια Περὶ Ἀγάπης – Λόγος Ἀσκητικὸς – Τὰ 200 Κεφάλαια Περὶ Θεολογίας.
» 19Α Συμεὼν ὁ Ν. Θεολόγος, Βίος Συμεὼν ὑπὸ Νικήτα Στηθατου, Κεφάλαια - Εὐχαριστίες - Διάλογος μετὰ Σχολαστικοῦ.
» 19Β Συμεὼν ὁ Νέος Θεολόγος, Βίβλος τῶν Θεολογικῶν Λόγων (Λόγοι Α'–Γ') – Βίβλος τῶν Ἠθικῶν Λόγων (Λόγοι Α'–Ϛ')
» 19Γ Συμεὼν ὁ Νέος Θεολόγος, Α' Βίβλος τῶν Ἠθικῶν Λόγων (Λόγοι Ζ'–ΙΕ') – Β' Κατηχητικοὶ Λόγοι (Λόγοι Α'–Ζ').
» 22ος Νικολάου Καβάσιλα, Ἑρμηνεία στὴ Θεία Λειτουργία - Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.

Ι' ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

ΙΑ' ΑΠΟΛΟΓΗΤΑΙ

Τόμος 1ος Ἰουστῖνος, Ἀπολογίες Α' καὶ Β' – Λόγος Περὶ Ἀναστάσεως – Διάλογος Πρὸς Τρύφωνα.
» 2ος Τατιανός, (Πρὸς Ἕλληνας) – Ἀθηναγόρας, (Πρεσβεία Χριστιανῶν καὶ Περὶ ἀναστάσεως νεκρῶν) – Θεόφιλος Ἀντιοχείας, (Πρὸς Αὐτόλυκον Βιβλία Α–Γ) – Ἐπιστολὴ πρὸς Διόγνητον.

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ
Άρμενοπούλου 30 – Τηλ. 200 621 – Θεσσαλονίκη

Έκτύπωση Όφσετ: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» Π. ΠΕΤΑΛΩΤΗ & ΣΙΑ Ε.Ε.
Εὐριβιάδου 13 – Τηλ. 828 431 – Θεσσαλονίκη

Βιβλιοδεσία: Άφοὶ ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανᾶ 17 – Τηλ. 839 414 – Θεσσαλονίκη